Δημόσια Κεντρική
Βιβλιοθήκη Σιάτιστας "Μανούσειη"

8577

Ἡ δὲ παροῦσα ἐμοῦ
ἀφιερωμένη βίβλος
τέλος

Ἡ δὲ παροῦσα ἐμοῦ
ἡ ἀφιερωμένη βίβλος
[illegible]

Αλιχοζα

1844

μαρ. 27

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσακη"

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
2726
Δημόσια Κεντρική
Βιβλιοθήκη Βάτιστας "Μανούσεια"

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική
Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"



# ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΝ.

ΠΕΡΙΕΧΟΝ ΤΗΝ ΠΡΕΠΟΥΣΑΝ ΕΑΥΤΩ ΑΠΑΣΑΝ

ΑΚΟΛΟΥΘΙΑΝ.

Ἔτι δὲ καὶ τὰ Ἑωθινὰ Εὐαγγέλια τὰ ἀναγινωσκόμενα ἐν τῷ Ὄρθρῳ ἀπὸ τῆς Κυριακῆς τοῦ Ἀντιπάσχα, ἕως τῶν Ἁγίων Πάντων.

Νεωστὶ μετατυπωθὲν, καὶ ἐπιμελῶς διορθωθέν.

αψϙγ΄. ΕΝΕΤΙΗΣΙΝ. 1793.

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.

Con Licenza de' Superiori.




Βιβλιοθήκη Σιάτιστας "Μανούσειο"


Μ. ΑΠ. ΘΩΜΑ.
Μ. ΑΠ. ΙΑΚ. ΑΛΦ.
ΑΠ. ΓΟΥΔΑ.
Μ. ΑΠ. ΒΑΡΘΟΛ.
ΑΠ. ΣΙΜΩΝ.
INBI
Μ. ΑΠ. ΦΙΛΙΠ.
ΑΠ. ΠΑΥΛΟΥ.
Μ. ΑΠ. ΙΑΚΩΒ.
ΑΠ. ΑΝΔΡΕΑ.
Μ. ΑΠ. ΠΕΤΡΟΥ.



ΠΑΣΙ ΤΟΙΣ ΙΕΡΟΛΟΓΙΩΤΑΤΟΙΣ

ΚΑΙ ΧΡΙΣΤΙΑΝΙΚΟΦΙΛΟΣΟΦΩΤΑΤΟΙΣ

ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ,

# ΓΕΩΡΓΙΟΣ ΙΕΡΟΔΙΑΚΟΝΟΣ

ΣΟΥΓΔΟΥΡΗΣ

Ὁ ἐξ Ἰωαννίνων, τὸ χαίρειν.



ΤΗΝ ΤΟΥ ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΥ θεοφόρον καὶ ἱερολόγον Βίβλον νεωστὶ μετατυπωθεῖσαν, καὶ μετὰ μείζονος, ἢ ὡς ἦν, ἐπιμελείας διορθωθεῖσαν, τῇ ὑμετέρᾳ νῦν συνιστῶ γνώσει καὶ ἀναγνώσει, ἐλλόγιμοί τε καὶ θεοσεβέστατοι Ἀναγνῶσται. Ἥτις, οὐ Καισάρων ἔργα, οὐ πράξεις Αὐγούστων, οὔτ' ἆθλα Θεμιστοκλέων, ἀλλὰ τρόπαια τοῦ νικητοῦ καὶ Τροπαιοφόρου, τοῦ Οὐρανοῦ τε καὶ Γῆς ἰσχυροτάτου Παντάνακτος, ἔνδοξά τε καὶ ὑπερθαύμαστα περιέχει, ἅπερ ἀνώρθωσέ τε καὶ ἐκατώρθωσεν αὐτὸς ὁ τῶν ἁπάντων Βασιλεύς. Ἀναγινώσκειν οὖν αὐτὴν ὡς Ἱερὰν μὴ κατοκνεῖτε, τῶν ἀνιέρων καταφρονοῦντες. Ὁ Μα-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

κεδονίας μὲν, καὶ πάσης τῆς Οἰκουμένης πολυθρύλλητος καὶ πολυύμνητος Αὐτοκράτωρ Ἀλέξανδρος, τὴν Ὁμηρικὴν Ἰλιάδα ἣν πολλάκις ἐπιλεγόμενος, ὡς τὰς Ἡρωϊκὰς ἀνδραγαθίας τοῦ δυσμαχήτου Ἀχιλλέως περιέχουσαν. Ὑμεῖς δὲ πλεονάκις ποιεῖν τὴν ἀνάγνωσιν μὴ ῥαθυμεῖτε ταύτης τῆς μηδαμῶς μυθοπλάστου, ἀλλ' ἀληθευούσης Βίβλου, τὰς τοῦ Ἐπουρανίου Ἀχιλλέως ἐργασίας καὶ σωτηρίους νίκας διηγουμένης. Ταύτην τὴν Ἱερὰν Βίβλον, καθὰ καὶ ἄλλας, ὁ πανευγενέστατος καὶ φιλέλλην Νικόλαος ὁ Γλυκὺς, ἐκ τῶν οἰκείων τύπων καὶ ἰδίων ἀναλωμάτων, τοῖς ὑμετέρος ὀξυδερκέσιν ὄμμασιν ὑποτίθησι. Λάβετε οὖν αὐτὴν, καὶ εἰ μὴ πάντῃ ἀδιόρθωτον εὕρητε, τὸν Τύπον, ἀλλ' οὐ τὸν Τυπογράφον, μήτε τὸν Διορθωτὴν ἐπαιτιᾶσθε. Καθάπερ γὰρ Οὐρανὸν ἐκτὸς νεφελῶν ἰδεῖν χαλεπὸν, ὡσαύτως Τύπον οὐχ οἷόν τε δίχα σφαλμάτων εὑρεῖν.

Ἔρρωσθε οἱ Ἐντυγχάνοντες, Ἐνετίησιν, ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ πρώτῳ.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"



# ΑΡΧΗ ΣΥΝ ΘΕΩ ΑΓΙΩ
# ΤΟΥ
# ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΥ

## ΑΡΧΟΜΕΝΟΥ ΑΠΟ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΜΕΓΑΛΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΠΑΣΧΑ ΠΡΩΙ,

Καὶ καταλήγοντος μέχρι τῆς Κυριακῆς τῶν Ἁγίων Πάντων. Περιέχοντος ἀνελλιπῶς τὴν καθ' ἑκάστην ἅπασαν Ἀκολουθίαν.

Περὶ ὥραν Ὄρθρου σημαίνει· σημαίνουσι δὲ τὰ ὅλα Σήμαντρα. Ὁ δὲ Ἡγούμενος διανέμει τὰ κηρία τοῖς Ἀδελφοῖς. Ὁ δὲ Ἱερεὺς ἐν τῷ Διακονικῷ ἀλλάσσει ἅπασαν τὴν Στολὴν λαμπρὰν, καὶ ἐξερχόμεθα ἅπαντες ἐν τῷ Νάρθηκι διὰ τοῦ Βορείου μέρους, κρατοῦντες καὶ τὰ κηρία ἡμμένα. Εἰσοδευόντων τότε Ἱερέως καὶ τοῦ Διακόνου, προπορευομένων αὐτῶν καὶ λαμπάδων μετὰ μανουαλίων. Ἐναπομείνας δὲ ἐντὸς τοῦ Ναοῦ μόνος ὁ Κανδηλάπτης, ἅπτει τὰ κηρία πάντα καὶ τὰς κανδήλας. Καὶ ποιήσας πυρεῖον ἓν, τίθησι τοῦτο μέσον τοῦ Ναοῦ, καὶ ἕτερον ἔμπροσθεν τῶν ἁγίων Θυρῶν. Καὶ βαλὼν θυμίαμα εἰς αὐτὰ, βαλὼν δὲ καὶ εἰς τὸν Θυμιατὸν θυμίαμα πολὺ, ἀπαιωρεῖ τοῦτον ἐντὸς τοῦ Βήματος. Ὁ δὲ Ἱερεὺς μετὰ τὸ θυμιᾶσαι ἔξωθεν τοῦ Νάρθηκος τὰς Ἁγίας Εἰκόνας, καὶ τοὺς Ἀδελφοὺς πάντας, ἵσταται ἔμπροσθεν τῶν Βασιλικῶν Πυλῶν, κεκλεισμένων οὐσῶν.

Καὶ ποιεῖ Σταυρὸν μετὰ τοῦ Θυμιατοῦ, λέγων.

Δόξα τῇ Ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ ἡμῶν ἀποκρινομένων τὸ, Ἀμήν,

Ἄρχεται ὁ Ἱερεὺς μεγαλοφώνως τὸ παρὸν Τροπάριον, εἰς Ἦχον, πλ. α΄.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Καὶ ἡμεῖς τὸ αὐτὸ ὁμοίως μετὰ μέλους. Λέγεται δὲ τοῦτο τρίτον παρὰ τοῦ Ἱερέως, καὶ τρίτον παρ' ἡμῶν.

Εἶθ' οὕτως ὁ Ἱερεὺς λέγει τοὺς Στίχους. Καθ' ἕνα δὲ Στίχον, καὶ ἡμεῖς τὸ αὐτὸ Τροπάριον.

Στιχ. α΄. Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Στιχ. β΄. Ὡς ἐκλείπει καπνὸς, ἐκλειπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

Στιχ. γ΄. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Στιχ. δ΄. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Δόξα. Χριστὸς ἀνέστη.

Καὶ νῦν, τὸ αὐτό.

Εἶτα ὁ Ἱερεὺς γεγονωτέρᾳ φωνῇ. Χριστὸς ἀνέστη ἐκ νεκρῶν.

Καὶ ἀνοιγομένων τῶν Πυλῶν, εἰσοδεύει, προπορευομένων τῶν λαμπάδων, συνεφεπομένου τότε Προεστῶτος, καὶ τῶν Ἀδελφῶν ψαλλόντων, Καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Εἰσερχομένου δὲ τοῦ Ἱερέως ἐν τῷ Βήματι, ποιεῖ Συναπτὴν μεγάλην, μεθ' ἣν ἐκφωνεῖ. Ὅτι πρέπει σοι πᾶσα δόξα.

Καὶ ἄρχεται ὁ Προεστὼς τὸν Κανόνα, Ποίημα Κυρίου Ἰωάννου τοῦ Δαμασκηνοῦ. τοὺς Εἱρμοὺς ἀνὰ δύω, καὶ τὰ Τροπάρια εἰς ιβ΄. καὶ αὖθις ἔσχατον τοὺς Εἱρμοὺς οἱ δύω Χοροί. Ποιεῖ δὲ τὴν ἔναρξιν τοῦ Κανόνος ἐξ ἅπαντος ὁ Προεστώς, καὶ αὐτὸ τὸ δεξιὸν μέρος, εἰ καὶ ἀριστερὸν ἴσως λαγχάνει. Ἐκ γὰρ ταύτης τῆς ἡμέρας, ἡ ἀρχὴ τοῦ μερισμοῦ τῆς τῶν δύω Χορῶν ἐνάρξεως γίνεται ἐν τῇ α΄. ᾠδῇ. Εἰς τὴν γ΄. ᾠδὴν πάλιν ἰσάζουσιν οἱ Χοροὶ κατὰ τὴν τάξιν αὐτῶν. Ἐν ἑκάστῃ δὲ ᾠδῇ γίνεται παρὰ τοῦ Ἱερέως, ἔσωθεν τοῦ Ἁγίου Βήματος, Συναπτὴ μικρὰ ἐν ταύτῃ τῇ ἁγίᾳ ἡμέρᾳ. ὁ δὲ Ἱερεὺς θυμιᾷ εἰς τὴν ἔναρξιν τοῦ Κανόνος, κατὰ τὴν τάξιν. ὁ Κανών.

Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.

Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν Λαοί, Πάσχα Κυρίου Πάσχα. ἐκ γὰρ θανάτου πρὸς ζωήν, καὶ ἐκ γῆς πρὸς Οὐρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

Καθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψόμεθα, τῷ ἀπροσίτῳ φωτὶ τῆς Ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καὶ χαίρετε φάσκοντα, τρανῶς ἀκουσώμεθα, ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ Κόσμος, ὁρατός τε ἅπας καὶ ἀόρατος, Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

Καταβασία. Ἀναστάσεως ἡμέρα.

Συναπτὴ μικρὰ παρὰ τοῦ Ἱερέως ἐντὸς τοῦ ἁγίου Βήματος, καθὼς ἔφημεν, καὶ Ἐκφώνησις. Ὅτι σὸν τὸ κράτος.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

Νῦν πάντα πεπλήρωται φωτός, οὐρανός τε καὶ γῆ καὶ τὰ καταχθόνια. ἑορταζέτω γοῦν πᾶσα Κτίσις, τὴν Ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

Χθὲς συνεθαπτόμην σοι Χριστέ, συνεγείρομαι σήμερον ἀναστάντι σοι· συνεσταυρούμην σοι χθές, αὐτός με συνδόξασον Σωτήρ, ἐν τῇ Βασιλείᾳ σου.

Καταβασία. Δεῦτε πόμα πίωμεν.

Μετὰ τὴν Συναπτήν, Ἐκφώνησις.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν.

Ἡ Ὑπακοή, Ἦχος δ΄.

Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ Μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου· τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν, τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα. δράμετε καὶ τῷ Κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον. ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σῴζοντος τὸ γένος τῶν ἀνθρώπων.

Καὶ Ἀνάγνωσις εἰς τὸν Θεολόγον.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Ἐπὶ τῆς θείας φυλακῆς, ὁ Θεηγόρος Ἀββακούμ, στήτω μεθ' ἡμῶν καὶ δεικνύτω φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα· σήμερον σωτηρία τῷ Κόσμῳ, ὅτι ἀνέστη Χριστὸς ὡς Παντοδύναμος.

Ἄρσεν μὲν ὡς διανοῖξαν, τὴν παρθενεύουσαν νηδύν, πέφηνε Χριστός· ὡς βροτὸς δὲ ἀμνὸς προσηγόρευται· ἄμωμος δὲ ὡς ἄγευστος κηλῖδος, τὸ ἡμέτερον Πάσχα· καὶ ὡς Θεὸς ἀληθής, τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνός, ὁ εὐλογούμενος ἡμῖν, στέφανος Χριστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται· Πάσχα τὸ καθαρτήριον· καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν ἔλαμψεν Ἥλιος.

Ὁ Θεοπάτωρ μὲν Δαβίδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν· ὁ Λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν, ὁρῶντες εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστὸς ὡς Παντοδύναμος.

Καταβασία. Ἐπὶ τῆς θείας φυλακῆς.

Ἐκφώνησις. Ὅτι ἀγαθός.

Ὠδή,

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης Ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ ᾅδου σειραῖς, συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο Χριστὲ, ἀγαλλομένῳ ποδὶ, Πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ Μνήματος, ὡς νυμφίῳ, καὶ συνεορτάσωμεν, ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεοῦ τὸ σωτήριον.

Καταβασία. Ὀρθρίσωμεν.

Ἐκφώνησις. Ὅτι ἡγίασται.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς, αἰωνίους κατόχους, πεπεδημένων Χριστὲ, καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.

Φυλάξας τὰ σήμαντρα σῶα Χριστὲ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς Παρθένου, μὴ λυμηνάμενος, ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν, Παραδείσου τὰς πύλας.

Σῶτέρ μου τὸ ζῶν τε καὶ ἄθυτον, ἱερεῖον ὡς Θεὸς, σεαυτὸν ἑκουσίως, προσαγαγὼν τῷ Πατρὶ, συνανέστησας, παγγενῆ τὸν Ἀδὰμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Καταβασία. Κατῆλθες ἐν τοῖς.

Ἐκφώνησις. Σὺ γὰρ εἶ ὁ Βασιλεύς.

Κοντάκιον, Ἦχος πλ. δ΄.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν. καὶ ἀνέστης ὡς νικητὴς Χριστὲ ὁ Θεὸς, γυναιξὶ Μυροφόροις φθεγξάμενος Χαίρετε· καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος. ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

Ὁ Οἶκος.

Τὸν πρὸ ἡλίου Ἥλιον δύναντα ποτὲ ἐν τάφῳ, προέφθασαν πρὸς ὄρθρον, ἐκζητοῦσαι ὡς ἡμέραν Μυροφόροι Κόραι, καὶ πρὸς ἀλλήλας ἐβόων· ὦ φίλαι, δεῦτε τοῖς ἀρώμασιν ὑπαλείψωμεν, Σῶμα ζωηφόρον καὶ τεθαμμένον· σάρκα ἀνιστῶσαν τὸν παραπεσόντα Ἀδὰμ κείμενον ἐν τῷ Μνήματι. ἄγωμεν, σπεύσωμεν ὥσπερ οἱ Μάγοι, καὶ προσκυνήσωμεν, καὶ προσκομίσωμεν τὰ μύρα ὡς δῶρα, τῷ μὴ ἐν σπαργάνοις, ἀλλ' ἐν σινδόνι ἐνειλημμένῳ· καὶ κλαύσωμεν· καὶ κράξωμεν· ὦ Δέσποτα, ἐξεγέρθητι, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

Συναξάριον τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Κυριακῇ τοῦ Πάσχα.

Στ. Χριστὸς κατελθὼν πρὸς πάλην ᾅδου μόνος.

Πολλὰ λαβὼν τῆς νίκης ἀνῆλθε σκῦλα.

Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Κυριακῇ τοῦ Πάσχα αὐτὴν τὴν ζωηφόρον Ἀνάστασιν ἑορτάζομεν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἣν δὴ καὶ Πάσχα προσαγορεύομεν, ὅπερ τῇ Ἑβραίων διαλέκτῳ, Διάβασις ἑρμηνεύεται. αὕτη γάρ ἐστιν ἡ ἡμέρα, καθ' ἣν ὁ Θεὸς ἀρχῆθεν τὸν Κόσμον ἐκ τοῦ μὴ ὄντος παρήγαγε. κατ' αὐτὴν τὴν ἡμέραν καὶ τὸν Ἰσραηλίτην Λαὸν, τῆς Ἐρυθρᾶς διαβιβάσας, ἐκ τῶν τοῦ Φαραὼ ἀφαρπάζει χειρῶν. ἐν ταύτῃ πάλιν ἐξ Οὐρανοῦ καταβὰς, τῇ μήτρᾳ τῆς Παρθένου ἐνῴκησε. καὶ νῦν τὸ ἀνθρώπινον σύμπαν τῶν τοῦ ᾅδου ἁρπάσας πυθμένων, εἰς Οὐρανοὺς ἀνεβίβασε, καὶ πρὸς τὸ ἀρχαῖον ἀξίωμα ἤγαγε τῆς ἀφθαρσίας. πλὴν καταβὰς εἰς ᾅδην, οὐ πάντας ἀνέστησεν, ἀλλ' ὅσοι, οἱ πιστεῦσαι αὐτῷ ἡρετίσαντο· τὰς δὲ ψυχὰς τῶν ἀπ' αἰῶνος Ἁγίων, βιαίως κρατουμένας παρὰ τοῦ ᾅδου ἠλευθέρωσε· καὶ πᾶσι δέδωκε πρὸς Οὐρανοὺς ἀνιέναι. διὰ τοῦτο γεγηθότες ὑπερφυῶς μετὰ λαμπρότητος τὴν Ἀνάστασιν ἑορτάζομεν, τὴν χαρὰν εἰκονίζοντες, ἣν ἡ φύσις ἡμῶν διὰ σπλάγχνα ἐλέους Θεοῦ ἐπλούτησεν. ὡσαύτως δὲ καὶ τὴν τῆς ἔχθρας κατάλυσιν, καὶ τὴν μετὰ Θεοῦ ἕνωσιν, καὶ αὐτῶν τῶν Ἀγγέλων ἀποδεικνῦντες, τὸν συνήθη διαπραττόμεθα Ἀσπασμόν. Ἡ δὲ τοῦ Κυρίου Ἀνάστασις γέγονεν οὕτω. τῶν στρατιωτῶν φυλασσόντων τὸν Τάφον, περὶ μέσον νυκτὸς, σεισμὸς γίνεται. κατελθὼν γὰρ Ἄγγελος, τὸν λίθον τῆς τοῦ Μνημείου θύρας ἀφίστησιν. ἀναθεωροῦντες τοίνυν οἱ φύλακες, φεύγουσι, καὶ πάροδος ἐντεῦθεν ταῖς γυναιξὶ γίνεται, περὶ τὸ τοῦ Σαββάτου ὀψὲ, οἱονεὶ περὶ τὸ μέσον τῆς τοῦ Σαββάτου νυκτὸς. καὶ πρῶτον μὲν ἡ



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Ἀνάστασις τῇ τοῦ Θεοῦ Μητρὶ γνώριμος γίνεται, ἀπέναντι τίας καθημένη τοῦ Τάφου, ὡς φησιν ὁ Ματθαῖος, σὺν τῇ Μαγδαληνῇ. ἀλλ᾽ ἵνα μὴ ἡ Ἀνάστασις ἀμφιβάλλοιτο διὰ τὴν πρὸς τὴν Μητέρα οἰκείωσιν, οἱ Εὐαγγελισταί φασι, πρῶτον φαίνεται τῇ Μαγδαληνῇ Μαρίᾳ, αὕτη καὶ τὸν ἐν τῷ λίθῳ Ἄγγελον εἶδε· καὶ παρακύψασα πάλιν τοὺς ἔνδον ὁρᾷ· οἳ δὴ καὶ τὴν τοῦ Κυρίου Ἀνάστασιν καταγγέλλουσιν. ἠγέρθη γάρ φασιν, οὐκ ἔστιν ὧδε. ἴδε ὁ τόπος, ὅπου ἔθηκαν αὐτόν. Τρέχει οὖν ταῦτα ἀκούσασα, καὶ πρὸς τοὺς διαπύρους τῶν Μαθητῶν, Πέτρον καὶ Ἰωάννην ἔρχεται, καὶ τὴν Ἀνάστασιν τούτοις εὐαγγελίζεται. ὑποστρεφούσης δὴ ταύτης μετὰ τῆς ἄλλης Μαρίας, ὑπήντησεν αὐταῖς ὁ Χριστός, λέγων· Χαίρετε. ἔδει γὰρ τὸ φῦλον πρῶτον ἀκοῦσαν, ἐν λύπαις τέξῃ τέκνα, αὐτὸ τοῦτο πρῶτον καὶ τὴν χαρὰν ἐνωτίσασθαι. αἱ δὲ τῷ πόθῳ νικώμεναι, προσέρχονται, καὶ τῶν ἀχράντων αὐτοῦ ποδῶν ἅπτονται, ἀκριβέστερον γνῶναι βουλόμεναι. οἱ δὲ Ἀπόστολοι πρὸς τὸν Τάφον γίνονται. καὶ ὁ μὲν Πέτρος παρακύψας μόνον περὶ τὸ Μνημεῖον, ἀπῆλθεν. ὁ δὲ Ἰωάννης, ἔνδον γίνεται, καὶ περιεργότερον βλέπει, τῆς τε σινδόνος ἅπτεται, καὶ τοῦ σουδαρίου. πάλιν δὲ ἡ Μαγδαληνὴ περὶ ὄρθρον ἥκει μεθ᾽ ἑτέρων γυναικῶν τὰ ὁραθέντα πιστώσασθαι ἀκριβέστερον. περὶ δὲ τὰ ἔξω ἑστῶσα, ὠδύρετο· ἔνδον δὲ τοῦ Τάφου παρακύψασα, ὁρᾷ δύο Ἀγγέλους ἀστράπτοντας τῇ λαμπρότητι, καὶ ὥσπερ ἐπιτιμῶντας αὐτήν, καὶ λέγοντας· γύναι, τί κλαίεις; τίνα ζητεῖς; Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνόν, τὸν ἐσταυρωμένον; ἠγέρθη, οὐκ ἔστιν ὧδε. καὶ αἱ θεῶς ἀνέστησαν ἔμφοβοι, ἰδόντες τὸν Κύριον. διὸ ἐκείνη στραφεῖσα ὄπισθεν, βλέπει τὸν Χριστὸν ἑστῶτα. κηπουρὸν δὲ εἶναι αὐτὸν οἰηθεῖσα, ὅτι ἐν τῷ κήπῳ τὸ Μνῆμα ἦν, λέγει· Κύριε, εἰ σὺ ἐβάστασας αὐτόν, εἰπέ μοι ποῦ ἔθηκας αὐτόν, κἀγὼ αὐτὸν ἀρῶ; αὖθις δὲ πρὸς τοὺς Ἀγγέλους νευσάσης, ὁ Σωτήρ, Μαρία, φησί, πρὸς τὴν Μαγδαληνήν. ἡ δὲ τῆς γλυκείας καὶ συνήθους τοῦ Χριστοῦ αἰσθομένη φωνῆς, ἅψασθαι αὐτοῦ ἤθελεν· ὁ δὲ λέγει· μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου· καθὼς αὐτὴ λογίζῃ, ἔτι ἄνθρωπόν με εἶναι ὑπολαμβάνουσα. πορεύου δὲ πρὸς τοὺς Ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς, ὅσα τε εἶδες καὶ ἤκουσας. καὶ τοῦτο μὲν ἡ Μαγδαληνὴ πράττει. Ἐπιφωσκούσης δὲ πάλιν ἡμέρας, περὶ τὸν Τάφον σὺν ταῖς λοιπαῖς γίνεται. αἱ δὲ περὶ Ἰωάνναν καὶ Σαλώμην, ἀνατείλαντος τοῦ Ἡλίου ἦλθον. καὶ ἁπλῶς εἰπεῖν, ἐν διαφόροις καιροῖς ἡ περὶ τὸν Τάφον τῶν γυναικῶν ἔλασις γέγονεν· ἐν αἷς ἦν καὶ ἡ Θεοτόκος. αὕτη γάρ ἐστιν, ἣν Ἰωσῆ λέγει Μαρίαν τὸ Εὐαγγέλιον. τοῦ Ἰωσὴφ δὲ ἦν Υἱὸς οὗτος ὁ Ἰωσῆς. ἐν ἀδήλῳ μέντοι ἐστὶν ὁποίᾳ ὥρᾳ ἀνέστη ὁ Κύριος. τινὲς μὲν γὰρ ἐν πρώτῃ ἀλεκτρυόνων ᾠδῇ λέγουσιν· ἄλλοι, ὅτε ὁ σεισμὸς γέγονε· καὶ διαφόρως ἕτεροι. Τούτων δὲ οὕτω γεγενημένων, ἰδού τινες τῶν ἀπὸ τῆς κουστωδίας ἐλθόντες, ἀπήγγειλαν τοῖς Ἀρχιερεῦσι τὰ διαπεπραγμένα· οἱ δέ, ἀργυρίοις τούτους δεξιωσάμενοι, πείθουσιν ἀντειπεῖν, ὡς οἱ Μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτόν. κατὰ δὲ τὴν ἑσπέραν τῆς παρούσης, ἡμέρας τῶν Μαθητῶν εἰς ἓν ἀθροισθέντων, διὰ τὸν Ἰουδαϊκὸν φόβον, καὶ τῶν θυρῶν ἀσφαλῶς κεκλεισμένων, εἴσεισι πρὸς αὐτοὺς ὁ Χριστός, ὅτι ἐν ἀφθάρτῳ ἦν σώματι· καὶ τὴν Εἰρήνην τὸ συνήθες τούτοις εὐαγγελίζεται. οἱ δὲ τοῦτον ἰδόντες, ὑπερβαλλόντως ἐχάρησαν, καὶ διὰ τοῦ ἐμφυσήματος, τελεώτερον τὴν τοῦ Παναγίου Πνεύματος ἐνέργειαν δέχονται. Πῶς δὲ τριήμερος ἡ τοῦ Κυρίου Ἀνάστασις; γίνωσκε οὕτως. ἡ ἑσπέρα τῆς Πέμπτης, καὶ ἡ ἡμέρα τῆς Παρασκευῆς, οὕτω γὰρ τὸ νυχθήμερον οἱ Ἑβραῖοι μετροῦσιν, ἡμέρα μία. τῆς Παρασκευῆς πάλιν ἡ νύξ, καὶ τὸ Σάββατον ὅλον, ἕτερον νυχθήμερον. ἰδοὺ ἡμέρα δευτέρα. ἕτερον νυχθήμερον πάλιν ἡ τοῦ Σαββάτου νύξ, καὶ ἡ τῆς Κυριακῆς ἡμέρα. ἀπὸ μέρους γὰρ τῆς ἀρχῆς τὸ ὅλον καταλαμβάνεται. ἄλλο νυχθήμερον. ἰδοὺ καὶ ἡμέρα τρίτη. ἢ καὶ οὕτω. τρίτῃ ὥρᾳ τῆς Παρασκευῆς ἐσταύρωται ὁ Χριστός, εἶτα ἀπὸ ἕκτης ὥρας ἕως ἐννάτης, σκότος ἐγένετο· τοῦτο νύκτα νόησον. ἰδοὺ

ἀπὸ

ἀπὸ τρίτης ἕως ἐννάτης, ἐν νυχθήμερον. εἶτα πάλιν μετὰ τὸ σκότος ἡμέρα, καὶ ἡ νὺξ τῆς Παρασκευῆς, ἰδοὺ δύω καὶ νυχθήμερα. ἡ ἡμέρα τοῦ Σαββάτου, ἡ νὺξ αὐτοῦ πάλιν, ἰδοὺ τρία νυχθήμερα. εἰδὲ εἰς τὴν τρίτην ἐπαγγειλάμενος εὐεργετῆσαι ἡμᾶς ὁ Σωτὴρ, συντομώτερον διεπράξατο τὴν εὐεργεσίαν, καὶ οὕτω χάρις αὐτῷ καὶ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τό, Ἀνάστασιν Χριστοῦ θεασάμενοι.

Ὡσαύτως καὶ τό, Ἀναστὰς ὁ Ἰησοῦς, ἀπὸ τοῦ Τάφου. Ἐκ γ'.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητὸς, καὶ διὰ πάθους τὸ θνητὸν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον. ὃν δὲ ὡς θνητὸν, μετὰ δακρύων ἐζήτουν προσεκύνησαν, χαίρουσαι ζῶντα Θεὸν, καὶ Πάσχα τὸ μυστικὸν, σοῖς Χριστὲ Μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν, ᾅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς, τῆς αἰωνίου ἀπαρχὴν, καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος νὺξ καὶ φωταυγὴς, τῆς λαμπροφόρου ἡμέρας, τῆς ἐγέρσεως οὖσα προάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς, ἐκ τάφου σωματικῶς, πᾶσιν ἐπέλαμψεν.

Καταβασία. Ὁ παῖδας ἐκ καμίνου.

Ἐκφώνησις. Ἔστω τὸ κράτος.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ Βασιλὶς καὶ Κυρία, Ἑορτῶν Ἑορτὴ, καὶ Πανήγυρις ἐστὶ Πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ τῆς Ἀμπέλου γεννήματος, τῆς θείας εὐφροσύνης, ἐν τῇ ἐπισήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, Βασιλείας τοῦ Χριστοῦ κοινωνήσωμεν, ὑμνοῦντες αὐτὸν ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν καὶ ἴδε, ἰδοὺ γὰρ ἥκασί σοι, θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ δυσμῶν, καὶ Βοῤῥᾶ, καὶ Θαλάσσης, καὶ Ἑῴας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ Παντοκράτορ, καὶ Λόγε, καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη, ἐν Ὑποστάσεσι Φύσις, Ὑπερούσιε καὶ Ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Αὕτη ἡ κλητή.

Ἐκφώνησις. Ὅτι ηὐλόγηται.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Φωτίζου, φωτίζου ἡ νέα Ἱερουσαλήμ. ἡ γὰρ δόξα Κυρίου, ἐπὶ σὲ ἀνέτειλε. χόρευε νῦν, καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνὴ, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ Τόκου σου.

Ὢ θείας, ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς. μεθ' ἡμῶν ἀψευδῶς γὰρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστέ· ἣν οἱ πιστοὶ, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Ὢ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστὲ, ὢ σοφία καὶ Λόγε, τοῦ Θεοῦ καὶ δύναμις, δίδου ἡμῖν ἐκτυπώτερον, σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ, ἡμέρᾳ τῆς Βασιλείας σου.

Καταβασία. Φωτίζου, φωτίζου.

Ἐκφώνησις. Ὅτι σὲ αἰνοῦσι πᾶσαι.

Ἐξαποστειλάριον. Αὐτόμελον, ἐκ γ'.

Σαρκὶ ὑπνώσας ὡς θνητὸς, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον· Πάσχα τῆς ἀφθαρσίας, τοῦ Κόσμου σωτήριον.

Εἰς τοὺς Αἴνους τό, Πᾶσα πνοὴ, εἰς ἦχον, α'. ἱστῶμεν δὲ στίχους, δ'. καὶ ψάλλομεν γ'. Ἀναστάσιμα, ἦχος, α'.

Στ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις.

Ὑμνοῦμέν σου Χριστὲ, τὸ σωτήριον Πάθος, καὶ δοξάζομέν σου τὴν Ἀνάστασιν.

Στ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος.

Ὁ Σταυρὸν ὑπομείνας, καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, εἰρήνευσον ἡμῶν τὴν ζωὴν Κύριε, ὡς μόνος Παντοδύναμος.

Στ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ.

Ὁ τὸν ᾅδην σκυλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας, τῇ Ἀναστάσει σου Χριστὲ,

ἀξίω-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἀξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε.

στ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις.

ΤΗν Θεοπρεπῆ σου συγκατάβασιν δοξάζοντες, ὑμνοῦμέν σε Χριστέ. ἐτέχθης ἐκ Παρθένου, καὶ ἀχώριστος ὑπῆρχες τῷ Πατρί. ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας Σταυρόν. ἀνέστης ἐκ τοῦ Τάφου, ὡς ἐκ παστάδος προελθών. ἵνα σώσῃς τὸν Κόσμον, Κύριε δόξα σοι.

Εἶτα τὰ παρόντα στ. μετὰ τῶν στ. αὐτῶν. ἦχος, πλ. α.

στ. Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτ.

ΠΑσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται. Πάσχα καινὸν Ἅγιον, Πάσχα μυστικόν. Πάσχα πανσεβάσμιον. Πάσχα Χριστὸς ὁ λυτρωτής. Πάσχα ἄμωμον. Πάσχα μέγα. Πάσχα τῶν Πιστῶν. Πάσχα τὸ πύλας ἡμῖν τοῦ Παραδείσου ἀνοῖξαν. Πάσχα πάντας ἁγιάζον πιστούς.

στ. Ὡς ἐκλείπει καπνός.

ΔΕῦτε ἀπὸ θέας γυναῖκες Εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε· δέχου παρ᾽ ἡμῶν χαρᾶς ἀγγέλια, τῆς Ἀναστάσεως Χριστοῦ. τέρπου χόρευε καὶ ἀγάλλου Ἱερουσαλήμ, τὸν Βασιλέα Χριστόν, θεασαμένη ἐκ τοῦ Μνήματος, ὡς Νυμφίον προερχόμενον.

στ. Οὕτως ἀπολοῦνται.

ΑΙ Μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἐπιστᾶσαι πρὸς τὸ Μνῆμα τοῦ Ζωοδότου, εὗρον Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, καὶ αὐτὸς προσφθεγξάμενος, αὐταῖς οὕτως ἔλεγε· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν φθορᾷ; ἀπελθοῦσαι κηρύξατε τοῖς αὐτοῦ Μαθηταῖς.

στ. Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος.

ΠΑσχα τὸ τερπνόν. Πάσχα Κυρίου Πάσχα. Πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε. Πάσχα ἐν χαρᾷ, ἀλλήλους περιπτυξώμεθα. ὦ Πάσχα λύτρον λύπης. καὶ γὰρ ἐκ τάφου σήμερον, ὥσπερ ἐκ παστοῦ, ἐκλάμψας Χριστός, τὰ γύναια χαρᾶς ἔπλησε λέγων· κηρύξατε Ἀποστόλοις.

Δόξα, καὶ νῦν, ἦχος ὁ αὐτός.

ἈΝαστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς συγχωρήσωμεν, πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Εἶτα τό, Χριστὸς ἀνέστη, ἐκ τρίτου, καὶ ψάλλομεν τοῦτο πολλάκις, ἄχρις ἂν ἀσπάσονται οἱ ἀδελφοὶ ἀλλήλους. Ὁ δὲ Ἀσπασμὸς γίνεται οὕτω. Λαμβάνει ὁ Ἱερεὺς τὸ Ἅγιον Εὐαγγέλιον, καὶ ἵσταται πρὸ τῶν Θυρῶν τοῦ Ἁγίου Βήματος. ὁ δὲ Καθηγούμενος ἐλθών, καὶ ἀσπασάμενος τὸ Ἅγιον Εὐαγγέλιον καὶ τὸν Ἱερέα, λαμβάνει ἐκ τῶν χειρῶν αὐτοῦ τὸ Ἅγιον Εὐαγγέλιον, καὶ ἵσταται ἐκ δεξιῶν τοῦ Ἱερέως. Εἶτα οἱ Ἀδελφοὶ πάντες κατὰ τὴν τάξιν αὐτῶν, ἀσπάζονται πρῶτον τὸ Ἅγιον Εὐαγγέλιον, εἶτα τὸν Ἱερέα, καὶ τὸν Καθηγούμενον, καὶ ἵστανται κἀκεῖνοι ἔνθα ἂν τύχωσι, καὶ ἀσπάζονται ἀλλήλους. Μετὰ γοῦν τὸν Ἀσπασμὸν ἀναγινώσκεται ὁ Κατηχητικὸς λόγος τοῦ Χρυσοστόμου παρὰ τοῦ Ἡγουμένου, ἢ τοῦ Ἐκκλησιάρχου. ἵστανται δὲ οἱ Ἀδελφοὶ ἅπαντες, καὶ ἐπακροῶνται τῆς Ἀναγνώσεως.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, λόγος Κατηχητικὸς εἰς τὴν ἁγίαν καὶ λαμπροφόρον ἡμέραν τῆς ἐνδόξου καὶ σωτηριώδους Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως.

Εὐλόγησον Δέσποτα.

ΕἼ τις εὐσεβὴς καὶ φιλόθεος, ἀπολαυέτω τῆς καλῆς ταύτης καὶ λαμπρᾶς πανηγύρεως. Εἴ τις δοῦλος εὐγνώμων, εἰσελθέτω χαίρων εἰς τὴν χαρὰν τοῦ Κυρίου αὐτοῦ. Εἴ τις ἔκαμε νηστεύων, ἀπολαυέτω νῦν τὸ δηνάριον. Εἴ τις ἀπὸ τῆς πρώτης ὥρας εἰργάσατο, δεχέσθω σήμερον τὸ δίκαιον ὄφλημα. Εἴ τις μετὰ τὴν τρίτην ἦλθεν, εὐχαρίστως ἑορτασάτω. Εἴ τις μετὰ τὴν ἕκτην ἔφθασε, μηδὲν ἀμφιβαλλέτω. καὶ γὰρ οὐδὲν ζημιοῦται. Εἴ τις ὑστέρησεν εἰς τὴν ἐννάτην, προσελθέτω, μηδὲν ἐνδοιάζων. Εἴ τις εἰς μόνην ἔφθασε τὴν ἑνδεκάτην, μὴ φοβηθῇ τὴν βραδύτητα. φιλότιμος γὰρ ὢν ὁ Δεσπότης, δέχεται τὸν ἔσχατον, καθάπερ καὶ τὸν πρῶτον. Ἀναπαύει τὸν τῆς ἑνδεκάτης, ὡς τὸν ἐργασάμενον ἀπὸ τῆς

πρώ-

πρώτης. Καὶ τὸν ὕστερον ἐλεεῖ, καὶ τὸν πρῶτον θεραπεύει· κἀκείνῳ δίδωσι, καὶ τούτῳ χαρίζεται· καὶ τὰ ἔργα δέχεται, καὶ τὴν γνώμην ἀσπάζεται· καὶ τὴν πρᾶξιν τιμᾷ, καὶ τὴν πρόθεσιν ἐπαινεῖ. Οὐκοῦν εἰσέλθετε πάντες εἰς τὴν χαρὰν τοῦ Κυρίου ἡμῶν, καὶ πρῶτοι καὶ δεύτεροι τὸν μισθὸν ἀπολαύετε. Πλούσιοι καὶ πένητες, μετ᾿ ἀλλήλων χορεύσατε. Ἐγκρατεῖς καὶ ῥάθυμοι, τὴν ἡμέραν τιμήσατε. Νηστεύσαντες καὶ μὴ νηστεύσαντες, εὐφράνθητε σήμερον. Ἡ τράπεζα γέμει, τρυφήσατε πάντες. Ὁ μόσχος πολύς, μηδεὶς ἐξέλθῃ πεινῶν. Πάντες ἀπολαύετε τοῦ συμποσίου τῆς Πίστεως. Πάντες ἀπολαύσατε τοῦ πλούτου τῆς χρηστότητος. Μηδεὶς θρηνείτω πενίαν· ἐφάνη γὰρ ἡ κοινὴ Βασιλεία. Μηδεὶς ὀδυρέσθω πταίσματα· συγγνώμη γὰρ ἐκ τοῦ Τάφου ἀνέτειλε. Μηδεὶς φοβείσθω θάνατον· ἠλευθέρωσε γὰρ ἡμᾶς τοῦ Σωτῆρος ὁ θάνατος. Ἔσβεσεν αὐτὸν ὑπ᾿ αὐτοῦ κατεχόμενος. Ἐσκύλευσε τὸν Ἅδην, ὁ κατελθὼν εἰς τὸν Ἅδην. Ἐπίκρανεν αὐτόν, γευσάμενον τῆς σαρκὸς αὐτοῦ. Καὶ τοῦτο προλαβὼν Ἡσαΐας, ἐβόησεν· ὁ Ἅδης φησὶν ἐπικράνθη, συναντήσας σοι κάτω. Ἐπικράνθη, καὶ γὰρ κατηργήθη. Ἐπικράνθη, καὶ γὰρ ἐνεπαίχθη. Ἐπικράνθη, καὶ γὰρ ἐνεκρώθη. Ἐπικράνθη, καὶ γὰρ καθῃρέθη. Ἐπικράνθη, καὶ γὰρ ἐδεσμεύθη. Ἔλαβε σῶμα, καὶ Θεῷ περιέτυχεν. Ἔλαβε γῆν, καὶ συνήντησεν Οὐρανῷ. Ἔλαβεν ὅπερ ἔβλεπε, καὶ πέπτωκεν ὅθεν οὐκ ἔβλεπε. Ποῦ σου θάνατε τὸ κέντρον; Ποῦ σου Ἅδη τὸ νῖκος; Ἀνέστη Χριστός, καὶ σὺ καταβέβλησαι. Ἀνέστη Χριστός, καὶ πεπτώκασι δαίμονες. Ἀνέστη Χριστός, καὶ χαίρουσιν Ἄγγελοι. Ἀνέστη Χριστός, καὶ ζωὴ πολιτεύεται. Ἀνέστη Χριστός, καὶ νεκρὸς οὐδεὶς ἐπὶ μνήματος. Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λέγεται Τροπάριον τοῦ Ἁγίου.
Ἦχος, πλ. δ'.

Ἡ τοῦ στόματός σου καθάπερ πυρσός.

Ἐκτενὴς παρὰ τοῦ Ἱερέως, καὶ Ἀπόλυσις.
Λιτὴ δὲ ἐν ταύτῃ τῇ ἡμέρᾳ οὐ γίνεται.

Περὶ τῆς Ἑορτῆς τοῦ Εὐαγγελισμοῦ ἂν τύχῃ τῇ Ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα.

Κεφ. μδ'. Ἐκ τοῦ Τυπικοῦ.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ὁ Εὐαγγελισμὸς τῇ Ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, Ἑσπέρας ἐν τῷ μεγάλῳ Σαββάτῳ, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ι'. καὶ ψάλλομεν τὰ γ'. Ἀναστάσιμα τρία, ἦχος α'. καὶ τοῦ μεγάλου Σαββάτου τὰ γ'. ἦχος, πλ. δ'. Σήμερον ὁ ᾍδης στένων βοᾷ, καὶ τῆς Ἑορτῆς Ἰδιόμ. τὰ δ'. δ'. Δόξα, ἦχος πλ. β'. Τὴν σήμερον μυστικῶς ὁ μέγας Μωσῆς. καὶ νῦν, ἦχος ὁ αὐτός. Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. τό, Φῶς ἱλαρόν. Προκείμενον δὲ οὐ λέγεται. Ἀλλ᾿ εὐθὺς ὁ Ἱερεύς, Σοφία, καὶ ἀναγινώσκεται τὸ πρῶτον Ἀνάγνωσμα τῆς ἡμέρας. τό, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανὸν καὶ τὴν γῆν. εἶτα τὰ ἀναγνώσματα τοῦ Εὐαγγελισμοῦ, καὶ τὰ ἐπίλοιπα ἀναγνώσματα τοῦ Πάσχα, κατὰ τὴν τάξιν αὐτῶν, καὶ ἡ λοιπὴ Ἀκολουθία τῆς Λειτουργίας τοῦ μεγάλου Βασιλείου. Εἰς τὴν παννυχίδα τοῦ μεγάλου Σαββάτου, ὁ Κανὼν τῆς Ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς ἡ Καταβασία τὸν εἱρμὸν τῆς ἡμέρας, ὁμοῦ οἱ δύω χοροί. Ἀπὸ τρίτης ᾠδῆς, Κοντάκιον τῆς Ἑορτῆς καὶ ὁ Οἶκος. εἶτα Κάθισμα τῆς ἡμέρας. Δόξα, καὶ νῦν, τῆς Ἑορτῆς, καὶ Ἀνάγνωσις. Πάλιν χαρᾶς Εὐαγγέλια, πάλιν ἐλευθερίας μηνύματα. Ἀφ᾿ ἕκτης, Κοντάκιον τῆς ἡμέρας. Ἐν τῇ θ'. ᾠδῇ, ἡ Τιμιωτέρα οὐ στιχολογεῖται. μετὰ τὴν ἐνάτην. Τρισάγιον, Τροπάριον. Ὅτε κατῆλθες πρὸς τὸν θάνατον. Δόξα, καὶ νῦν, τῆς Ἑορτῆς. ἡ Ἐκτενής, καὶ Ἀπόλυσις τῆς ἡμέρας. Ἐν ᾗ ὁ Ἐκκλησιάρχης διανέμει τὰ κηρία, ὁ δὲ Κανδηλάπτης σημαίνει τὸ μέγα, καὶ τὸ σιδηροῦν, καὶ μετὰ τὴν Ἀνάγνωσιν ἐξερχόμεθα πάντες ἐν τῷ Νάρθηκι. Προπορευομένου τοῦ Ἱερέως μετὰ λαμπάδων, καὶ κλεισθεισῶν τῶν Πυλῶν, Θυμιᾷ ὁ Ἱερεὺς ἐν τῷ Νάρθηκι ἅπαντας, ὡς ἔθος ἐστίν. Εἶτα



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

τα ἵςαται ἔμπροσθεν τῶν Βασιλικῶν Πυλῶν, καὶ θυμιᾷ ςαυροειδῶς κατὰ Ἀνατολὰς ἐκ τρίτου, λέγων· Δόξα τῇ Ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ ἡμῶν ἀποκρινομένων τὸ, Ἀμήν.

Ἄρχεται ὁ Ἱερεὺς, Τροπάριον, ἦχος πλ. α΄. Χριςὸς ἀνέςη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος. Ὁμοίως καὶ οἱ Ἀδελφοὶ ψάλλουσι τὸ αὐτό. Λέγεται δὲ τρὶς παρὰ τοῦ Ἱερέως, καὶ τρὶς παρὰ τῶν Ἀδελφῶν. εἶτα ὁ Ἱερεὺς. ςί. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ. ςί. β΄. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος. ςί. γ΄. Συςήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσι. Λέγουσι δὲ οἱ Ἀδελφοὶ καθ' ἕκαςον ςίχον τὸ, Χριςὸς ἀνέςη ἐκ νεκρῶν. καὶ αὖθις ὁ Ἱερεὺς, λέγων μεγάλῃ τῇ φωνῇ, Χριςὸς ἀνέςη ἐκ νεκρῶν. καὶ ἀνοιγομένων τῶν Πυλῶν, εἰσοδεύει, προπορευομένων λαμπάδων, καὶ τοῦ Προεςῶτος συνεπομένου, καὶ τῶν Ἀδελφῶν ψαλλόντων τὸ, Καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος. Μετὰ δὲ τὸ εἰσελθεῖν τὸν Ἱερέα εἰς τὸ Ἱερατεῖον. Δόξα, ἦχος, β΄. καὶ λέγομεν, Σήμερον τῆς Σωτηρίας ἡμῶν τὸ κεφάλαιον. Καὶ νῦν, τὸ αὐτό. Εἶθ' οὕτως ἡ Συναπτή. καὶ μετὰ τὴν Ἐκφώνησιν, ἄρχεται ὁ Προεςώς. Ἀναςάσεως ἡμέρα, λαμπρυνθῶμεν Λαοὶ, ἦχος, α΄. καὶ ψάλλομεν τὸν Κανόνα τοῦ Πάσχα μετὰ τῶν Εἱρμῶν εἰς η΄. καὶ τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν εἰς ς΄. Καταβασία τοὺς Εἱρμοὺς τῶν δύω Κανόνων ἀνὰ μέρος, οἱ δύω Χοροί.

Ἀπὸ τρίτης ᾠδῆς Κοντάκιον τοῦ Πάσχα. καὶ Ἀνάγνωσις εἰς τὸν Θεολόγον. Ἐπὶ τῆς φυλακῆς μου ςήσομαι.

Ἀφ' ἕκτης. Κοντάκιον τῆς Ἑορτῆς, καὶ Ἀνάγνωσις. Ἀναςάσεως ἡμέρα, καὶ ἡ ἀρχὴ δεξιά. Εἶτα Προκείμενον τῆς Ἑορτῆς, ἦχος, δ΄. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας. ςί. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Πᾶσα πνοή. Εὐαγγέλιον τῆς Θεοτόκου, ἐκ τοῦ κατὰ Λουκᾶν. Ἀναςᾶσα Μαριάμ. εἶτα τὸ, Ἀνάςασιν Χριςοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον. ἐκ τρίτου, ἄνευ τοῦ Πεντηκοςοῦ. Εἶθ' οὕτως ἡ ζ΄. καὶ ἡ η΄. ᾠδή. ἐν τῇ θ΄. ᾠδῇ, ἡ Τιμιωτέρα οὐ ςιχολογεῖται. Ἐξαποςειλάριον. Σαρκὶ ὑπνώσας ὡς θνητὸς, ἅπαξ, καὶ τῆς Ἑορτῆς, δίς.

Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή. ἱςῶμεν ςίχ. ς΄. καὶ ψάλλομεν ςί. Ἀναςάσιμα, δ΄. ἦχος, α΄. καὶ τῆς Ἑορτῆς εἰς τὸν αὐτὸν ἦχον, Προσόμοια, καὶ δευτεροῦμεν τὸ πρῶτον μετὰ τῶν ςί. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ. ςί. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Ἔπειτα. Ἀναςήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ ἀθὺς τὰ ςί. τοῦ Πάσχα μετὰ τῶν ςί. αὐτῶν. Δόξα, τῆς Ἑορτῆς, ἦχος, πλ. Εὐφραινέσθωσαν οἱ Οὐρανοί. Καὶ νῦν, ἦχος, πλ. α΄. Ἀναςάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει. τὸ, Χριςὸς ἀνέςη ἐκ νεκρῶν. ὁ Ἀσπασμὸς, ἡ Κατήχησις τοῦ Χρυσοςόμου, ἡ Ἐκτενὴς παρὰ τοῦ Ἱερέως, καὶ Ἀπόλυσις. ἡ Λιτὴ δὲ οὐ γίνεται. Αἱ Ὧραι ψάλλονται ὡς εἰσὶ τετυπωμέναι ἐν τῇ Μεγάλῃ Κυριακῇ.

Εἰς τὴν Λειτουργίαν, Ἀντίφωνα τοῦ Πάσχα. Μετὰ δὲ τὴν Εἴσοδον, καὶ τὸ Εἰσοδικὸν τοῦ Πάσχα τὸ πρῶτον, τὸ, Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν, Κύριον ἐκ πηγῶν Ἰσραήλ. Χριςὸς ἀνέςη ἐκ νεκρῶν. εἶτα, Δόξα τῆς Ἑορτῆς, ἦχος, δ΄. Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον, Καὶ νῦν. Εἰ καὶ ἐν Τάφῳ κατῆλθες ἀθάνατε. Ἀντὶ δὲ τοῦ Τρισαγίου.

Ὅσοι εἰς Χριςὸν ἐβαπτίσθητε, Χριςὸν ἐνεδύσασθε. Ἀλληλούϊα. Προκείμενον, Ἀπόςολον, Ἀλληλουϊάριον, καὶ Εὐαγγέλιον, πρῶτον τοῦ Πάσχα, εἶτα τῆς Ἑορτῆς. Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Χρυσοςόμου. Κοινωνικὸν τῆς Ἑορτῆς, καὶ τοῦ Πάσχα.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

Περὶ τῶν Ὥρων τῆς Μεγάλης Κυριακῆς, καὶ τῆς ὅλης Ἑβδομάδος τῆς Διακαινησίμου.

Δεῖ εἰδέναι, ὅτι ἀπὸ ταύτης τῆς ἡμέρας τῆς Ἁγίας καὶ Μεγάλης Κυριακῆς τοῦ Πάσχα, μέχρι τοῦ Σαββάτου τῆς Διακαινησίμου, αἱ Ὧραι, καὶ τὰ Ἀπόδειπνα, οὕτω ψάλλονται.

Μετὰ τὸν Εὐλογητὸν, Χριστὸς ἀνέστη ἐκ νεκρῶν. ἐκ γ΄. εἶτα.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον. τὸν Σταυρόν σου Χριστὲ προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν. σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. δεῦτε πάντες οἱ Πιστοὶ προσκυνήσωμεν, τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν. ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ Κόσμῳ. διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ. Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν. Ἐκ τρίτου.

Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριὰμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ Μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου, τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα. δράμετε καὶ τῷ Κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος θανατώσας τὸν θάνατον. ὅτι ὑπάρχει Θεοῦ Υἱὸς, τοῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων.

Τοῦτο ἅπαξ, καὶ τὰ λοιπὰ ὁμοίως.

Εἰ καὶ ἐν Τάφῳ κατῆλθες Ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν. καὶ ἀνέστης ὡς νικητὴς Χριστὲ ὁ Θεὸς, γυναιξὶ Μυροφόροις φθεγξάμενος Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων Ἀνάστασιν.

Ἐν Τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς Θεὸς, ἐν Παραδείσῳ δὲ μετὰ λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστὲ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Δόξα.

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καὶ παστάδος πάσης βασιλικῆς ἀναδέδεικται λαμπρότερος, Χριστὲ ὁ Τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, Χαῖρε. διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ Θεοτόκε τοῖς κραυγάζουσιν· εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις Παναμώμε Δέσποινα.

Τὸ, Κύριε ἐλέησον, μ΄. Δόξα, καὶ νῦν. Τὴν Τιμιωτέραν. καὶ λέγεται,

Παρὰ τοῦ Ἱερέως.

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν. Καὶ πάλιν ὁμοίως, τὸ Χριστὸς ἀνέστη, ἐκ γ΄. καὶ τὰ λοιπά. Τριοῦται δὲ ἡ τοιαύτη Ἀκολουθία, ἐν ταῖς Ὥραις, ἐν τοῖς Ἀποδείπνοις, καὶ ἐν τῷ Μεσονυκτικῷ.

Ἡ δὲ τῆς Λειτουργίας Ἀκολουθία γίνεται ταχύτερον, καὶ ψάλλομεν τὰ παρόντα Ἀντίφωνα.

Ἀντίφωνον, α΄. ἦχος β΄.

ς. α΄. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
ς. β΄. Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
ς. γ΄. Εἴπατε τῷ Θεῷ ὡς φοβερά.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
ς. δ΄. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Δόξα, καὶ νῦν.

Ὁμοῦ οἱ δύω Χοροὶ ὑψηλοτέρᾳ φωνῇ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἀντίφωνον, β΄. ἦχος, β΄.

ς. α΄. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστάς.
ς. β΄. Ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστάς.
ς. γ΄. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστάς.
ς. δ΄. Ἐξομολογησάσθωσάν σοι Λαοί.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστάς.

Δόξα, καὶ νῦν. ἦχος, πλ. α΄.

Ὁμοῦ οἱ δύω Χοροί.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ.

Ἀντίφωνον, γ΄. ἦχος, πλ. α΄.

ς. α΄. Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτ.
Χριστὸς ἀνέστη ἐκ νεκρῶν.
ς. β΄. Ὡς ἐκλείπει καπνὸς ἐκλειπέτωσαν.
Χριστὸς ἀνέστη ἐκ νεκρῶν.
ς. γ΄. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοί.

Χρι-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας Μανούσεια

Χριστὸς ἀνέστη ἐκ νεκρῶν.

Στ. δ'. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν.

Καὶ γίνεται Εἴσοδος, καὶ ἐκφωνεῖ ὁ Διάκονος, εἰ ἔστιν· εἰ δ' οὔ, ὁ Ἱερεύς. Σοφία ὀρθοί.

Καὶ ἡμεῖς τὸ Εἰσοδικόν.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ. Καὶ ψάλλομεν τὸ Τροπάριον, Χριστὸς ἀνέστη.

Ἡ Ὑπακοή. Προλαβοῦσαι τὸν ὄρθρον.

Δόξα, καὶ νῦν, τὸ Κοντάκιον. Εἰ καὶ ἐν Τάφῳ κατῆλθες. Ἀντὶ δὲ τοῦ Τρισαγίου.

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε.

Προκείμενον τοῦ Ἀποστόλου. Ἦχος πλ. α'.

Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Στ. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ὁ Ἀπόστολος. Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν· ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς Ἀποστόλοις, διὰ Πνεύματος Ἁγίου, οὓς ἐξελέξατο ἀνελήφθη. οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτόν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα, ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς Βασιλείας τοῦ Θεοῦ. καὶ συναυλιζόμενος, παρήγγειλεν αὐτοῖς, ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρός, ἣν ἠκούσατέ μου· Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ, οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. οἱ μὲν οὖν συνελθόντες, ἐπηρώτων αὐτόν, λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν Βασιλείαν τῷ Ἰσραήλ; εἶπε δὲ πρὸς αὐτούς. οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους, ἢ καιρούς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. ἀλλὰ λήψεσθε δύναμιν, ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς· καὶ ἔσεσθέ μοι Μάρτυρες, ἔν τε Ἱερουσαλήμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ, καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς.

Ἀλληλούϊα, ἦχος, δ'.

Σὺ Κύριε ἀναστὰς οἰκτειρήσεις τὴν Σιών.

Στ. Ἐξ Οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Ἐν ἀρχῇ ἦν ὁ Λόγος.

Τέλος. Διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Χρυσοστόμου.

Κοινωνικόν. Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε. Ἀντὶ δὲ τοῦ, Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον.

Καὶ τοῦ, Εὐλογήσω τὸν Κύριον.

Χριστὸς ἀνέστη.

Ὡσαύτως καὶ ἀντὶ τοῦ,

Ὑψώσω σε ὁ Θεός μου.

Εἰς τὴν τράπεζαν γίνεται Παράκλησις τοῖς Ἀδελφοῖς μεγάλη εἰς πάντα. Ἐν ᾗ ὕστερον, Χριστὸς ἀνέστη, ἐκ γ'. Καὶ ὑψοῦται ὁ ἄρτος παρὰ τοῦ Κελλαρίτου. Λαμβάνει προσφορὰν ὁλόκληρον, καὶ τίθησιν ἐν τῷ Πανάγιαρίῳ. Καὶ λαβὼν τὴν ἐξ ἔθους συγχώρησιν, λαμβάνει τὸν ἄρτον ἐν ταῖς χερσὶν αὐτοῦ, Καὶ ὑψοῖ αὐτὸν ἀπὸ τοῦ δίσκου μικρόν, καὶ ἐκφωνεῖ, λέγων· Χριστὸς ἀνέστη. καὶ ἡμῶν ἀνταποκρινομένων τό, Ἀληθῶς ἀνέστη.

Εἶτα αὖθις ἐκεῖνος χαράττει Σταυρὸν μετὰ τοῦ ἄρτου, λέγων· Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν. καὶ ἡμεῖς τό, Χριστὸς ἀνέστη, ἐκ γ'. Εἶτα τὴν Ὑπακοήν, καὶ τὸ Κοντάκιον, καὶ ἀσπαζόμεθα τὸν ἄρτον. Ὕστερον δέ, Χριστὸς ἀνέστη, ἐκ γ'. καὶ ὁ Ψαλμός. Οὐκ ἐσθίομεν δὲ τὸν ἄρτον, ἀλλ' αὐτὸν ὑψοῦμεν καθ' ἑκάστην, μέχρι τοῦ Σαββάτου τῆς Διακαινησίμου, εἶτα κλῶμεν καὶ ἐσθίομεν, Οὗτος ὁ τύπος ὀφείλει γίνεσθαι ἐν τῇ τραπέζῃ, ἤγουν ἐν τῇ ὑψώσει τοῦ ἄρτου, ἄχρι τοῦ Σαββάτου τῆς Διακαινησίμου· ἔκτοτε δὲ ἐκφωνεῖται ἕως τῆς δ'. τῆς Ἀναλήψεως ἀντὶ τοῦ, Μέγα τὸ ὄνομα τῆς Ἁγίας Τριάδος. Χριστὸς ἀνέστη. Ἀληθῶς ἀνέστη ὁ Κύριος. Παναγία Θεοτόκε βοήθει ἡμῖν.

Καὶ τὰ ἑξῆς.

Ἀρχόμεθα δὲ ἀναγινώσκειν, ἀπ' αὐτῆς δηλονότι τῆς λαμπροφόρου ἡμέρας, τὴν Ἑρμηνείαν τοῦ Χρυσοστόμου εἰς τὰς Πράξεις τῶν Ἁγίων Ἀποστόλων, ἣν καὶ τελειοῦμεν μέχρι τῶν Ἁγίων Πάντων.

Δεῖ γινώσκειν, ὅτι ἐὰν γένηται Ἀδελφὸν ἐκδημῆσαι πρὸς Κύριον ἐν ταύτῃ τῇ ἁγίᾳ Ἑβδομάδι τῆς Διακαινησίμου, οὐ ψάλλομεν

ἐπ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική

ἐπ' αὐτοῦ τὴν συνειθισμένην Ἀκολουθίαν τῶν Κεκοιμημένων, ἀλλὰ πᾶσαν τὴν Ἀκολουθίαν τὴν Ἀναστάσιμον, ἤγουν μετὰ τὸν Εὐλογητὸν τό, Χριστὸς ἀνέστη, ἐκ γ΄. καὶ Ἀνάστασιν Χριστοῦ. τὸν Κανόνα τῆς Λαμπρᾶς Κυριακῆς. ὁ Ἀπόστολος, καὶ τὸ Εὐαγγέλιον. Εἰς τοὺς αἴνους, τὸν Ἀσπασμόν. καὶ Ἀπόλυσις. Οὕτω παρελάβομεν ἀπὸ ἀκριβοῦς Ἱερομονάχου τῆς Ἁγίας Λαύρας τοῦ Ἄθωνος, ὡς ἐν τῷ Τυπικῷ ταύτης τῆς Λαύρας περιέχεται.

Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Κυριακῇ Ἑσπέρας, Εἰς τὸ Λυχνικόν, ἀλλάσσει ὁ Ἱερεὺς πᾶσαν τὴν Ἱερατικὴν στολὴν αὐτοῦ. καὶ στὰς κατενώπιον τῆς Ἁγίας Τραπέζης μετὰ τοῦ Θυμιατοῦ, σφραγίζει Σταυροειδῶς, καὶ ἐκφωνεῖ λέγων. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί. Καὶ ἡμῶν ἀνταποκρινομένων τό, Ἀμήν, ἄρχεται ὁ Ἱερεύς, Χριστὸς ἀνέστη. καὶ ἡμῶν τὸ αὐτὸ ἀνταποκρινομένων Τροπάριον, λέγει ὁ Ἱερεὺς τοὺς προῤῥηθέντας στίχους. καὶ ἡμεῖς καθ' ἕνα ἕκαστον στίχον. τό, Χριστὸς ἀνέστη. Δόξα, Χριστὸς ἀνέστη. Καὶ νῦν, Χριστὸς ἀνέστη. Καὶ πάλιν ὁ Ἱερεύς. Χριστὸς ἀνέστη. Καὶ ἡμεῖς τὸ τέλος. Καὶ τοῖς ἐν τοῖς μνήμασι. Εἶθ' οὕτω Σιωπὴ μεγάλη παρὰ τοῦ Διακόνου, εἰ ἔστιν, εἰ δ' οὔ, παρὰ τοῦ Ἱερέως. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα, γ΄ καὶ Ἀνατολικά, γ΄. Ἦχος β΄.

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα, τὸν Θεὸν Λόγον σαρκωθέντα, ἐκ Παρθένου Μαρίας, δεῦτε προσκυνήσωμεν. Σταυρὸν γὰρ ὑπομείνας, τῇ ταφῇ παρεδόθη, ὡς αὐτὸς ἠθέλησε. καὶ ἀναστὰς ἐκ νεκρῶν, ἔσωσέ με τὸν πλανώμενον ἄνθρωπον.

Χριστὸς ὁ Σωτὴρ ἡμῶν, τὸ καθ' ἡμῶν χειρόγραφον προσηλώσας, τῷ Σταυρῷ ἐξήλειψε, καὶ τοῦ θανάτου τὸ κράτος κατήργησε· προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν.

Σὺν Ἀρχαγγέλοις ὑμνήσωμεν, Χριστοῦ τὴν Ἀνάστασιν. αὐτὸς γὰρ λυτρωτὴς ἐστὶ καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ ἐν δόξῃ φοβερᾷ καὶ κραταιᾷ δυνάμει, πάλιν ἔρχεται, κρῖναι Κόσμον ὃν ἔπλασεν.

Ἕτερα στιχ. Ἀνατολικά. Ἦχος β΄.

Σὲ τὸν σταυρωθέντα καὶ ταφέντα, Ἄγγελος ἐκήρυξε Δεσπότην, καὶ ἔλεγε ταῖς γυναιξί· δεῦτε ἴδετε, ὅπου ἔκειτο ὁ Κύριος. ἀνέστη γὰρ καθὼς εἶπεν ὡς Παντοδύναμος. διό σε προσκυνοῦμεν τὸν μόνον ἀθάνατον, ζωοδότα Χριστὲ ἐλέησον ἡμᾶς.

Ἐν τῷ Σταυρῷ σου κατήργησας, τὴν τοῦ ξύλου κατάραν, ἐν τῇ ταφῇ σου ἐνέκρωσας τοῦ θανάτου τὸ κράτος, ἐν δὲ τῇ ἐγέρσει σου ἐφώτισας τὸ γένος τῶν ἀνθρώπων. διὰ τοῦτό σοι βοῶμεν· εὐεργέτα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἠνοίγησάν σοι Κύριε, φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν. πύλας γὰρ χαλκᾶς συνέτριψας, καὶ μοχλοὺς σιδηροῦς συνέθλασας, καὶ ἐξήγαγες ἡμᾶς ἐκ σκότους, καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς ἡμῶν διέῤῥηξας. Δόξα.

Τὸν σωτήριον ὕμνον ᾄδοντες ἐκ στομάτων ἀναμέλψωμεν. δεῦτε πάντες ἐν οἴκῳ Κυρίου προσπέσωμεν λέγοντες· ὁ ἐπὶ ξύλου σταυρωθείς, καὶ ἐκ νεκρῶν ἀναστάς, καὶ ὢν ἐν κόλποις τοῦ Πατρός, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου, τῆς χάριτος ἐλθούσης. ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔτεκες, καὶ Παρθένος ἔμεινας. ἀντὶ στύλου πυρός, Δικαιοσύνης ἀνέτειλεν Ἥλιος. ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τό, Φῶς ἱλαρόν. ὁ Ἱερεύς. Πρόσχωμεν. Εἰρήνη πᾶσι. Σοφία.

Προκείμενον, Ἦχος βαρύς.

Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος.

Στίχ. α΄. Ἐγνώρισας ἐν τοῖς Λαοῖς τὴν δύναμίν σου.

Στίχ. β΄. Καὶ εἶπα, νῦν ἠρξάμην.

Στίχ. γ΄. Ἐμνήσθην τῶν ἔργων Κυρίου.

Μετὰ δὲ τὸ Προκείμ. Ἐκφωνεῖ ὁ Ἱερεύς. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ Ἁγίου Εὐαγγελίου.

Εὐαγ-

Εὐαγγέλιον κατὰ Ἰωάννην.

Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ.

Τέλος. Ὁ μὴ πιστεύσω.

Εἶτα Ἐκτενής.

Εἴπωμεν πάντες. τό, Καταξίωσον Κύριε. Πληρώσωμεν τὴν Ἑσπερινήν.

Καὶ τὰ λοιπά. Καὶ μετὰ τὴν Ἐκφώνησιν, ψάλλομεν τὸ στιχηρὸν τοῦ π. τὸ Ἀναστάσιμον, ἦχος. β'.

Ἡ Ἀνάστασίς σου Χριστὲ Σωτήρ, ἅπασαν ἐφώτισε τὴν Οἰκουμένην, καὶ ἀνεκαλέσω τὸ ἴδιον πλάσμα, Παντοδύναμε Κύριε δόξα σοι.

Εἶτα τὰ π. τοῦ Πάσχα μετὰ τῶν π. αὐτῶν, ἅτινα προεγράφησαν εἰς τὸν Ὄρθρον. Πάσχα Ἱερὸν ἡμῖν σήμερον, καὶ τὰ ἕτερα. Δόξα, καὶ νῦν, Ἀναστάσεως ἡμέρα. τό, Χριστὸς ἀνέστη, γ'. Εἶθ' οὕτως ὁ Ἱερεύς, Σοφία. καὶ ἡμεῖς τό, Εὐλόγησον. κἀκεῖνος. Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ ἡμεῖς στερεοῦμεν τοὺς Βασιλεῖς. Ἔπειτα ὁ Προεστώς. Δόξασοι Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ δὲ Ἱερεὺς ποιεῖ τὴν τῆς Ἀπολύσεως εὐχήν.

Καὶ ἀσπαζόμεθα τὰς Ἁγίας Εἰκόνας.

Εἶτα ἐξερχόμεθα εἰς τὴν Τράπεζαν.

Ἰστέον ὅτι τινὰ τῶν Τυπικῶν, ἀντὶ τοῦ Δόξα σοι ὁ Θεὸς ἡμῶν, Χριστὸς ἀνέστη, εὑρίσκεται λέγειν τὸν Προεστῶτα, καθ' ὅλης τῆς Διακαινησίμου.

Τῇ Β'. τῆς Διακαινησίμου εἰς τὸν Ὄρθρον, πρὸ τῆς Ἐνάρξεως, ἅπτει τὰς κανδήλας, καὶ τὰ κηρία.

Εἶτα σημαίνει τὸ μέγα καὶ τὸ σιδηροῦν, καὶ συναχθέντων ἡμῶν, βάλλει ὁ Ἱερεὺς τὴν συνήθη μετάνοιαν τῷ Προεστῶτι. Καὶ ἀπέρχεται ἐν τῷ ἁγίῳ Βήματι. Καὶ λαβὼν τὸν Θυμιατόν, ἵσταται ἐνώπιον τῆς ἁγίας Τραπέζης, ἄνευ μέντοι τῆς Ἱερατικῆς στολῆς. Καὶ εὐλογῶν, ἄρχεται τὸ Τροπάριον, Χριστὸς ἀνέστη, ἐκ γ'. Καὶ ἡμῶν τὸ αὐτὸ ἀποκρινομένων, ψάλλομεν μετὰ τῶν π. αὐτοῦ, ὡς ἐδηλώθη τῇ Κυριακῇ Ἑσπέρας. Εἶτα Συναπτή. Καὶ μετὰ τὴν Ἐκφώνησιν, ἀρχόμεθα τοῦ Κανόνος. Ἀναστάσεως ἡμέρα. Καὶ τὰ λοιπά.

Δεῖ γινώσκειν, ὅτι μετὰ τὸ εὐλογῆσαι τὸν Ἱερέα, ἐν τῷ ψάλλεσθαι τό, Χριστὸς ἀνέστη, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν ὡς σύνηθες, καὶ ὅλον τὸ Ἱερατεῖον. Εἰς δὲ τὴν ἔναρξιν τοῦ Κανόνος, ἐξέρχεται, καὶ θυμιᾷ τὸν Ναόν, καὶ τοὺς Ἀδελφοὺς κατὰ τὴν συνειθισμένην τάξιν. Μετὰ τό, Χριστὸς ἀνέστη, οὐ δηλοῦται λέγειν ἡμᾶς, οὔτε Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ὡς ἐν ταῖς Κυριακαῖς, οὔτε τὸν Πεντηκοστόν. Ἀλλ' εὐθὺς τοὺς Κανόνας. Οἶμαι διὰ τὸ γενέσθαι τὸν Ἀσπασμὸν τοῦ Εὐαγγελίου ἐν τῇ Κυριακῇ. τοῦτο γὰρ δηλοῖ τὸ ψαλλόμενον, Χριστὸς ἀνέστη, μετὰ τῶν συνήθων στίχων, καὶ θυμιᾶν τὸν Ἱερέα τὴν ἁγίαν Τράπεζαν, καὶ ὅλον τὸ Ἱερατεῖον. Τοῦ δὲ Κανόνος ψαλλομένου, θυμιᾷ τὸν Ναόν, καὶ τοὺς Χορούς. Ψάλλομεν δὲ τοὺς Εἱρμοὺς ἐκ β'. καὶ τὰ Τροπάρια ἀνὰ δ'. καὶ αὖθις τοὺς Εἱρμοὺς ἄνευ μέντοι π. Οὕτω γὰρ ψάλλεται ὁ τοιοῦτος Κανὼν πάντοτε. Εἰς δὲ τὸ πλήρωμα ἑκάστης ᾠδῆς, λέγεται τό, Χριστὸς ἀνέστη, ἐκ γ'. Οὕτω ποιοῦμεν ὅλην τὴν Ἑβδομάδα. Ἀπὸ γ'. ᾠδῆς, τὴν Ὑπακοήν, Προλαβοῦσαι τὸν Ὄρθρον. Καὶ Ἀνάγνωσις εἰς τὸ πρῶτον βιβλίον τοῦ κατὰ Ἰωάννην. εἰς τὴν ἑρμηνείαν τοῦ Χρυσοστόμου. Ἀπὸ γὰρ ταύτης τῆς ἡμέρας ἀρχόμεθα τοῦ τοιούτου Βιβλίου, καὶ μέχρι τῶν Ἁγίων Πάντων πληροῦμεν αὐτό τε, καὶ τὸ δεύτερον. Ἀφ' ἕκτης τὸ Κοντάκιον. Εἰ καὶ ἐν τάφῳ κατῆλθες. Καὶ ἐὰν ἔχῃ ὥραν, γίνεται καὶ ἀνάγνωσις. Καὶ μετ' αὐτήν, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ τό, Ἀναστὰς ὁ Ἰησοῦς, ἐκ γ'. Καὶ εὐθὺς τὰς ἑτέρας Ὠδάς.

Εἶτα τὸ Ἐξαποστειλάριον.

Σαρκὶ ὑπνώσας, ἐκ γ'. Εἰς τοὺς Αἴνους Τό, Πᾶσα πνοή.

Καὶ ψάλλομεν π. Ἀναστάσιμα. ἦχος, β'.

Πᾶσα πνοὴ καὶ πᾶσα Κτίσις, σὲ δοξάζει Κύριε, ὅτι διὰ τοῦ Σταυροῦ τὸν θάνατον κατήργησας, ἵνα δείξῃς τοῖς Λαοῖς, τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν, ὡς μόνος φιλάνθρωπος.

Εἰπάτωσαν Ἰουδαῖοι, πῶς οἱ στρατιῶται ἀπώλεσαν, τηροῦντες τὸν Βασιλέα; διατί γὰρ ὁ λίθος οὐκ ἐφύλαξε τὴν πέτραν

τῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσειος"

τῆς ζωῆς; ἢ τὸν ταφέντα δοξάσωσιν, ἢ ἀναστάντα προσκυνείτωσαν, λέγοντες σὺν ἡμῖν· δόξα τῷ πλήθει τῶν οἰκτιρμῶν σου, Σωτὴρ ἡμῶν δόξα σοι.

Χαίρετε Λαοὶ καὶ ἀγαλλιᾶσθε. Ἄγγελος ἐκάθισεν εἰς τὸν λίθον τοῦ Μνήματος. αὐτὸς ἡμᾶς εὐηγγελίσατο, εἰπών· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ὁ Σωτὴρ τοῦ Κόσμου, καὶ ἐπλήρωσε τὰ σύμπαντα εὐωδίας. χαίρετε Λαοί, καὶ ἀγαλλιᾶσθε.

Ἄγγελος μὲν τὸ Χαῖρε, πρὸ τῆς σῆς συλλήψεως Κύριε, τῇ Κεχαριτωμένῃ ἐκόμισεν. Ἄγγελος δὲ τὸν λίθον τοῦ ἐνδόξου σου Μνήματος, ἐν τῇ σῇ Ἀναστάσει ἐκύλισεν. ὁ μὲν ἀντὶ τῆς λύπης, εὐφροσύνης σύμβολα μηνύων. ὁ δὲ ἀντὶ θανάτου, Δεσπότην ζωοδότην κηρύττων ἡμῖν. διὸ βοῶμέν σοι· εὐεργέτα τῶν ἁπάντων Κύριε δόξα σοι.

Καὶ τὰ δ. τῆς Ἑορτῆς, ὡς προεγράφησαν εἰς τὸν Ὄρθρον τῆς Κυριακῆς. τό, Χριστὸς ἀνέστη, γ. Ἐκτενής, καὶ Ἀπόλυσις. Ποιοῦμεν δὲ καὶ Λιτὴν ἔξω τῆς Μονῆς. Ἡ τοιαύτη Ἀκολουθία γίνεται ἐν ὅλῃ ταύτῃ τῇ Ἑβδομάδι τῆς Διακαινησίμου. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα τῆς Ἑορτῆς ἀπαραλλάκτως, ὡς ἐκεῖσε δεδήλωται.

Προκείμ. τοῦ Ἀποστόλου, ἦχος δ.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Στ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ἡ Πρᾶξις. Ἐν ταῖς ἡμέραις ἐκείναις, ὑπέστρεψαν οἱ Ἀπόστολοι εἰς Ἱερουσαλήμ.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

Θεὸν οὐδεὶς ἑώρακε πώποτε. ὁ Μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον.

Κοινωνικόν. Σῶμα Χριστοῦ μεταλάβετε.

Εἰς τὴν Τράπεζαν γίνεται Παράκλησις τοῖς Ἀδελφοῖς.

Τῇ Β΄ τῆς Διακαινησίμου, Ἑσπέρας εἰς τὸ Λυχνικόν, μετὰ τό, Χριστὸς ἀνέστη, καὶ τὰ λοιπά, τό, Κύριε ἐκέκραξα, εἰς ἦχον γ΄. ἱστῶμεν στ. δ. καὶ ψάλλομεν γ. Ἀναστάσιμα. Ἦχος, γ΄.

Τῷ σῷ Σταυρῷ Χριστὲ Σωτήρ, θανάτου κράτος λέλυται, καὶ διαβόλου ἡ πλάνη κατήργηται. γένος δὲ ἀνθρώπων πίστει σῳζόμενον, ὕμνον σοι καθ' ἑκάστην προσφέρει.

Πεφώτισται τὰ σύμπαντα, τῇ Ἀναστάσει σου Κύριε, καὶ ὁ Παράδεισος πάλιν ἠνέῳκται. πᾶσα δὲ ἡ Κτίσις ἀνευφημοῦσά σε, ὕμνον σοι καθ' ἑκάστην προσφέρει.

Δοξάζω τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὴν δύναμιν, καὶ Πνεύματος Ἁγίου ὑμνῶ τὴν ἐξουσίαν, ἀδιαίρετον ἄκτιστον Θεότητα, Τριάδα ὁμοούσιον, τὴν βασιλεύουσαν εἰς αἰῶνα αἰῶνος.

Ἕτερα γ. Ἀνατολικά. Ἦχος ὁ αὐτός.

Τὸν Σταυρόν σου τὸν τίμιον, προσκυνοῦμεν Χριστέ, καὶ τὴν Ἀνάστασίν σου ὑμνοῦμεν καὶ δοξάζομεν. τῷ γὰρ μώλωπί σου, ἡμεῖς οἱ πάντες ἰάθημεν.

Ὑμνοῦμεν τὸν Σωτῆρα τὸν ἐκ τῆς Παρθένου σαρκωθέντα. δι' ἡμᾶς γὰρ ἐσταυρώθη, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη, δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Τοῖς ἐν ᾅδῃ καταβάς, Χριστὸς εὐηγγελίσατο, θαρσεῖτε λέγων, νῦν νενίκηκα. ἐγώ εἰμι ἡ Ἀνάστασις, ἐγὼ ὑμᾶς ἀνάξω, λύσας θανάτου τὰς πύλας. Δόξα.

Οἱ ἀναξίως ἑστῶτες, ἐν τῷ ἀχράντῳ σου οἴκῳ, ἑσπερινὸν ὕμνον ἀναμέλπομεν, ἐκ βαθέων κραυγάζοντες· Χριστὲ ὁ Θεός, ὁ φωτίσας τὸν Κόσμον τῇ τριημέρῳ Ἀναστάσει σου· ἐξελοῦ τὸν Λαόν σου, ἐκ χειρὸς τῶν ἐχθρῶν σου φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Πῶς μὴ θαυμάσωμεν, τὸν Θεανδρικόν σου Τόκον πανσεβάσμιε; πεῖραν γὰρ ἀνδρὸς μὴ δεξαμένη Πανάμωμε, ἔτεκες Ἀπάτορα Υἱὸν ἐν σαρκί, τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα Ἀμήτορα, μηδαμῶς ὑπομείναντα τροπήν, ἢ φυρμόν, ἢ διαίρεσιν, ἀλλ' ἑκατέρας οὐσίας τὴν ἰδιότητα, σώαν φυλάξαντα. διὸ Μητροπάρθενε Δέσποινα, αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς τῶν ὀρθοδόξως, Θεοτόκον ὁμολογούντων σε.

Εἴσοδος, τό, Φῶς ἱλαρόν.

Προκείμενον, ἦχ. βαρύς.

Ὁ Θεὸς ἡμῶν ἐν τῷ Οὐρανῷ καὶ ἐν τῇ γῇ.

Στ. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν.

Τί σοι ἐστὶ θάλασσα ὅτι ἔφυγες.

Καὶ αὖθις. Ὁ Θεὸς ἡμῶν. τό, Καταξίωσον Κύριε. Πληρώσωμεν τὴν ἑσπερινήν.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Καὶ κατὰ τὴν Ἐκφώνησιν τὸ στ. τοῦ στ.

Ἀναστάσιμον, ἦχος, γ'.

Ὁ Τῷ πάθει σου Χριστὲ ἀμαυρώσας τὸν Ἥλιον, καὶ τῷ φωτὶ τῆς σῆς Ἀναστάσεως, φαιδρύνας τὰ σύμπαντα, πρόσδεξαι ἡμῶν τὸν Ἑσπερινὸν ὕμνον φιλάνθρωπε. Καὶ τῆς Ἑορτῆς, τὸ Πάσχα Ἱερὸν ἡμῖν. Καὶ τὰ λοιπά. τὸ, Χριστὸς ἀνέστη, γ'. Ἐκτενὴς, καὶ Ἀπόλυσις.

Περὶ τῆς Ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, εἰ τύχῃ τῇ Δευτέρᾳ, ἢ τῇ Τρίτῃ τῆς Διακαινησίμου.

Κεφάλαιον, με'. τοῦ Τυπικοῦ.

Χρὴ εἰδέναι, ὅτι ἐὰν φθάσῃ ὁ Εὐαγγελισμὸς τῇ β'. τῆς Διακαινησίμου, Ἑσπέρας τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ, ἐν τῷ μικρῷ Ἑσπερινῷ, μετὰ τὸ εἰπεῖν τὸν Ἱερέα τὸ, Χριστὸς ἀνέστη, γ'. καὶ γ'. στίχους. Δόξα, καὶ νῦν, τὸ, Χριστὸς ἀνέστη, καὶ τὴν Συναπτήν. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. δ'. καὶ ψάλλομεν στ. Ἀναστάσιμα δ'. ἦχος, β'. Δόξα, καὶ νῦν, ἦχος, β'. Τὸ ἀπ' αἰῶνος Μυστήριον, ἀνακαλύπτεται σήμερον. εἶτα τὸ, Φῶς ἱλαρὸν, ἄνευ Εἰσόδου. Προκείμενον.

Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ ποιῶν θαυμάσια μόνος. καὶ στ. α'. τὸ, Καταξίωσον Κύριε.

Εἰς τὸν στ. στ. τοῦ στ. ἦχος, β'. Ἡ Ἀνάστασίς σου Χριστὲ Σωτήρ. καὶ τῆς Ἑορτῆς Ἰδιόμελα μετὰ τῶν στ. αὐτῶν. Δόξα, ἦχος, β'. Εὐαγγελίζεται ὁ Γαβριὴλ τῇ κεχαριτωμένῃ σήμερον. Καὶ νῦν, ἦχος, πλ. α'. Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει. Τὸ, Χριστὸς ἀνέστη ἐκ νεκρῶν, γ'. Δόξα, καὶ νῦν, ἦχος, δ'. Τροπάριον τῆς Ἑορτῆς. ἡ Ἐκτενὴς, καὶ Ἀπόλυσις. Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸ θυμιᾶσαι τὸν Ἱερέα, καὶ εἰπεῖν τὸ, Δόξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι, λέγει τὸ, Χριστὸς ἀνέστη ἐκ νεκρῶν, τρίς. καὶ τοὺς γ'. στ. Δόξα. τὸ, Χριστὸς ἀνέστη, εἶτα τὴν Συναπτήν. εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ι'. καὶ ψάλλομεν στ. Ἀναστάσιμα, γ'. ἦχος, β'. καὶ Ἀνατολικὸν ἕν, καὶ τῆς Ἑορτῆς Προσόμοια, γ'. ἦχος, πλ. β'. Βουλὴν προαιώνιον, εἰς ς'. Δόξα, καὶ νῦν, ἦχος, πλ. β'. Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος. Εἴσοδος, τὸ, Φῶς ἱλαρόν. Προκείμενον. Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ἡμῶν. μετὰ τῶν στ. καὶ τὰ γ'. Ἀναγνώσματα τῆς Ἑορτῆς. εἶτα ὁ Ἱεράς. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως. καὶ Εὐαγγέλιον κατὰ Ἰωάννην. Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ. Τέλος. Οὐ μὴ πιστεύσω. ἡ Ἐκτενής. Τὸ, Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ. Εἰς τὴν Λιτὴν Ἰδιόμελα τὰ γ'. πρῶτα τῆς Ἑορτῆς. Δόξα, καὶ νῦν, ἦχος, β'. Εὐαγγελίζεται ὁ Γαβριήλ. Εἰς τὸν στ. τὸ Ἀναστάσιμον στ. τοῦ στ. ἦχος, β'. Ἡ Ἀνάστασίς σου Χριστὲ Σωτήρ. εἶτα στ. Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ. Καὶ αὖθις τὰ τρία στ. τοῦ Πάσχα, ἦχος, πλ. α'. μετὰ τῶν στ. αὐτῶν. Δόξα, ἦχος, δ'. Σήμερον χαρᾶς Εὐαγγέλια. Καὶ νῦν, ἦχος, πλ. α'. Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει. Τὸ, Χριστὸς ἀνέστη ἐκ νεκρῶν, τρίς. Τροπάριον τῆς Ἑορτῆς, ἐκ β'. Ἡ εὐλόγησις τῶν Ἄρτων, καὶ ἡ διάδοσις. Ἀνάγνωσις τῆς Ἑορτῆς. Εἰς τὸν Ὄρθρον, μετὰ τὸ εἰπεῖν τὸν Ἱερέα τὸ, Εὐλογητὸς, καὶ τὸ, Χριστὸς ἀνέστη, ἐκ τρίτου, καὶ τοὺς τρεῖς στ. Δόξα, ἦχος, δ'. Τροπάριον τῆς Ἑορτῆς, καὶ νῦν, τὸ αὐτό. εἶτα ἡ Συναπτή. οἱ Ἀναβαθμοί. τὸ πρῶτον Ἀντίφωνον τοῦ δ'. ἤχου. Προκείμενον. Πᾶσα πνοή. καὶ Εὐαγγέλιον τῆς Ἑορτῆς. Τὸ, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ἐκ τρίτου, ἄνευ τοῦ Πεντηκοστοῦ. Δόξα. Ταῖς τῆς Θεοτόκου πρεσβείαις. καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις. εἶτα λέγε στ. ἦχος, πλ. β'. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας. καὶ τὸ στιχηρὸν Ἰδιόμελον τῆς Ἑορτῆς, ἦχος, πλ. β'. Ἀπεστάλη ἐξ Οὐρανοῦ. Ὁ Ἱεράς. Σῶσον ὁ Θεὸς τὸν Λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Ὁ Λαὸς τὸ, Κύριε ἐλέησον, ιβ'. καὶ Ἐκφώνησις. Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ. Οἱ Κανόνες, ὁ Ἀναστάσιμος μετὰ τῶν Εἱρμῶν εἰς ς'. καὶ τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν εἰς η'. Καταβασία



Δημόσια Κεντρική Βιβλιοθήκη

τῆς Ἑορτῆς, ὁμοῦ οἱ δύω Χοροί. Ἀπὸ γ'. ᾠδῆς, Κοντάκιον τοῦ Πάσχα, καὶ Οἶκος. τῆς Ἑορτῆς, καὶ Ἀνάγνωσις τό, Πάλιν χαρᾶς ἀγγέλια, πάλιν ἐλευθερίας μηνύματα. Ἀφ' ἕκτης, Κοντάκιον τῆς Ἑορτῆς, καὶ Ἀνάγνωσις τῆς ἡμέρας εἰς τὸ κατὰ Ἰωάννην. Ἐν τῇ θ'. ᾠδῇ, ἡ Τιμιωτέρα οὐ στιχολογεῖται. Ἐξαποστειλάριον τοῦ Πάσχα, καὶ τῆς Ἑορτῆς, β'. Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχους ϛ'. καὶ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα, γ'. ἦχος, β'. καὶ τῆς Ἑορτῆς Προσόμοια, γ'. ἦχος, ά. πρός, Τῶν Οὐρανίων ταγμάτων. εἶτα τό, Ἀναστήτω ὁ Θεός, καὶ τὰ στιχηρὰ τοῦ Πάσχα, ἦχος, πλ. ά. Τὰ γ'. μετὰ τῶν στίχων αὐτῶν. Δόξα, ἦχος, πλ. δ'. Εὐφραινέσθωσαν οἱ Οὐρανοί. Καὶ νῦν, ἦχος, πλ. ά. Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν. τό, Χριστὸς ἀνέστη ἐκ νεκρῶν, τρίς. Δόξα, καὶ νῦν. Τροπάριον τῆς Ἑορτῆς, ἡ Ἐκτενής, ἡ Κατήχησις τῆς Ἑορτῆς, καὶ Ἀπόλυσις. Εἶτα δίδοται ἅγιον ἔλαιον, καὶ ἡ Λιτὴ γίνεται ἔξω τοῦ Μοναστηρίου.

Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τοῦ Πάσχα, Χριστὸς ἀνέστη ἐκ νεκρῶν, καὶ τῆς Ἑορτῆς τὸ Τροπάριον. Δόξα, τὸ Κοντάκιον τοῦ Πάσχα. καὶ νῦν, τῆς Ἑορτῆς. Ἀντὶ δὲ τοῦ Τρισαγίου. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Προκείμενον, Ἀπόστολος, Ἀλληλουϊάριον, καὶ Εὐαγγέλιον, πρῶτον τῆς Ἑορτῆς, εἶτα τῆς ἡμέρας.

Κοινωνικὸν τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς.

Τῇ Γ'. τῆς Διακαινησίμου, εἰς τὸν Ὄρθρον, γίνεται ἡ Ἀκολουθία πᾶσα ἀπαραλλάκτως, ὡς προγέγραπται.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα, ἦχος, γ'.

Δεῦτε πάντα τὰ Ἔθνη, γνῶτε τοῦ φρικτοῦ μυστηρίου τὴν δύναμιν. Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν, ὁ ἐν ἀρχῇ Λόγος, ἐσταυρώθη δι' ἡμᾶς, καὶ ἑκὼν ἐτάφη, καὶ ἀνέστη ἐκ νεκρῶν, τοῦ σῶσαι τὰ σύμπαντα. αὐτὸν προσκυνήσωμεν.

Διηγήσαντο πάντα τὰ θαυμάσια, οἱ φύλακές σου Κύριε. ἀλλὰ τὸ συνέδριον τῆς ματαιότητος, πλήρωσαν δώρων τὴν δεξιὰν αὐτῶν, κρύπτειν ἐνόμιζον τὴν Ἀνάστασίν σου, ἣν ὁ Κόσμος δοξάζει, ἐλέησον ἡμᾶς.

Χαρᾶς τὰ πάντα πεπλήρωται, τῆς Ἀναστάσεως τὴν πεῖραν εἰληφότα. Μαρία γὰρ ἡ Μαγδαληνὴ ἐπὶ τὸ Μνῆμα ἦλθεν. εὗρεν Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τοῖς ἱματίοις ἐξαστράπτοντα, καὶ λέγοντα· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε ἀλλ' ἐγήγερται, καθὼς εἶπε, προάγων ἐν τῇ Γαλιλαίᾳ.

Ἐν τῷ φωτί σου Δέσποτα, ὀψόμεθα φῶς φιλάνθρωπε. ἀνέστης γὰρ ἐκ τῶν νεκρῶν, σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων δωρούμενος, ἵνα σε πᾶσα κτίσις δοξολογῇ, τὸν μόνον Ἀναμάρτητον· ἐλέησον ἡμᾶς.

Καὶ τῆς Ἑορτῆς, Πάσχα ἱερόν. καὶ τὰ λοιπά. τὸ Χριστὸς ἀνέστη, γ'. Ἐκτενής, καὶ Ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς Ἑορτῆς. Προκείμενον τοῦ Ἀποστόλου, ἦχος. γ'.

Ὠδὴ τῆς Θεοτόκου.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.

Στίχ. Ὅτι ἐπέβλεψεν. Η'. Πράξεις.

Ἐν ταῖς ἡμέραις ἐκείναις· σταθεὶς ὁ Πέτρος σὺν τοῖς ἕνδεκα.

Ἀλληλούϊα, ἦχος, πλ. δ'.

Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου.

Στίχ. Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν.

Εὐαγγέλιον κατὰ Λουκᾶν, Ἑωθινόν, ε'.

Τῷ καιρῷ ἐκείνῳ, ὁ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ Μνημεῖον.

Κοινωνικόν, τῆς Ἑορτῆς.

Ὅλην ταύτην τὴν Ἑβδομάδα γίνεται Παράκλησις εἰς τὴν Τράπεζαν.

Τῇ Γ'. τῆς Διακαινησίμου Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ϛ'. καὶ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα, ἦχος, δ'.

Τὸν ζωοποιόν σου Σταυρόν, ἀπαύστως προσκυνοῦντες Χριστὲ ὁ Θεός, τὴν τριήμερόν σου Ἀνάστασιν δοξάζομεν. δι' αὐτῆς γὰρ ἀνεκαίνισας, τὴν καταφθαρεῖσαν τῶν ἀνθρώπων φύσιν Παντοδύναμε· καὶ τὴν εἰς Οὐρανοὺς ἄνοδον καθυπέδειξας ἡμῖν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Τοῦ ξύλου τῆς παρακοῆς, τὸ ἐπιτίμιον ἔλυσας Σωτὴρ, τῷ ξύλῳ τοῦ Σταυροῦ ἑκουσίως προσηλωθείς· καὶ εἰς ᾅδου κατελθὼν δυνατὲ, τοῦ θανάτου τὰ δεσμὰ ὡς Θεὸς διέῤῥηξας. διὸ προσκυνοῦμεν τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν, ἐν ἀγαλλιάσει βοῶντες· Παντοδύναμε Κύριε δόξα σοι.

Πύλας ᾅδου συνέτριψας Κύριε, καὶ τῷ σῷ θανάτῳ τοῦ θανάτου τὸ βασίλειον ἔλυσας. γένος δὲ τὸ ἀνθρώπινον, ἐκ φθορᾶς ἠλευθέρωσας, ζωὴν καὶ ἀφθαρσίαν, τῷ Κόσμῳ δωρησάμενος, καὶ τὸ μέγα ἔλεος.

Ἕτερα γ. Ἀνατολικά, ἦχος, ὁ αὐτός.

Δεῦτε ἀνυμνήσωμεν Λαοὶ, τὴν τοῦ Σωτῆρος τριήμερον ἔγερσιν, δι᾽ ἧς ἐλυτρώθημεν τῶν τοῦ ᾅδου ἀλύτων δεσμῶν, καὶ ἀφθαρσίαν καὶ ζωὴν, πάντες ἐλάβομεν κράζοντες· ὁ σταυρωθεὶς καὶ ταφεὶς καὶ ἀναστὰς, σῶσον ἡμᾶς τῇ Ἀναστάσει σου μόνε φιλάνθρωπε.

Ἄγγελοι καὶ ἄνθρωποι Σωτὴρ, τὴν σὴν ὑμνοῦσι τριήμερον ἔγερσιν. δι᾽ ἧς κατηυγάσθη τῆς Οἰκουμένης τὰ πέρατα, καὶ τῆς δουλείας τοῦ ἐχθροῦ, πάντες ἐλυτρώθημεν· κράζοντες ζωοποιὲ Παντοδύναμε Σωτὴρ, σῶσον ἡμᾶς τῇ Ἀναστάσει σου, μόνε φιλάνθρωπε.

Πύλας χαλκᾶς συνέτριψας, καὶ μοχλοὺς συνέθλασας Χριστὲ ὁ Θεὸς, καὶ γένος ἀνθρώπων πεπτωκὸς ἀνέστησας. διὰ τοῦτο συμφώνως βοῶμεν· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι. Δόξα.

Κύριε, ἡ ἐκ Πατρός σου γέννησις, ἄχρονος ὑπάρχει καὶ ἀΐδιος. ἡ ἐκ Παρθένου σάρκωσις, ἄφραστος ἀνθρώποις καὶ ἀνερμήνευτος. καὶ ἡ εἰς ᾅδου κάθοδος, φοβερὰ διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ. θάνατον γὰρ πατήσας, τριήμερος ἀνέστης, ἀφθαρσίαν παρέχων ἀνθρώποις, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ διὰ σὲ Θεοπάτωρ Προφήτης Δαβὶδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖά σοι ποιήσαντι. παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου. σὲ γὰρ Μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ Ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι, εὐδοκήσας Θεὸς, ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὀρειάλωτον ἀνεῦρὼν, πρόβατον τοῖς ὤμοις ἀναλαβὼν, τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι ταῖς Οὐρανίαις συνάψῃ Δυνάμεσι, καὶ σώσῃ Θεοτόκε τὸν Κόσμον, Χριστὸς ὁ ἔχων τὸ μέγα καὶ πλούσιον ἔλεος.

Εἴσοδος, τὸ, Φῶς ἱλαρόν.

Προκείμενον, ἦχος, πλ.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεὸν, καὶ προσέσχε μοι.

Στ. Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεόν.

Στ. Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου.

Στ. Ὁ Θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σου.

Εἰς τὸν Στ. τὸ Ἀναστάσιμον στ. ἦχος, δ.

Κύριε ἀνελθὼν ἐν τῷ Σταυρῷ, τὴν προγονικὴν ἡμῶν κατάραν ἐξήλειψας. καὶ κατελθὼν ἐν τῷ ᾅδῃ, τοὺς ἀπ᾽ αἰῶνος δεσμίους ἠλευθέρωσας, ἀφθαρσίαν δωρούμενος τῷ ἀνθρώπων τῷ γένει. διὰ τοῦτο ὑμνοῦντες δοξάζομεν, τὴν ζωοποιὸν καὶ σωτήριόν σου ἔγερσιν.

Εἶτα τὰ στ. τῆς Ἑορτῆς, τὸ, Πάσχα Ἱερόν. καὶ τὰ λοιπὰ, ὡς εἴρηται, καὶ Ἀπόλυσις.

Τῇ Δ΄. τῆς Διακαινησίμου, εἰς τὸν Ὄρθρον ἡ Ἀκολουθία πᾶσα τῆς Ἑορτῆς, ὡς προδεδήλωται. Εἰς τοὺς Αἴνους, ἱστῶμεν στ. δ΄. καὶ ψάλλομεν στ. Ἀναστάσιμα, ἦχος, δ΄.

Ὁ Σταυρὸν ὑπομείνας, καὶ θάνατον, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, Παντοδύναμε Κύριε, δοξάζομέν σου τὴν Ἀνάστασιν.

Ἐν τῷ Σταυρῷ σου Χριστὲ, τῆς ἀρχαίας κατάρας ἠλευθέρωσας ἡμᾶς. καὶ ἐν τῷ θανάτῳ σου, τὸν τὴν φύσιν ἡμῶν τυραννήσαντα, διάβολον κατήργησας. ἐν δὲ τῇ ἐγέρσει σου, χαρᾶς τὰ πάντα ἐπλήρωσας. διὸ βοῶμέν σοι· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν Κύριε δόξα σοι.

Τῷ σῷ Σταυρῷ Χριστὲ Σωτὴρ, ὁδήγησον ἡμᾶς ἐπὶ τὴν ἀλήθειάν σου, καὶ ῥῦσαι ἡμᾶς τῶν παγίδων τοῦ ἐχθροῦ. ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἀνάστησον ἡμᾶς πεσόντας τῇ ἁμαρτίᾳ, ἐκτείνας τὴν χεῖρά σου, φιλάνθρωπε Κύριε, τῇ πρεσβείᾳ τῶν Ἁγίων σου.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας "Μανούσεια"

Τὸν πατρικῶν σου κόλπων μὴ χωρισθεὶς Μονογενὲς Λόγε τοῦ Θεοῦ, ἦλθες ἐπὶ γῆς διὰ φιλανθρωπίαν, ἄνθρωπος γενόμενος ἀτρέπτως· καὶ Σταυρὸν καὶ θάνατον ὑπέμεινας σαρκὶ, ὁ ἀπαθὴς τῇ Θεότητι. ἀναστὰς δὲ ἐκ νεκρῶν, ἀθανασίαν παρέσχες τῷ γένει τῶν ἀνθρώπων, ὡς μόνος Παντοδύναμος.

Εἶτα τὸ Ὅ τοῦ Πάσχα μετὰ τῶν στ. αὐτῶν, καὶ ἡ Λιτὴ ἔξω τῆς Μονῆς.

Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς Ἑορτῆς.

Προκείμ. τοῦ Ἀποστόλου, ἦχος, πλ. β΄.

Μνησθήσομαι τοῦ ὀνόματός σου.

Στ. Ἄκουσον θύγατερ, καὶ ἴδε.

Ἐν ταῖς ἡμέραις ἐκείναις, εἶπε Πέτρος πρὸς τὸν Λαόν.

Ἀλληλούϊα, ἦχος, γ΄.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.

Στ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

Τῷ καιρῷ ἐκείνῳ, εἱστήκει ὁ Ἰωάννης.

Κοινωνικόν, τῆς Ἑορτῆς.

Τῇ Δ. Ἑσπέρας εἰς τὸ Λυχνικόν, μετὰ τό, Χριστὸς ἀνέστη, καὶ τὴν Συναπτήν, τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ς΄. καὶ ψάλλομεν στ. Ἀναστάσιμα, ἦχος, πλ. α΄.

Διὰ τοῦ τιμίου σου Σταυροῦ Χριστὲ, διάβολον ᾔσχυνας. καὶ διὰ τῆς Ἀναστάσεώς σου, τὸ κέντρον τῆς ἁμαρτίας ἤμβλυνας. καὶ ἔσωσας ἡμᾶς ἐκ τῶν πυλῶν τοῦ θανάτου. δοξάζομέν σε Μονογενές.

Τὴν Ἀνάστασιν διδοὺς τῷ γένει τῶν ἀνθρώπων, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. ἔφριξαν τοῦτον οἱ ἄρχοντες τοῦ ᾅδου, καὶ ἐπήρθησαν πύλαι ὀδυνηραί. εἰσελήλυθε γὰρ ὁ Βασιλεὺς τῆς δόξης Χριστὸς, λέγων τοῖς ἐν δεσμοῖς ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλύπτεσθε.

Μέγα θαῦμα, ὁ τῶν ἀοράτων Κτίστης διὰ φιλανθρωπίαν, σαρκὶ παθὼν ἀνέστη ὁ ἀθάνατος. δεῦτε πατριαὶ τῶν Ἐθνῶν, τοῦτον προσκυνήσωμεν· τῇ γὰρ αὐτοῦ εὐσπλαγχνίᾳ ἐκ πλάνης ῥυσθέντες, ἐν τρισὶν Ὑποστάσεσιν, ἕνα Θεὸν ὑμνεῖν μεμαθήκαμεν.

Ἕτερα στ. Ἀνατολικά. ἦχος, ὁ αὐτός.

Ἑσπερινὴν προσκύνησιν, προσφέρομέν σοι τῷ ἀνεσπέρῳ φωτὶ, τῷ ἐπὶ τέλει τῶν αἰώνων, ὡς ἐν ἐσόπτρῳ διὰ σαρκὸς λάμψαντι τῷ Κόσμῳ, καὶ μέχρις ᾅδου κατελθόντι, καὶ τὸ ἐκεῖσε σκότος λύσαντι, καὶ τὸ φῶς τῆς Ἀναστάσεως τοῖς Ἔθνεσι δείξαντι, φωτοδότα Κύριε δόξα σοι.

Τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν, Χριστὸν δοξολογήσωμεν. αὐτοῦ γὰρ ἐκ νεκρῶν ἀναστάντος, Κόσμος ἐκ πλάνης σέσωσται. χαίρει χορὸς Ἀγγέλων, φεύγει δαιμόνων πλάνη. Ἀδὰμ πεσὼν ἀνίσταται, διάβολος κατήργηται.

Οἱ τῆς κουστωδίας ἐνηχοῦντο, ὑπὸ τῶν παρανόμων, καλύψατε Χριστοῦ τὴν ἔγερσιν, καὶ λάβετε ἀργύρια, καὶ εἴπατε, ὅτι ὑμῶν κοιμωμένων, ἐκ τοῦ μνημείου ἐσυλήθη ὁ νεκρός. τίς εἶδε; τίς ἤκουσε νεκρὸν κλαπέντα ποτέ; μάλιστα ἐσμυρνισμένον καὶ γυμνόν; καταλιπόντα, καὶ ἐν τῷ τάφῳ τὰ ἐντάφια αὐτοῦ; μὴ πλανᾶσθε Ἰουδαῖοι. μάθετε τὰς ῥήσεις τῶν Προφητῶν, καὶ γνῶτε, ὅτι αὐτός ἐστιν ἀληθῶς, ὁ Λυτρωτὴς τοῦ Κόσμου καὶ Παντοδύναμος.

Δόξα.

Κύριε ὁ τὸν ᾅδην σκυλεύσας, καὶ τὸν θάνατον πατήσας Σωτὴρ ἡμῶν, ὁ φωτίσας τὸν Κόσμον τῷ Σταυρῷ τῷ τιμίῳ, ἐλέησον ἡμᾶς.

Καὶ νῦν.

Ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, τῆς Ἀπειρογάμου Νύμφης εἰκὼν διεγράφη ποτέ. ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος, ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος. τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ, νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος. ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραὴλ, ἔμεινεν ἄβατος· ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουὴλ ἔμεινεν ἄφθορος. ὁ ὢν καὶ προὼν, καὶ φανεὶς ὡς ἄνθρωπος Θεὸς, ἐλέησον ἡμᾶς.

Εἴσοδος, τό, Φῶς ἱλαρόν, καὶ τὸ Προκείμενον, ἦχος, Βαρύς.

Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου.

Στ. Πρόσχες μοι καὶ εἰσάκουσόν μου.

Στ. Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν.

Στ. Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα.



Δημόσιες Βιβλιοθήκες
Δημόσια Κεντρική Βιβλιοθήκη

Ἐκτενής, τό, Καταξίωσον. Καὶ τὰ λοιπὰ πάντα, ὡς δεδήλωται.

Εἰς τὸν στ. τὸ Ἀναστάσιμον στιχηρόν. ἦχος, πλ. α΄.

Σὲ τὸν σαρκωθέντα Σωτῆρα Χριστόν, καὶ τῶν Οὐρανῶν μὴ χωρισθέντα, ἐν φωναῖς ᾀσμάτων μεγαλύνομεν· ὅτι Σταυρὸν καὶ θάνατον κατεδέξω, διὰ τὸ γένος ἡμῶν ὡς φιλάνθρωπος Κύριος, σκυλεύσας ᾅδου πύλας, τριήμερος ἀνέστης, σώζων τὰς ψυχὰς ἡμῶν.

Καὶ τὰ στ. τοῦ Πάσχα, ὡς προεγράφη, τό, Χριστὸς ἀνέστη, καὶ Ἀπόλυσις.

Τῇ Ε΄. τῆς Διακαινησίμου, εἰς τὸν Ὄρθρον γίνεται ἡ Ἀκολουθία πᾶσα, ὡς προδεδήλωται. Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἱστῶμεν στ. δ΄. καὶ ψάλλομεν στ. Ἀναστάσιμα, ἦχος, πλ. α΄.

Κύριε, ἐσφραγισμένου τοῦ Τάφου ὑπὸ τῶν παρανόμων, προῆλθες ἐκ τοῦ μνήματος, καθὼς ἐτέχθης ἐκ τῆς Θεοτόκου· οὐκ ἔγνωσαν πῶς ἐσαρκώθης, οἱ ἀσώματοί σου Ἄγγελοι. οὐκ ᾔσθοντο πότε ἀνέστης, οἱ φυλάσσοντές σε στρατιῶται. ἀμφότερα γὰρ ἐσφραγίσθη τοῖς ἐρευνῶσι. πεφανέρωται δὲ τὰ θαύματα, τοῖς προσκυνοῦσιν ἐν πίστει τὸ μυστήριον· ὃ ἀνυμνοῦσιν, ἀπόδος ἡμῖν ἀγαλλίασιν, καὶ τὸ μέγα ἔλεος.

Κύριε, τοὺς μοχλοὺς τοὺς αἰωνίους συντρίψας, καὶ δεσμὰ διαῤῥήξας ἐκ τοῦ μνήματος ἀνέστης. καταλιπών σου τὰ ἐντάφια, εἰς μαρτύριον τῆς ἀληθοῦς τριημέρου ταφῆς σου. καὶ προῆγες ἐν τῇ Γαλιλαίᾳ, ὁ ἐν σπηλαίῳ τηρούμενος. μέγα σου τὸ ἔλεος, ἀκατάληπτε Σωτήρ, ἐλέησον ἡμᾶς.

Κύριε, αἱ γυναῖκες ἔδραμον ἐπὶ τὸ μνῆμα, τοῦ ἰδεῖν σε τὸν Χριστόν, τὸν δι᾽ ἡμᾶς παθόντα. καὶ προσελθοῦσαι εὗρον Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τῷ φόβῳ κυλισθέντα· καὶ πρὸς αὐτὰς ἐβόησε λέγων· ἀνέστη ὁ Κύριος, εἴπατε τοῖς Μαθηταῖς, ὅτι ἀνέστη ἐκ νεκρῶν, ὁ σώζων τὰς ψυχὰς ἡμῶν.

Κύριε, ὥσπερ ἐξῆλθες ἐσφραγισμένου τοῦ τάφου, οὕτως εἰσῆλθες καὶ τῶν θυρῶν κεκλεισμένων, πρὸς τοὺς Μαθητάς σου, δεικνύων αὐτοῖς τὰ τοῦ σώματος πάθη, ἅπερ κατεδέξω Σωτὴρ μακροθυμήσας. ὡς ἐκ σπέρματος Δαβίδ, μώλωπας ὑπέμεινας, ὡς Υἱὸς δὲ τοῦ Θεοῦ, Κόσμον ἠλευθέρωσας. μέγα σου τὸ ἔλεος, ἀκατάληπτε Σωτήρ, ἐλέησον ἡμᾶς.

Εἶτα τὰ στ. τοῦ Πάσχα, τό, Χριστὸς ἀνέστη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς Ἑορτῆς.

Προκείμενον, ἦχος, γ΄.

Ψάλατε τῷ Θεῷ ἡμῶν ψάλατε.

Στ. Πάντα τὰ Ἔθνη κροτήσατε χεῖρας.

Ἡ Πρᾶξις. Ἀλληλούϊα, ἦχος, δ΄.

Ἐν ταῖς ἡμέραις ἐκείναις, εἶπε Πέτρος πρὸς τὸν λαόν.

Ἔντεινε, καὶ κατευοδοῦ καὶ βασίλευε.

Στ. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

Τῷ καιρῷ ἐκείνῳ Ἄνθρωπός τις.

Κοινωνικόν, τῆς Ἑορτῆς. Εἰς τὴν Τράπεζαν Παράκλησις γίνεται τοῖς Ἀδελφοῖς.

Τῇ Ε΄. Ἑσπέρας τῆς Διακαινησίμου.

Ψάλλομεν τὴν παροῦσαν Ἀκολουθίαν τὴν γεγονυῖαν παρὰ Κυρίου Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου, εἰς τὴν Ὑπεραγίαν, καὶ Κυρίαν Δέσποιναν Θεοτόκον, τὴν Ζωοδόχον Πηγήν. Οὐ γὰρ εὕρομεν ὑποτυπικὴν τὴν τοιαύτην Ἀκολουθίαν, ἀλλ᾽ ἐτέθη δι᾽ ἀγάπην τῆς Ὑπεραγίας Θεοτόκου.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ι΄. καὶ ψάλλομεν στ. Ἀναστάσιμα τῆς Ὀκτωήχου, ϛ΄. ἦχος, πλ. β΄.

Νίκην ἔχων Χριστέ, τὴν κατὰ τοῦ ᾅδου ἐν τῷ Σταυρῷ ἀνῆλθες, ἵνα τοὺς ἐν σκότει θανάτου καθημένους, συναναστήσῃς ἑαυτῷ, ὁ ἐν νεκροῖς ἐλεύθερος. ὁ πηγάζων ζωὴν ἐξ οἰκείου φωτός, Παντοδύναμε Σωτὴρ ἐλέησον ἡμᾶς.

Σήμερον ὁ Χριστὸς θάνατον πατήσας, καθὼς εἶπεν ἀνέστη, καὶ τὴν ἀγαλλίασιν τῷ Κόσμῳ ἐδωρήσατο· ἵνα πάντες κραυγάζοντες, τὸν ὕμνον οὕτως εἴπωμεν· ἡ πηγὴ τῆς ζωῆς, τὸ ἀπρόσιτον φῶς, Παντοδύναμε Σωτὴρ ἐλέησον ἡμᾶς.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ Σιατίστης "Μανούσειο"

ΣΕ Κύριε τὸν ὄντα ἐν πάσῃ τῇ Κτίσει, ἁμαρτωλοὶ ποῦ φύγωμεν; ἐν τῷ Οὐρανῷ; αὐτὸς κατοικεῖς. ἐν τῷ ᾅδῃ; ἐπάτησας θάνατον. εἰς τὰ βάθη τὰ τῆς θαλάσσης; ἐκεῖ ἡ χείρ σου Δέσποτα. πρὸς σὲ καταφεύγομεν, σοὶ προσπίπτοντες ἱκετεύομεν. ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἐλέησον ἡμᾶς.

Ἕτερα Ἀνατολικά. Ἦχος, ὁ αὐτός.

ΕΝ τῷ Σταυρῷ σου Χριστὲ καυχώμεθα, καὶ τὴν Ἀνάστασίν σου ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

ΔΟξα τῇ δυνάμει σου Κύριε, ὅτι κατήργησας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, ἀνεκαίνισας ἡμᾶς διὰ τοῦ Σταυροῦ σου, δωρούμενος ἡμῖν ζωὴν καὶ ἀφθαρσίαν.

ΔΙὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ. Σταυρὸν γὰρ ὑπομείνας, θανάτῳ θάνατον ὤλεσεν.

Καὶ τῆς Ζωοδόχου Πηγῆς τρία.

Ἦχος ὁ αὐτός.

Ὅλην ἀποθέμενοι.

ΞΕνα καὶ Παράδοξα, τῶν Οὐρανῶν ὁ Δεσπότης, ἐν σοὶ τετέλεκε, κατ' ἀρχὰς Παρθένε. καὶ γὰρ ἄνωθεν, ἐμφανῶς ἔσταξεν, ὑετὸς καθάπερ, ἐν τῇ μήτρᾳ σου Θεόνυμφε· πηγὴν δεικνύων σε, σύμπαν ἀγαθὸν ἀναβλύζουσαν, πλημμύραν τε ἰάσεων, τὰς εὐεργεσίας προῤῥέουσαν, ἅπασιν ἀφθόνως, τοῖς χρῄζουσι τὴν ῥῶσιν τῶν ψυχῶν, καὶ τὴν ὑγείαν τοῦ σώματος, ὕδατι τῆς χάριτος.

ΜΑ΄ννα σε Οὐράνιον, καὶ Παραδείσου Παρθένε, τὴν Πηγὴν τὴν ἔνθεον, ὀνομάζω Δέσποινα προσφυέστατα· τῆς γὰρ γῆς ἔδραμεν, ἡ ῥοὴ καὶ χάρις, τῆς Πηγῆς σου τετραμέρειαν, αὐτῆς καλύπτουσα, ξένοις τεραστίοις ἑκάστοτε. καὶ πᾶσι τὸ αἰτούμενον, γίνεται τὸ ὕδωρ πινόμενον. ὅθεν γεγηθότες, Χριστώνυμοι προστρέχομεν πιστῶς, ἁγιασμὸν ἀρυόμενοι, πάντοτε γλυκύῤῥοον.

ΡΕῖθρα τῶν ἰάσεων, ἀναβλυστάνεις Παρθένε, τοῖς πιστῶς προστρέχουσι, τῇ πηγῇ σου πάντοτε Θεονύμφευτε. δωρεὰν ῥέεις γάρ, δαψιλῆ καὶ χύδην, τοῖς νοσοῦσι τὰ ἰάματα. τυφλοὺς ἐμβλέποντας, φαίνεις ἐναργῶς προσιόντας σοι. χωλοὺς πολλοὺς ἀνώρθωσας, καὶ τοὺς παρειμένους συνέσφιγξας. τὸν δὲ νεκρωθέντα, ἐζώωσας προχύσει τῇ τριττῇ, ὑδρωπικῶν καὶ δυσπνόων τε, πάθη ἐθεράπευσας.

Δευτεροῦμεν τό, α΄. Δόξα, Ἦχος, πλ.

ΤΙς λαλήσει τὰς δυναστείας σου Πηγή; ἥτις ἐξ ἀκενώτων θαυμάτων πλημμυροῦσα, πολλὰ καὶ ὑπὲρ φύσιν ἐνεργεῖς διὰ ἰάσεων. βαβαὶ τῶν μεγαλείων, ὧν τοῖς πᾶσιν ἐπιῤῥέεις. οὐ μόνον γὰρ νοσήματα χαλεπὰ ἀπήλασας, τῶν προσιόντων μετὰ πόθου, ἀλλὰ καὶ τὰ τῶν ψυχῶν πάθη ἐκπλύνεις, καθαρίζουσα Πανάσπιλε. σὺν πᾶσι βραβεύουσα καὶ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος, πλ. β΄.

ΤΙς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς. φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς. οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Προκείμενον, ἦχος, βαρύς.

Ἀγαπήσω σε Κύριε ἡ ἰσχύς μου.

Στ. Ὁ Θεός μου βοηθός μου.

Στ. Αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον.

Στ. Ἤκουσεν ἐκ Ναοῦ Ἁγίου.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς.

Εἶτα τό, Καταξίωσον, Καὶ τὰ λοιπά.

Εἰς τὸν Στ. τὸ Ἀναστάσιμον στιχ. τῆς Ὀκτωήχου. Ἦχος, πλ. β΄.

ΤΗν Ἀνάστασίν σου Χριστὲ Σωτήρ, Ἄγγελοι ὑμνοῦσιν ἐν Οὐρανοῖς. καὶ ἡμᾶς τοὺς ἐπὶ γῆς καταξίωσον, ἐν καθαρᾷ καρδίᾳ σὲ δοξάζειν.

Εἶτα τὰ Στ. τοῦ Πάσχα, καταλιμπάνοντες τὰ παρόντα στ. τῆς Θεοτόκου, ἦχ. πλ. α΄.

Χαίροις ἀσκητικῶν.

ΧΑίροις ἡ ζωηφόρος Πηγή, κατὰ θαλάσσας πελαγίζουσα θαύματα, πρὸς πᾶσαν τὴν Οἰκουμένην, Ὠκεανὲ νοητέ, τὰ Νειλῷα ῥεῖθρα ὑπερβαίνουσα, τῇ χύσει τῆς χάριτος, Σιλωὰμ ἄλλος δεύτερος, ὕδωρ



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

πηγάζον, ὡς ἐκ πέτρας παράδοξον, Ἰορδάνου τε, δεξαμένη ἐνέργειαν. Νᾶμα σωτηριῶδές τε, ἐναργῶς τὸ γινόμενον, πρὸς τοῦ ζητοῦντος τὴν χρείαν, πλούσιον ὄντως, καὶ ἄφθονον, Χριστοῦ Μῆτερ Κόρη, ἡ προχέουσα τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Στ. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ.

Ὕμνοις ἐν ἐξαισίοις πιστοί, τὴν ἐπουράνιον νεφέλην ὑμνήσωμεν, σταγόνα τὴν οὐρανίαν, τὸν ζωοδότην Χριστόν, ἐπὶ γῆς ἀρρήτως ὑετίζουσαν, τὸ ζῶν τὸ ἁλλόμενον, καὶ πηγάζον ἀθάνατα, ὕδωρ τὸ θεῖον, τὴν ἀμβροσίαν τοῦ νέκταρος, τοῦ μηδέποτε, μετὰ πόσιν ἐκρέοντος· δίψαν δὲ τὴν συντηκοῦσαν, ψυχὰς ἀπελαύνοντος, ὅπερ πιόντες ἐμφρόνως, ῥεύματα θεῖα προβάλλονται, κοιλίας ἐκ νόου, ἐπομβρίζοντα τοῖς πᾶσι, χάριν τὴν ἄφθονον.

Στ. Τοῦ ποταμοῦ τὰ ὁρμήματα.

Χαίροις ἡ ζωοδόχος Πηγή, ἡ ἀενάως ἀναβλύζουσα χάριτας. ἡ βρύσις τῶν ἰαμάτων, ἡ πᾶσαν νόσων ἰσχύν, ἀθερῆ καὶ φαύλην ἀπελέγχουσα· τυφλῶν ἡ ἀνάβλεψις, καὶ λεπρῶν θεία κάθαρσις, ἡ πηγάζουσα, νοσημάτων πᾶν φάρμακον. ἅπασι τοῖς προστρέχουσι, πιστῶς τῷ Τεμένει σου, μέγα κοινὸν ἰατρεῖον, ἄμισθον ὄντως καὶ ἕτοιμον, Χριστοῦ Μήτηρ Λόγου, τοῦ πηγάζοντος τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Δόξα, ἦχος πλ. α.

Ἐλπίσωμεν φιλέορτοι ἐν ὕμνοις, σκιρτήσωμεν ἐν ὕδασι, καὶ χορεύσωμεν εὐφραινόμενοι, τοῖς ἀενάως πλημμυροῦσι τῆς ζωηφόρου πηγῆς. Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ πηγῆς τὴν χάριν προχείτωσαν ἀφθόνως. Βασιλέα γὰρ ἔσωσε, τοὺς ἐν κλίνῃ συνεχεθέντας δὲ τῇ προσψαύσει ἐξανέστησε. Ποιμένες τε καὶ σύμπαντες, τὴν ὀμβροφόρον νεφέλην, τὸ σωτήριον ὕδωρ, συνελθόντες ἀρυσώμεθα. οἱ ἐν νόσοις ἀπαλλαγήν, οἱ ἐν κινδύνοις τὴν ῥῶσιν· τὴν ἀνάψυξιν οἱ ἐν δίψει· τὰ ὄμματά τε οἱ τυφλοί· αἱ κωφεύοντες τὴν ἀκοήν· τὴν ἰατρείαν οἱ καχεκτοῦντες· οἱ ἐν θανάτοις τὴν ζωηφόρον· οἱ πάντες τὴν πανταχοῦ πιστοῖς προρρεύσαν, ὕδατα σωτηρίας, ἀνακροτήσαντες, οὕτω κράξωμεν· ἀείζωα προχέουσα νάματα, ἐκ πηγῆς ἁγνὴ μὴ διαλίπῃς Παρθένε, πρεσβεύουσα πάντοτε ὑπὲρ τῶν δούλων σου.

Καὶ νῦν, ὁ αὐτός.

Ἀναστάσεως ἡμέρα. Τό, Χριστὸς ἀνέστη.

Καὶ Ἀπόλυσις.

Τῇ Παρασκευῇ, τῆς Διακαινησίμου.

Εἰς τὸν Ὄρθρον, ὁ Κανὼν τοῦ Πάσχα μετὰ τῶν Εἱρμῶν εἰς η'. Καὶ τῆς Θεοτόκου εἰς ς'. Ὁ Κανὼν τοῦ Πάσχα. Ὠδὴ α'. Ἦχος α'.

Ἀναστάσεως ἡμέρα.

Καθαρθῶμεν τὰς αἰσθήσεις.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν.

Καὶ τῆς Θεοτόκου, οὗ ἡ ἀκροστ.

Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου.

Ὠδὴ α'. Ἦχος α'. Ἀναστάσεως ἡμέρα.

Νῦν πηγάσαις μοι Παρθένε, Θεοτόκε Πηγή, χάριν διδοῦσα λόγου, ὡς ἀνυμνήσω σου πηγήν, τὴν βλυστάνουσαν ζωήν, καὶ χάριν πιστοῖς. σὺ γὰρ ἐνυπόστατον, Λόγον πᾶσιν ἐπήγασας.

Ἰατρεῖον ὑπὲρ φύσιν, ὁ Ναός σου σεμνή, δείκνυται πᾶσι Κόρη. ἐκ γὰρ θαυμάτων προφανῶς, τοὺς προστρέχοντας πιστούς, σαφῶς ἀνιστᾷ, πᾶσι καὶ τὴν ἄφθονον, ἀναβλύζει γλυκύτητα.

Καταρρέεις Οὐρανόθεν, ἀκενώτως ἡμῖν, χάριτας ὄντως μόνη. τὸν γὰρ τυφλώττοντα ποιεῖς, ἀναβλέπειν πρὸς τὸ φῶς, βορβόρῳ καινῷ, φωνήσασα ἄνωθεν, ὑπὲρ ἔννοιαν τῷ Λέοντι.

Ἡ κοινὴ φιλοτιμία, τοῦ βροτείου σεμνή, Χαῖρε Μαρία χαῖρε. ὁ γὰρ τῶν ὅλων Ποιητής, ἐπὶ σοὶ ὥσπερ σταγών, κατέβη σαφῶς, πηγήν σε ἀθάνατον, ἀναδείξας Θεόνυμφε.

Καταβασία. Ἀναστάσεως ἡμέρα.

Ὠδὴ γ'. Δεῦτε πόμα.

Νῦν πάντα πεπλήρωται φωτός.

Χθὲς συνεθαπτόμην σοι Χριστέ.

Τῆς Θεοτόκου. Ὅμοια.

Φωτεινόν σε ἅγιον Ναόν, τοῦ Δεσπότου τῶν ὅλων Κόρη ἐπίσταμαι· καὶ ἀφθαρσίας πηγήν, τὸ ὕδωρ ἐπιρρεύσαν Χριστόν, ἐξ οὗ ποτιζόμεθα.

Ὅλων χάριν Δέσποινα Πηγή, Αὐτοκράτορι δίδους ὅρων τὴν πρόοδον, ἐπε-

χομέ-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσειος"

χομένην δεινῶς, τῇ λίθῳ ὑπόστασιν φρικτὴν, τῷ ὕδατι λύσασαν.

Ῥεῖα χάριν ἄφθονον ἐκ σοῦ, Θεοτόκε Παρθένε χύδην πηγάζουσα. χωλοὶ σκιρτῶσιν ἐν σοὶ, λεπρῶν καθαρίζεται πληθὺς, καὶ δαίμονες τρίζονται.

Ὅλοις νέμεις ἴασιν πιστοῖς, Βασιλεῦσι, δημώταις, καὶ πένησιν, Ἄρχουσι, πτωχοῖς, πλουσίοις κοινῶς, τὸ ὕδωρ προχέουσα Πηγὴ, ἀποίκιλον φάρμακον.

Καταβασία. Δεῦτε πόμα πίωμεν καινόν.

Κοντάκιον τοῦ Πάσχα.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες.

Κάθισμα, ἦχος, πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν ἀένναον κρήνην, καὶ ζωηρὰν, τὴν πηγάζουσαν ῥεῖθρα θείαν Πηγὴν, συμφώνως αἰνέσωμεν, οἱ τὴν χάριν αἰτούμενοι. καθ' ἑκάστην βρύει, καὶ γὰρ τὰ ἰάματα. ὡς ποταμῶν γὰρ ῥεύματα, δεικνῦσα ἐλάχιστα. ὅθεν κατὰ χρέος, προσιόντες ἐν πόθῳ, πιστῶς ἀρυσώμεθα, ἐκ πηγῆς ἀνεξαντλήτου, ῥῶσιν ὄντως ἀθάνατον, δροσίζουσαν πιστῶς τῶν ἀσεβῶν, τὰς καρδίας, χείλεσιν ἐκβοήσωμεν· σὺ εἶ τῶν πιστῶν τὸ παραμύθιον.

Ὠδὴ, δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.

Ἄρσεν μὲν ὡς διανοῖξαν.

Ὡς ἐνιαύσιος ἀμνός.

Ὁ Θεοπάτωρ μὲν Δαβίδ.

Τῆς Θεοτόκου. Ὅμοια.

Ὑπὲρ τὴν ψάμμον ἀληθῶς, καὶ τὰς σταγόνας ὑετῶν, πέφυκε Παρθένε τὰ πλήθη, τῆς πηγῆς τῶν ἔργων σου, ἀκαταπαύστως ῥέοντα, ἅπασαν ἐπὶ χθόνα πλουσίως, πάντα νοσοῦντα δεινῶς, τάχος ἰώμενα.

Κατασχεθέντα γυναικὸς, ὑπὸ καρκίνου τὸν μαζὸν, ὕδωρ ἐπιχεῖται Παρθένε, τῆς Πηγῆς σου Δέσποινα, καὶ παραυτίκα πέπαυται, πάθη θανατηφόρα τῷ ῥείθρῳ, καὶ ὁ καρκῖνος ὀρθὰ, βαίνειν ἐγνώρισεν.

Καταμόντον ἐν σοὶ, καὶ ὑπὲρ φύσιν τὸ πραχθὲν, ἔνεστι σαφῶς Θεοτόκε. τὸ γὰρ ὕδωρ γίνεται, τὸ τῆς Πηγῆς σου ἴαμα, νόσων θανατηφόρων ἐναντίον, ὅπερ ἡ φύσις, σαφῶς οἶδεν οὐδέποτε.

Ἐὶ θανατοῖ με ὁ ἐχθρὸς, ταῖς ἐνηδόνοις προσβολαῖς, Δέσποινα Πηγὴ Θεοτόκε· μὴ παρίδῃς πρόφθασον, ἡ ταχινὴ βοήθεια· τούτου δὲ τῶν παγίδων με λύτρου, ἵνα ὑμνῶ σε ἀεὶ τὴν Πολυΰμνητον.

Καταβασία. Ἐπὶ τῆς θείας φυλακῆς.

Ὠδὴ, έ. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν.

Προσέλθωμεν λαμπαδηφόροι.

Τῆς Θεοτόκου. Ὅμοια.

Ἀγάλλεμα Κόρη Παρθένε, τὰ τῆς Πηγῆς σου, τῷ ὄντι τεράστια, καταπλήττει τῶν βροτῶν διάνοιαν· ὑπὲρ γὰρ φύσιν πέφυκε, πάντας πιστοὺς ἁγιάζοντα.

Ἐστόρησε πόκος τὸ Μάννα, καὶ Σιλωὰμ καὶ ἡ πέτρα πηγάζουσα, Σολομῶντος ἡ στοὰ τὴν χάριν σου, τὰ Ἰορδάνεια νάματα, καὶ ἡ πηγὴ Σαμαρείτιδος.

Σταγόνες σου Κόρη Παρθένε, αἱ τῆς Πηγῆς καὶ νεκρὸν ἀνεζώωσαν. ὑπὲρ λόγον τὸ πραχθὲν καὶ ἔννοιαν. τὰ σὰ γὰρ πάντα Πάναγνε, λόγον νικᾷ τὸν ἀνθρώπινον.

Τὰ πάθη μου Κόρη ἴασαι, τῆς αἱμοῤῥοίας πηγὴν ἡ ξηράνασα, καὶ τὸ ῥῖγος τῆς φλογὸς τὴν ἄναψιν, καὶ ἐκτικὴν διάθεσιν, οὔρων καὶ δεσμὰ καὶ γαστρόῤῥοιαν.

Καταβασία. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Ὠδὴ, ς΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Φυλάξας τὸ σήμαντρα.

Σῶτέρ μου τὸ ζῶν τε καὶ ἄθυτον.

Τῆς Θεοτόκου. Ὅμοια.

Οἱ λόγοι τοῦ Λόγου ὡς ὄντως πηγὴν, ἀνυμνοῦσί σε ἁγνή. τῆς σοφίας βυθὸν γὰρ, ὡς ὑπὲρ λόγον γεννᾷς, τὸν κρεμάσαντα, ἐν αἰθέρι τὰς ῥοὰς, καὶ τὴν γῆν ἐπὶ ὕδωρ.

Ὑπῆλθες τὴν τῶν κλιμάκων φορὰν, ἀπελοῦσαν συντριβὴν, τοὺς ἐκεῖσε ζωγράφους, ὦ παναγία Πηγὴ, διασώσασα, καὶ Λαὸν ἀπὸ σεισμοῦ, πεπτωκότα τοῦ δόμου.

Τὰς μήτρας ἀγόνους στειρώσει τὸ πρὶν, διαλύεις ἐμφανῶς, τῆς πηγῆς σου τῷ ῥείθρῳ. καὶ γὰρ ὡς τέξασα σὺ, παρθενεύουσα, τὸν Δεσπότην τοῦ παντὸς, καὶ τοὺς τόκους βραβεύεις.

Οὐ λόγος, οὐ νοῦς, οὐδὲ γλῶττα τὸν σὸν, ἐξισχύουσιν Ἁγνὴ, τοκετὸν εὐφημῆσαι, ἀλλ' ἀθεμοῦσιν ἐν σοὶ, καὶ ἐλέγχεται, Φιλοσόφων τὸ σεμνὸν, καὶ Ῥητόρων κομψότης·

Καταβασία. Κατῆλθες ἐν τοῖς κατωτάτοις.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσειο"

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Ἐξ ἀκενώτου σου Πηγῆς Θεοχαρίτωτε, ἐπιβραβεύεις μοι πηγάζουσα τὰ νάματα, τῆς σῆς χάριτος ἀενάως ὑπὲρ λόγον· ὡς γὰρ τὸν Λόγον τετοκυῖαν ὑπὲρ ἔννοιαν, ἱκετεύω σε δροσίσαι με τῇ σῇ χάριτι· ἵνα κράζω σοι· Χαῖρε ὕδωρ σωτήριον.

Ὁ Οἶκος.

Ἄχραντε Θεοτόκε, ἡ τεκοῦσα ἀρρήτως, Πατρὸς τὸν προαιώνιον Λόγον· πλάτυνόν μου τὸ στόμα σεμνή, συνεισφέρουσά με πρὸς τὸν σὸν ἔπαινον· ὡς ἂν ἀνυμνήσω σε, κραυγάζων τῇ Πηγῇ σου ταῦτα. Χαῖρε πηγὴ χαρμονῆς ἀλήκτου. Χαῖρε ῥοὴ καλλονῆς ἀρρήτου. Χαῖρε νοσημάτων παντοίων κατάλυσις. Χαῖρε παθημάτων ποικίλων κατάκλυσις. Χαῖρε ῥεῖθρον διειδέστατον ὑγιαῖνον τοὺς πιστούς. Χαῖρε ὕδωρ χαριέστατον τοῖς νοσοῦσι πολλαπλῶς. Χαῖρε νᾶμα σοφίας, ἀγνωσίας ἐξαῖρον. Χαῖρε κρᾶμα καρδίας ἀμβροσίαν προῤῥέον. Χαῖρε κρατὴρ τοῦ Μάννα ζωῤῥύτε. Χαῖρε λουτὴρ καὶ νέκταρ θεοῤῥόαστε. Χαῖρε πορθμὸν ἀθανασίας δεικνῦσα. Χαῖρε φλογμὸν ἀῤῥωστίας σβεννῦσα. Χαῖρε ὕδωρ σωτήριον.

Τὸ Συναξάριον, πρῶτον τοῦ Μηναίου, Εἶτα τὸ παρόν.

Στίχ. Νᾶμα, Σιλωάμ, καὶ Στοὰν Σολομῶντος,
Πηγὴν Κόρης σὺν ἐμφανῶς πᾶς τις βλέπει.

Τῇ Παρασκευῇ τῆς Διακαινησίμου τὰ ἐγκαίνια ἑορτάζομεν τοῦ Ναοῦ τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν, καὶ Θεομήτορος, τῆς Ζωηφόρου Πηγῆς. ἔτι δὲ καὶ μνείαν ποιούμεθα τῶν ἐν τούτῳ τελεσθέντων ὑπερφυῶν θαυμάτων παρὰ τῆς Θεομήτορος. ὁ μὲν γὰρ Ναὸς οὗτος τὸ καταρχὰς συνέστη παρὰ τοῦ Βασιλέως Λέοντος τοῦ μεγάλου, ὃς καὶ Μακέλλης οὗτος ὠνόμαστο. χρηστὸς γὰρ ὢν ὁ ἀνήρ, καὶ ἐπιεικέστατος διὰ γνώμης συμπάθειαν, πρὶν ἢ τὸν Βασίλειον ἀναβῆναι Θρόνον, εἰς ἰδιώτας ἔτι ταττόμενος, ἐκεῖσέ πῃ περιὼν, ἄνδρα τινὰ πηρὸν τὰς ὄψεις ὁδῶν παραπαίοντα, ἐχειραγώγει. καὶ δὴ πλησίον τοῦ τόπου γενομένων, δίψει ἀπείρῳ συνέχεται ὁ πηρός, καὶ ἱκέτης τῷ Λέοντι γίνεται, ὕδατι ἀναψῦξαι αὐτόν. καὶ ὡς τὸ ἐκεῖσε συνηρεφὲς εἰσιὼν ἀνεζήτει, ἦν γὰρ τότε ὁ τόπος οὗτος δένδροις μὲν παντοίοις κατάφυτος, καὶ ἀνθαλεῖ τῇ πόᾳ κομῶν. ἐπεὶ οὖν τὸ ὕδωρ ἐκεῖ οὐχ εὕρισκε, σκυθρωπάζων ἀνέστρεφε. καὶ ὑποστρέφων, φωνῆς ἄνωθεν ἐν μεθέξει γίνεται. οὐ χρεὼν σε λεγούσης Λέον ἀγωνιᾶν· τὸ γὰρ ὕδωρ ἐγγύς. ὑποστραφεὶς οὖν πάλιν ἐζήτει. καὶ πολλὰ αὖθις καμὼν, πάλιν τῆς ἴσης φωνῆς ἐν μεθέξει γίνεται. φησὶ γάρ. Λέον Βασιλεῦ, εἰσιὼν τὸ ἐνδότερον, συνηρεφὲς τοῦτο, καὶ τοῦ θολεροῦ ὕδατος μετὰ χεῖρας λαβὼν, θεράπευσον τοῦ πηροῦ τὴν δίψαν. καὶ τὰς πεπηρωμένας ἐπιχρίσας ὄψεις ἐκείνου, γνώσῃ αὐτίκα ἥτις εἰμί, ἐκ πολλοῦ τόνδε κατοικοῦσα τὸν χῶρον. πράττει οὖν ὡς ἡ φωνὴ διεσάφησε, καὶ παραυτίκα βλέπων ἦν ὁ πηρός. κατὰ δὲ τὴν τῆς Θεομήτορος πρόῤῥησιν, τοῦ Λέοντος βασιλεύσαντος, ὁ θεῖος τῆς Πηγῆς Ναὸς ἀνεγείρεται φιλοτίμῳ χειρὶ, ὁποῖος ὁρᾶται τὴν σήμερον. Θαυμάτων δὲ πλείστων ἐν τούτῳ ἐπιῤῥεόντων· ἐπεὶ μετὰ χρόνον καὶ Ἰουστινιανὸς ὁ Ῥωμαίων μέγιστος Αὐτοκράτωρ τῇ δυσουρίᾳ πιεζόμενος, ἐντεῦθεν ἔσχε τὴν ἰατρείαν, ἀντιφιλοτιμούμενος τῇ τοῦ Λόγου Μητρὶ, τὸν μέγιστον ἀνεγείρει Νεὼν, ὃν ὑπὸ σεισμῶν διαφόρων διαῤῥαγέντα, ἐς ὕστερον Βασίλειος ὁ Μακεδὼν περιεποιήσατο, καὶ ὁ Υἱὸς αὐτοῦ Λέων ὁ σοφός. ἐφ᾽ ὧν καὶ πλεῖστα ἡ Πηγὴ ἐνήργησε θαύματα. ἀποστήματα γὰρ, καὶ δυσουρίας, καὶ ἑκτικὰ, καὶ ἄλλα μυρία τεθεράπευκε καρκίνων πάθη. καὶ αἱμοῤῥοίας διαφόρους Βασιλίδων, καὶ ἄλλων γυναίων, καὶ πυρετῶν διαφόρων ἑσμὸν, τρισαϊκῶν τε, καὶ ἄλλων ἐμπύρων. καὶ στειρώσεις διέλυσε, δώρημα τῆς Πηγῆς ταύτης ὁ Βασιλεὺς Κωνσταντῖνος ὁ Πορφυρογέννητος τῇ Βασιλίδι Ζωῇ γεννηθείς. ἀνήγειρε δὲ καὶ νεκρὸν ἡ Πηγή· ἦν δὲ ἐκεῖνος ἐκ Θεσσαλίας· κατερχόμενος γὰρ πρὸς αὐτὴν τελευτᾷ καθ᾽ ὁδόν. θνήσκων δὲ καὶ πνέων τὰ λοίσθια, ἐπισκήπτει τοῖς ναύταις, ἐκεῖσέ πῃ πρὸς τὸν Ναὸν τῆς Πηγῆς ἀγαγόντας, καὶ κάδδους τρεῖς αὐτῷ τοῦ ἐκεῖθεν πηγάζοντος ὕδατος ἐπιχέοντας, θάψαι. γίνεται τοῦτο, καὶ ὁ νεκρὸς τοῦ ὕδατος ἐπιχυθέντος διανίσταται. μετὰ δὲ χρόνους, τὸν μέγαν Ναὸν πεσεῖν μέλλοντα, φανεῖσα ἡ Θεοτόκος ἐπανεῖχεν, ἕως

ὃ τὸ περιῤῥεῦσαν πλῆθος ἐκφορηθείη. δαίμονας διαφόρους τὸ ὕδωρ τοῦτο ποθὲν, ἀπήλασε, καὶ ἐν φυλακῇ δεσμίους ἀπέλυσε· τῷ Βασιλεῖ Λέοντι τῷ σοφῷ λιθίασιν ἐξιᾶται· καὶ τῇ γυναικὶ Θεοφανῷ λαβρότατον πυρετὸν σβέννυται· τὸν δὲ ἀδελφὸν Στέφανον τὸν Πατριάρχην, τῆς ἐκτικῆς διαθέσεως ἀπολύει. καὶ Ἰωάννῃ τῷ Ἱεροσολύμων Πατριάρχῃ, τὴν ἀκοὴν ἐκτραπεῖσαν, ἰᾶται· θεραπεύει πυρετὸν σφοδρότατον καὶ τοῦ πατρικίου Ταρασίου, καὶ τῆς αὐτοῦ μητρὸς Μαγιστρίσσης, καὶ τὸν υἱὸν Στυλιανοῦ δυσουριῶντα ἰᾶται. Σχίζιναν δέ τινα γυναῖκα, τῆς δυσεντερίας λυτροῦται. Ὁ δὲ Βασιλεὺς Ῥωμανὸς ὁ ἐκ Λακάπης, καὶ λύσιν καὶ δέσιν γαστρὸς τῷ ὕδατι θεραπεύει· ὡσαύτως καὶ ἡ αὐτοῦ γυνή· ἐν Χαλδίᾳ τὸν Μοναχὸν Πέτρον, καὶ τὸν αὐτοῦ μαθητὴν θεραπεύει ἡ Θεομήτωρ δι' ἐπικλήσεως. ὡσαύτως καὶ τὸν Μοναχὸν Ματθαῖον, καὶ Μελέτιον πρὸς τὸν Βασιλέα διαβληθέντας. Πατρικίους δὲ καὶ Πρωτοσπαθαρίους, καὶ ἄλλους μυρίους, τίς ἂν διηγήσαιτο; λαγχάνει καὶ τῆς ἐπὶ τὸ ἰσχίον θεραπείας, καὶ ὁ ἐπὶ τοῦ θυμιάματος Στέφανος. καὶ ποία γλῶσσα ὅσα τὸ ὕδωρ τοῦτο ἐνήργησε, καὶ εἰς δεῦρο διενεργεῖ διηγήσαιτο; ὑπὲρ σταγόνας ὑετοῦ, καὶ ἄστρων, καὶ φύλλων πλῆθος τὰ θαύματα. ἃ δὴ καὶ ἡμεῖς ἐν τοῖς καθ' ἡμᾶς χρόνοις κατείδομεν. φαγέδαιναν γὰρ καὶ γάγγραιναν, καὶ διατρήσεις, καὶ θαυμάσια φύματα ἕτερα· καὶ ἄνθρακας, καὶ λέπραν, καὶ λώβην ὑπερφυῶς ἐθεράπευσε, καὶ ἄλλας ὀγκώσεις γυναικῶν, καὶ ψυχῆς πάθη τὸ πλέον ἰάσατο, καὶ ὀφθαλμῶν ἐπιχύσεις τε, καὶ λευκώματα καὶ ὑέλωπας. ἔτι δὲ καὶ νόσημα ὕδρωπος τῷ Βαράγγῳ Ἰωάννῃ, καὶ τῷ ἑτέρῳ Βαράγγῳ, πονηρὰ ἐθεράπευσεν ἕλκη, καὶ τῷ Ἱερομονάχῳ Μάρκῳ ἐξανθοῦσαν τῆς ἐπιφανείας δριμύτητα. καὶ τὴν ἐπὶ πεντεκαίδεκα ἔτεσι δέσποιναν ὑπερβάλλουσαν· ἐνταυτῷ καὶ λιθίασιν τοῦ Μοναχοῦ Μακαρίου· καὶ ἄλλα πλεῖστα, ἅπερ ἀριθμῆσαι λόγῳ ἀδύνατον· ἃ δὴ καὶ ἐνήργησε καὶ ἐνεργεῖ, καὶ οὔποτε παύεται.

Ταῖς τῆς σῆς Μητρὸς πρεσβείαις Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς.

Τὸ, Ἀνάστασιν Χριστοῦ θεασάμενοι.

Ὠδὴ ζ'. Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος.

Γυναῖκες μετὰ μύρων θεόφρονες.

Θανάτου ἑορτάζομεν νέκρωσιν.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος.

Τῆς Θεοτόκου. Ὅμοια.

Ὑδράσαθε νοσοῦντες ἰάματα, ἡ Παρθένος ῥέει γὰρ, θείας ἐκ πηγῆς, τὸν γλυκασμὸν τὸν ἀληθῆ, τὸν χειμάῤῥουν τρυφῆς ὄντως βλύζουσα. διὸ καὶ πίστει κρουνοὺς, τοὺς ἀφθόνους ἀρυσώμεθα σύμπαντες.

Ξενίζει τοὺς ἀκούοντας Δέσποινα, τὰ ξένα σου τέρατα, πάντας τοὺς πιστούς· τοὺς γὰρ ἀλάλους καὶ κωφοὺς, ὡς εὐλάλους δεικνύει τὸ ὕδωρ σου, τοὺς πάσχοντάς τε δεινῶς θεραπεύει, καὶ ἴασιν χαρίζεται.

Ἀνάγεις ἐκ καμίνου τῶν θλίψεων, δροσίζουσα νάμασι, ξένης ἐκ πηγῆς τοὺς προσιόντας σοι Σεμνή· φαγεδαίνης λυτροῦται γὰρ ἄνθρωπος, καὶ λώβης· τὸν δὲ λεπρὸν, θεραπεύεις, καὶ ἄνθρακας κατέσβεσας.

Νεανίδες καὶ Κόραι τὴν Δέσποιναν, καὶ σύμπαντες ἄνθρωποι, πίστει ἐκ ψυχῆς, ἀνευφημήσωμεν λαμπρῶς. διατρήσεις γὰρ ἥλων ὑέλωπας, καὶ ἕλκη τὰ πονηρὰ, καὶ ὀγκώσεις, καὶ παράλυτον ἰάσατο.

Καταβασία. Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος.

Ὠδὴ η'. Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου.

Πάτερ Παντοκράτορ.

Τῆς Θεοτόκου. Ὅμοια.

Θεῖον ἡ πηγὴ καὶ σεβάσμιον ὕδωρ, προῤῥέει σου Παρθένε. ὑδρωπικῶν γὰρ τὸ ῥεῦμα, ἀναχαιτίζει σφοδρῶς, ἐπικλήσει τῇ θείᾳ τῆς χάριτος. διό σε τιμῶμεν πηγὴν εἰς τοὺς αἰῶνας.

Πάντες τὸ σεπτὸν καὶ ζωῤῥυτον ὕδωρ, ὑμνήσωμεν προθύμως· τῆς γὰρ δυσπνοίας τὸ ῥεῦμα, κατὰ χώραν ἵστα, καὶ ἐλεύθερον ποιεῖ πρὸς διέξοδον, βαβαὶ σῶν θαυμασίων Ἁγνὴ Θεοκύητορ.

Ποῖον εὐφημήσει Παμύμνητε στόμα, τοῦ τόκου σου τὸ ξένον; ἀλλὰ καὶ νοῦς ὁποῖος, τῶν θαυμάτων πηγὴν περιβλέ-

ψαι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη ...

ψαιτο, καὶ λόγοις κροτήσειεν, οὐκ ἔστι τῇ φύσει ἰσχὺς τὰ σὰ θαυμάζειν.

Ὅλον ἐστὶ σοὶ τοῦ θανάτου τὸ κράτος, ἠφάνισται ἀθρόον, ὦ Βασιλεῦ καὶ Κύριε· Βασιλέα καὶ γάρ, τὴν ἀθάνατον ζωὴν σὺ ἐπήγασας, τὸ ὕδωρ τὸ Νάμα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Καταβασία. Αὕτη ἡ κλητὴ, καὶ ἁγία ἡμέρα.

Ὠδὴ, θ'. Φωτίζου, φωτίζου ἡ νέα.

Ὢ θείας, ὢ φίλης.

Ὢ Πάσχα τὸ μέγα.

Τῆς Θεοτόκου. Ὅμοια.

Ὑδάτων ἁπάντων, Κόρη ὑπέρκειται ἁγνὴ, τῆς Πηγῆς σου τὸ ὕδωρ, ἐμφανῶς δωρούμενον, ἀπαλλαγὴν νοσημάτων δεινῶν, καὶ ταῖς ψυχαῖς, ἅπασαν τὴν ῥῶσιν, ὡς ὑπὲρ φύσιν χεόμενον.

Λύτρα τῶν νόσων, τὸν Νέον ἰδοὺ Σιλωὰμ, τῆς Πηγῆς σου Παρθένε, καθορῶμεν ἅπαντες. ὄμματα γὰρ, προσλαμβάνει τηρὸς, ἅπαντες δὲ ῥῶσιν ἀσινῶς, πρὸς τῇ ζωῇ πορίζόμεθα.

Οἱ ῥῶσιν ζητοῦντες, δράμετε ἐν τῇ Πηγῇ· ἡ γὰρ Κόρη Παρθένος, ἐνοικεῖ τῷ ὕδατι, σκίρτα πιστῶν, καὶ ἀφραίνου πληθὺς, ὅπως ὡς χρὴ, ἥξει τῷ Τεκόντι, καὶ ἀμοιβὴ τῶν αἰτήσεων.

Ὑψώθη Πηγῆς σου, τὸ ὕδωρ ὑπὲρ Οὐρανοὺς, καὶ τῆς γῆς τὰς ἀβύσσους, ταῖς ῥοαῖς διέδραμε· τοῦτο ἐστὶν, ἀμβροσία ψυχῆς, νέκταρ πιστῶν, μέλι τὸ ἐκ πέτρας, καὶ ἡ τοῦ Μάννα διάδοσις.

Εὐφραίνεις Παρθένε, τὸν Ἄνακτα ὑπερφυῶς, ἀναβλύζουσα χάριν, ἐκ Πηγῆς ἀέναον, τούτῳ διδοὺς, κατ' ἐχθρῶν τὴν ἰσχὺν, νίκας ἀεὶ, ῥῶσιν καὶ εἰρήνην, καὶ αἰτημάτων ἐκπλήρωσιν.

Καταβασία. Φωτίζου, φωτίζου ἡ νέα.

Ἐξαποστειλάριον, τῆς Ἑορτῆς.

Σαρκὶ ὑπνώσας ὡς θνητὸς, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον, Πάσχα τῆς ἀφθαρσίας, τοῦ Κόσμου σωτήριον.

Καὶ τῆς Πηγῆς. Ὅμοιον.

Πηγὴ ὑπάρχεις ἀληθῶς, ὕδατος ζῶντος Δέσποινα. ἐκπλύνεις οὖν νοσήματα, ψυχῶν σωμάτων χαλεπὰ, ἐν τῇ προσψαύσει μόνῃ σου, ὕδωρ τῆς σωτηρίας, Χριστὸν ἡ προχέουσα.

Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή. Ἱστῶμεν στίχους η'. καὶ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα τῆς Ὀκτωήχου, δ'. ἦχος, πλ. β.

Ὁ Σταυρός σου Κύριε, ζωὴ καὶ Ἀνάστασις ὑπάρχει τῷ Λαῷ σου, καὶ ἐπ' αὐτῷ πεποιθότες, σὲ τὸν ἀναστάντα Θεὸν ἡμῶν ὑμνοῦμεν, ἐλέησον ἡμᾶς.

Ἡ Ταφή σου Δέσποτα, Παράδεισον ἤνοιξε τῷ γένει τῶν ἀνθρώπων. καὶ ἐκ φθορᾶς λυτρωθέντες, σὲ τὸν ἀναστάντα Θεὸν ἡμῶν ὑμνοῦμεν, ἐλέησον ἡμᾶς.

Σὺν Πατρὶ καὶ Πνεύματι, Χριστὸν ἀνυμνήσωμεν, τὸν ἀναστάντα ἐκ νεκρῶν, καὶ πρὸς αὐτὸν ἐκβοῶμεν· σὺ ζωὴ ὑπάρχεις ἡμῶν καὶ Ἀνάστασις, ἐλέησον ἡμᾶς.

Τριήμερος ἀνέστης Χριστὲ, ἐκ τάφου καθὼς γέγραπται, συνεγείρας τὸν προπάτορα ἡμῶν. διό σε καὶ δοξάζει, τὸ γένος τῶν ἀνθρώπων, καὶ ἀνυμνεῖ σου τὴν Ἀνάστασιν.

Καὶ τῆς Θεοτόκου, ἦχος, β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Ὕδωρ τὸ τῆς Πηγῆς, σωτήριον ὑπάρχει, πᾶσι τοῖς ἀσθενοῦσι. προσέλθωμεν οὖν πίστει, καὶ χάριν ἀρυσώμεθα.

Ῥέαρ τὸ ζωηρὸν, Πηγῆς τῆς ἀθανάτου, τοῖς προσιοῦσι πόθῳ, ἰάσεων παρέχει, πλημμύραν ἀνεξάντλητον.

Στίχ. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

Ῥώννυσι τὰς ψυχὰς, τὸ ὕδωρ τῆς Παρθένου, οἱ τῶν παθῶν ἐν ῥύποις, προσδράμωμεν τῇ Κόρῃ, καὶ τούτους ἀποπλύνωμεν.

Δόξα, καὶ νῦν.

Σὺ ὁ ναὸς ἡ ἱερὰ, τὸ Μάννα καὶ ἀφθόνως, ἐξ ἀκηράτου Κόρης, προχέει τὸν Δεσπότην. τὴν χρείαν πᾶς ἀντλήσωμεν.

Καὶ τὰ λοιπὰ τοῦ Πάσχα, Ἐκτενὴς, καὶ Ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα τῆς Ἑορτῆς. Ἡ Πρᾶξις τῆς ἡμέρας. καὶ ὁ Ἀπόστολος τῆς Θεοτόκου. Εὐαγγέλιον τῆς ἡμέρας, καὶ τῆς Θεοτόκου. Ζήτει Σεπτεμβρίῳ, ἢ Κοινωνικὸν τῆς Ἑορτῆς. Εἰς τὴν τράπεζαν Παράκλησις γίνεται τοῖς Ἀδελφοῖς. Μεγαλυνάριον.

Πρὸς

Δημόσια Κεντρική Βιβλιοθήκη

Πρός, Τὴν τιμιωτέραν.

Ὕδωρ τὸ ζωήῤῥυτον τῆς Πηγῆς, Μάννα τὸ προχεόν, τὸν ἀθάνατον δροσισμὸν, τὸ Νέκταρ τὸ θεῖον, τὴν ξένην ἀμβροσίαν, τὸ Μέλι τὸ ἐκ πέτρας, πίστει τιμήσωμεν.

Τῇ Παρασκευῇ Ἑσπέρας, μετὰ τὸ, Χριστὸς ἀνέστη, καὶ τὴν Συναπτήν. τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ϛ΄. καὶ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα. ἦχος, πλ. δ΄.

Ἑσπερινὸν ὕμνον, καὶ λογικὴν λατρείαν, σοὶ Χριστὲ προσφέρομεν, ὅτι ηὐδόκησας, τοῦ ἐλεῆσαι ἡμᾶς διὰ τῆς Ἀναστάσεως.

Κύριε Κύριε, μὴ ἀποῤῥίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου, ἀλλὰ εὐδόκησον τοῦ ἐλεῆσαι ἡμᾶς διὰ τῆς Ἀναστάσεως.

Χαῖρε Σιὼν ἁγία, Μήτηρ τῶν Ἐκκλησιῶν, Θεοῦ κατοικητήριον· σὺ γὰρ ἐδέξω πρώτη, ἄφεσιν ἁμαρτιῶν, διὰ τῆς Ἀναστάσεως.

Ἕτερα Ἀνατολικὰ, ἦχος, ὁ αὐτός.

Ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, πρὸ τῶν αἰώνων γεννηθεὶς, ἐπ' ἐσχάτων δὲ τῶν χρόνων, ὁ αὐτὸς ἐκ τῆς Ἀπειρογάμου σαρκωθεὶς, βουλήσει σταύρωσιν θανάτου ὑπέμεινε, καὶ τὸν πάλαι νεκρωθέντα ἄνθρωπον ἔσωσε, διὰ τῆς ἑαυτοῦ Ἀναστάσεως.

Τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν, δοξολογοῦμεν Χριστὲ, δι' ἧς ἠλευθέρωσας Ἀδαμιαῖον γένος, ἐκ τῆς τοῦ Ἅδου τυραννίδος, καὶ ἐδωρήσω τῷ Κόσμῳ ὡς Θεὸς, ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Δόξα σοι Χριστὲ Σωτὴρ, Υἱὲ Θεοῦ μονογενὲς, ὁ προσπαγεὶς ἐν τῷ Σταυρῷ, καὶ ἀναστὰς ἐκ τάφου τριήμερος.

Δόξα.

Σὲ δοξάζομεν Κύριε, τὸν ἑκουσίως δι' ἡμᾶς Σταυρὸν ὑπομείναντα, καὶ σὲ προσκυνοῦμεν Παντοδύναμε Σωτὴρ, μὴ ἀποῤῥίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου, ἀλλ' ἐπάκουσον, καὶ σῶσον ἡμᾶς, διὰ τῆς Ἀναστάσεώς σου φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ Βασιλεὺς τῶν Οὐρανῶν διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. ἐκ Παρθένου γὰρ Ἁγνῆς, σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως. εἷς ἐστὶν Υἱὸς, διπλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν ὑπόστασιν. διὸ τέλειον αὐτὸν Θεὸν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε Μῆτερ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ, Φῶς ἱλαρόν. καὶ τὸ Προκείμενον, ἦχος, πλ. δ΄.

Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις.

Στίχ. Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα.

Στίχ. Σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.

Στίχ. Οὕτω ψαλῶ τῷ ὀνόματί σου.

Ἐκτενής. μετὰ τὸ, Καταξίωσον Κύριε, καὶ τὰ λοιπά, τὸ Ἀναστάσιμον στιχηρὸν τοῦ στίχου, ἦχος, πλ. δ΄.

Ἀνῆλθες ἐπὶ Σταυροῦ, Ἰησοῦ, ὁ καταβὰς ἐξ Οὐρανοῦ, ἦλθες ἐπὶ θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος· πρὸς τοὺς ἐν σκότει τὸ φῶς τὸ ἀληθινὸν, πρὸς τοὺς πεσόντας ἡ πάντων Ἀνάστασις· ὁ φωτισμὸς καὶ ὁ Σωτὴρ ἡμῶν δόξα σοι.

Εἶτα τὰ στιχηρὰ τοῦ Πάσχα, τὸ, Χριστὸς ἀνέστη, ἐκτενής, καὶ Ἀπόλυσις.

Τῷ Σαββάτῳ τῆς Διακαινησίμου, εἰς τὸν Ὄρθρον, ἡ Ἀκολουθία ὡς προγράφη. Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα. ἦχος, πλ. δ΄.

Κύριε, εἰ καὶ κριτηρίῳ παρέστης, ὑπὸ Πιλάτου κρινόμενος, ἀλλ' οὐκ ἀπελείφθης τοῦ θρόνου, τῷ Πατρὶ συγκαθεζόμενος. καὶ ἀναστὰς ἐκ νεκρῶν, τὸν Κόσμον ἠλευθέρωσας, ἐκ τῆς δουλείας τοῦ ἀλλοτρίου, ὡς Οἰκτίρμων καὶ φιλάνθρωπος.

Κύριε, εἰ καὶ ὡς θνητὸν ἐν μνημείῳ, Ἰουδαῖοί σε κατέθεντο, ἀλλ' ὡς Βασιλέα ὑπνοῦντα, στρατιῶται σὲ ἐφύλαττον. καὶ ὡς ζωῆς θησαυρὸν, σφραγῖδι ἐσφραγίσαντο. ἀλλὰ ἀνέστης, καὶ παρέσχες, ἀφθαρσίαν ταῖς ψυχαῖς ἡμῶν.

Κύριε, ὅπλον κατὰ τοῦ Διαβόλου, τὸν Σταυρόν σου ἡμῖν δέδωκας. φρίττει γὰρ καὶ τρέμει, μὴ φέρων καθορᾶν αὐτοῦ τὴν

δύνα-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

δύναμιν, ὅτι νεκροὺς ἀφίστα, καὶ θάνατον κατήργησε. διὰ τοῦτο προσκυνοῦμεν, τὴν ταφήν σου καὶ τὴν ἔγερσιν.

Ὁ Ἄγγελός σου Κύριε, ὁ τὴν Ἀνάστασιν κηρύξας, τοὺς μὲν φύλακας ἐφόβησε, τὰς δὲ γυναῖκας ἐφώνησε λέγων· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; ἀνέστη Θεὸς ὤν, καὶ τῇ Οἰκουμένῃ ζωὴν ἐδωρήσατο.

Εἶτα τὰ Στιχ. τοῦ Πάσχα μετὰ τῶν Στιχ. αὐτῶν. τὸ Χριστὸς ἀνέστη, γ΄. Ἐκτενής, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, τὸ Ἀντίφωνα τῆς Ἑορτῆς.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος, γ΄.

Κύριος φωτισμός μου καὶ Σωτήρ μου.

Στιχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Ἡ Πρᾶξις τῆς ἡμέρας.

Ἀλληλούϊα. ἦχος, πλ. α΄.

Ὁ Κύριος ἐβασίλευσεν.

Στιχ. Καὶ γὰρ ἐστερέωσε τὴν Οἰκουμένην.

Τὸ Εὐαγγέλιον τῆς ἡμέρας.

Κοινωνικόν. Σῶμα Χριστοῦ.

Εἰς τὴν τράπεζαν ὁ Κελλαρίτης, ἅμα τὸ καθίσαι τοὺς ἀδελφούς, τὸν δι᾽ ὅλης τῆς Ἑβδομάδος ὑψούμενον ἄρτον, ἀντὶ τῆς Παναγίας, κατακλῶν, διαδίδωσι τούτοις, πρὸ τῆς εἰθισμένης αὐτῶν τροφῆς φαγεῖν.

Ἐν τῇ Παναγίᾳ λέγεται τὸ, Χριστὸς ἀνέστη, ἅπαξ. Εἶτα ὑψοῦται εἰς τὸ, Παναγία Θεοτόκε βοήθει ἡμῖν. τὸ δὲ, Χριστὸς ἀνέστη, ἐκφωνεῖται κατὰ τὸ τέλος ἐν τῇ τραπέζῃ, ἄχρι τῆς Ἀναλήψεως.

Δεῖ γινώσκειν, ὅτι τὰς Ἑννάτην Ὥραν ψάλλομεν τρίψαλμον, ὡς καθ᾽ ἑκάστην, καὶ λέγομεν Τροπάριον.

Ἐξ ὕψους κατῆλθες.

Καὶ Κοντάκιον.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες Ἀθάνατε.

---

Τῇ Κυριακῇ τοῦ Ἀντιπάσχα, ἤτοι ἡ Ψηλάφησις τοῦ Ἁγίου καὶ ἐνδόξου Ἀποστόλου Θωμᾶ.

Ἰστέον, ὅτι ἐν ταύτῃ τῇ Ἁγίᾳ δευτέρᾳ Κυριακῇ τοῦ Ἀντιπάσχα, οὐ ψάλλονται Ἀναστάσιμα, ἀλλ᾽ ἅπαντα τῆς Ἑορτῆς. Τῷ Σαββάτῳ Ἑσπέρας, εἰς τὸν μικρὸν Ἑσπερινόν, ἱστῶμεν στίχους, δ΄. καὶ ψάλλομεν εἰς τὸ, Κύριε ἐκέκραξα, καὶ εἰς τὸ, Καταξίωσον, ἐκ τῶν Μεθεόρτων Προσομοίων τῆς Ἑορτῆς τοῦ Θωμᾶ. Οὕτω γὰρ ποιοῦμεν εἰς τὸν μικρὸν Ἑσπερινόν, ἐν αἷς Ἀγρυπνίαις οὐ ψάλλεται ἡ Ὀκτώηχος.

Δόξα, καὶ νῦν, οἷον βούλεται ἐκ τῶν Ἰδιομέλων τῆς ἡμέρας, ὁ Ἐκκλησιάρχης, Στιχ. προσόμοια, ἦχος, α΄.

Τῶν Οὐρανίων ταγμάτων.

Φέρει Χριστὸς φιλανθρώπως, καὶ τὴν ψηλάφησιν, ὡς καὶ Σταυρὸν πρὸ ταύτης, καὶ τὸν ἄδικον φόνον, τάφου τριημέρως ἐξαναστάς, τὰς σφραγῖδας οὐκ ἔλυσε, καὶ τῶν θυρῶν κεκλεισμένων τοῖς Μαθηταῖς, ἐπιστὰς ὡς Παντοδύναμος.

Τοῦ Θωμᾶ ἀπιστία, τὴν κοσμοσώτηραν, τοῦ Θεανθρώπου Λόγου, τὴν ἐξ ᾅδου κάθοδον, ἔγερσιν πιστοῦται, τρώσιν χειρῶν, καὶ ποδῶν τολμηρότερον, ἐκψηλαφοῦσα πρὸς πίστωσιν κοσμικήν, δεξιᾷ τῇ φιλοπράγμονι.

Συνηθροισμένων τῷ φόβῳ, τῷ ἐκ τοῦ πάθους σου, τῶν Ἀποστόλων Λόγε, καὶ θυρῶν κεκλεισμένων, ἄφνω συνεισῆλθες, μέσον αὐτῶν, τὴν εἰρήνην δωρούμενος, καὶ τῷ Θωμᾷ προτεινόμενος ψηλαφᾶν, τοὺς σεπτοὺς πλευρᾶς σου μώλωπας.

Δόξα, καὶ νῦν, ἦχος, β΄.

Μετὰ τὴν ἔγερσίν σου Κύριε, συνηγμένων τῶν Μαθητῶν σου, καὶ τῶν θυρῶν κεκλεισμένων, ἐν μέσῳ ἔστης, εἰρήνην παρέχων αὐτοῖς. πεισθεὶς δὲ καὶ ὁ Θωμᾶς, τῇ ὁράσει τῶν χειρῶν, καὶ τῆς πλευρᾶς σου, Κύριον καὶ Θεόν σε ὡμολόγησε, σώζοντα τοὺς ἐλπίζοντας εἰς σὲ Φιλάνθρωπε.

Εἰς τὸν Στιχ. Στιχ. προσόμοια, ἦχος, β΄.

Ὁ οἶκος τοῦ Εὐφραθᾶ.

Χείλεσι καθαροῖς, ὑμνεῖτε σὺν Ἀγγέλοις, βροτοὶ τὸν Ἀναστάντα, τριήμερον ἐκ τάφου, καὶ Κόσμον συνεγείραντα.

Στιχ. Ἐπαίνει Ἱερουσαλήμ.

Ὤφθης τοῖς ἱεροῖς, σοῦ Σῶτερ Ἀποστόλοις, τῶν θυρῶν κεκλεισμένων, δι᾽ αὐτῶν ἐγκαινίζων, ἡμῖν τὸ θεῖον Πνεῦμά σου.

Στιχ. Ὅτι

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανουσεια"

Στ. Ὅτι ἐνίσχυσε τοὺς μοχλούς.

Νῦν σε Παμβασιλεῦ, ἰδόντες οὐ βλεφάροις, ἀλλὰ καρδίας πόθῳ, Θεὸν πεπιστευκότες, ἐν ὕμνοις μεγαλύνομεν.

Δόξα, καὶ νῦν, Ὅμοιον.

Νέμεις ὦ Λυτρωτά, εἰρήνην τῷ Λαῷ σου, καὶ ὀφλημάτων λύσιν, πρεσβείαις τῆς Πανάγνου, καὶ μόνης Θεομήτορος.

Ἐν δὲ τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸ εὐλογῆσαι τὸν Ἱερέα, τό, Χριστὸς ἀνέστη, γ΄. τὸν Προοιμιακὸν Ψαλμόν, καὶ τὸ πρῶτον Κάθισμα τοῦ Ψαλτηρίου.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ι΄. καὶ ψάλλομεν στ. Ἰδιόμελα τῆς νέας Κυριακῆς τοὺς δ΄. πρώτους, δευτεροῦντες αὐτούς, καὶ τοὺς β΄. δευτέρους, πρὸς μίαν. Ἦχος, α΄.

Ἰωάννου Μοναχοῦ.

Τῶν θυρῶν κεκλεισμένων, τῶν Μαθητῶν συναθροισμένων, εἰσῆλθες ἄφνω παντοδύναμε, Ἰησοῦ ὁ Θεὸς ἡμῶν. καὶ στὰς ἐν μέσῳ αὐτοῖς, εἰρήνην δοὺς ἐπλήρωσας ἁγίου Πνεύματος· προσμένειν τε προσέταξας, καὶ μηδαμοῦ χωρίζεσθαι ἀπὸ Ἱερουσαλήμ, ἕως οὗ ἐνδύσωνται τὴν ἐξ ὕψους δύναμιν. διὸ βοῶμέν σοι· ὁ φωτισμὸς καὶ ἡ Ἀνάστασις, καὶ ἡ εἰρήνη ἡμῶν δόξα σοι.

Δίς. Ὁ αὐτός.

Μεθ' ἡμέρας ὀκτὼ τῆς ἐγέρσεώς σου Κύριε, ὤφθης τοῖς Μαθηταῖς σου, ἐν τόπῳ οὗ ἦσαν συνηγμένοι. καὶ φωνήσας αὐτοῖς, εἰρήνη ὑμῖν, τῷ ἀπιστοῦντι Μαθητῇ τὰς χεῖρας ὑπέδειξας, καὶ τὴν ἄχραντον πλευράν. ὁ δὲ πεισθεὶς ἐβόα σοι. ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Δίς. Ὁ αὐτός.

Θωμᾶς ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν, ὅτε εἰσῆλθες Χριστέ, κεκλεισμένων τῶν θυρῶν. ὅθεν καὶ ἠπίστει τοῖς ῥηθεῖσιν αὐτῷ, ἐξ ἀπιστίας εἰς πίστιν βεβαιῶν. οὐκ ἀπηξίωσας δὲ ἀγαθέ, ὑποδεῖξαι αὐτῷ τὴν ἄχραντον πλευράν σου, καὶ τῶν χειρῶν καὶ τῶν ποδῶν τοὺς μώλωπας. ὁ δὲ ψηλαφήσας, καὶ ἰδὼν ὡμολόγησέ σε εἶναι Θεὸν οὐ γυμνόν, καὶ ἄνθρωπον οὐ ψιλόν· καὶ ἐβόα· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Δίς. Ὁ αὐτός.

Τῶν Μαθητῶν διστα ζόντων, τῇ ὀγδόῃ ἡμέρᾳ, ἐπέστη ὁ Σωτήρ, οὗ ἦσαν συνηγμένοι, καὶ τὴν εἰρήνην δούς, τῷ Θωμᾷ ἐβόησε· δεῦρο Ἀπόστολε ψηλάφησον παλάμας, αἷς τοὺς ἥλους ἔπηξαν. ὢ καλὴ ἀπιστία τοῦ Θωμᾶ. τῶν πιστῶν τὰς καρδίας εἰς ἐπίγνωσιν ἦξε, καὶ μετὰ φόβου ἐβόησεν· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Ἦχος, β΄.

Μετὰ τὴν ἔγερσίν σου Κύριε, συνηγμένων τῶν Μαθητῶν σου, καὶ τῶν θυρῶν κεκλεισμένων, ἐν μέσῳ ἔστης, εἰρήνην παρέχων αὐτοῖς. πεισθεὶς δὲ καὶ ὁ Θωμᾶς, τῇ ὁράσει τῶν χειρῶν, καὶ τῆς πλευρᾶς σου, Κύριον, καὶ Θεόν σε ὡμολόγησε, σώζοντα τοὺς ἐλπίζοντας εἰς σὲ φιλάνθρωπε.

Ὁ αὐτός.

Τῶν θυρῶν κεκλεισμένων, ἐπιστὰς ὁ Ἰησοῦς τοῖς Μαθηταῖς, ἀφοβίαν καὶ εἰρήνην ἐδίδου. εἶτα λέγει τῷ Θωμᾷ· τί μοι ἀπιστεῖς, ὅτι ἀνέστην ἐκ νεκρῶν; φέρε ὧδε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ ἴδε. σοῦ γὰρ ἀπιστοῦντος οἱ πάντες ἔμαθον, τὰ πάθη καὶ τὴν Ἀνάστασίν μου, κράζειν μετὰ σοῦ· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Δόξα, καὶ νῦν, Ἦχος, πλ. β΄.

Ἰωάννου Μοναχοῦ.

Τῶν θυρῶν κεκλεισμένων, ἐπέστης Χριστὲ πρὸς τοὺς Μαθητάς. τότε ὁ Θωμᾶς οἰκονομικῶς οὐχ εὑρέθη μετ' αὐτῶν. ἔλεγε γάρ· οὐ μὴ πιστεύσω, ἐὰν μὴ ἴδω κἀγὼ τὸν Δεσπότην. ἴδω τὴν πλευράν, ὅθεν ἐξῆλθε τὸ αἷμα, τὸ ὕδωρ, τὸ Βάπτισμα. ἴδω τὴν πληγήν, ἐξ ἧς ἰάθη τὸ μέγα τραῦμα ὁ ἄνθρωπος. ἴδω πῶς οὐκ ἦν ὡς πνεῦμα, ἀλλὰ σὰρξ καὶ ὀστέα. ὁ τὸν θάνατον πατήσας, καὶ Θωμᾶν πληροφορήσας, Κύριε δόξα σοι.

Εἴσοδος, τό, Φῶς ἱλαρόν.

Προκείμενον τῆς ἡμέρας.

Ὁ Κύριος ἐβασίλευσεν.

Εἰς τὴν Λιτὴν στ. Ἰδιόμ. Ἦχος, δ΄.

Κύριε, τῇ ἀστέκτῳ τῆς σῆς Θεότητος αἴγλῃ, τῶν θυρῶν ἐπέστης οὐσῶν κεκλεισμένων, καὶ στὰς ἐν μέσῳ τῶν Μαθητῶν, τὴν πλευρὰν ἐξεγύμνωσας, καὶ τραυ-



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη

μάτων σου χειρῶν, καὶ τῶν ποδῶν τὰς ὠτειλὰς δεικνύων. ἀθυμίας τὴν κατήφειαν τε λύων, σαφῶς ἐφώνησας· ὃν τρόπον ἐν ἐμοὶ καθορᾶτε ὦ φίλοι, τῆς σαρκὸς τὴν πρόσληψιν, οὐ πνεύματος φέρω φύσιν. τῷ δὲ διστάζοντι Μαθητῇ προετρέπου ψηλαφῆσαι φρικτῶς κατειπών· ἐρεύνησας ἅπαντα, δεῦρο λοιπὸν μὴ ἀμφίβαλλε, ὁ δὲ αἰδούμενος, ἐν τῇ χειρὶ τῆς σῆς διπλῆς οὐσίας, ἐν φόβῳ ἀνεβόα πιστῶς, τῇ πίστει ἑλκόμενος· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Ἦχος, πλ.

Ἅψαι Θωμᾶ τῆς πλευρᾶς τῇ χειρὶ, λέγει Χριστὸς, καὶ τοὺς τύπους τῶν ἥλων δεῦρο ψηλάφησον· πίστει ἐρεύνησον, καὶ γίνου μοι πιστὸς, καὶ μὴ γίνου ἄπιστος. ὁ δὲ Θωμᾶς τῷ δακτύλῳ ὡς ἥψατο τοῦ Δεσπότου, μέγα ἀνεβόησε· σύ μου Θεὸς καὶ Κύριος, εὔσπλαγχνε δόξα σοι.

Δόξα, καὶ νῦν, ἦχος, πλ.

Ἀνατολίου.

Τῶν θυρῶν κεκλεισμένων, τῶν Μαθητῶν συνηθροισμένων, ἐπέστη ὁ Σωτὴρ οὗ ἦσαν συνηγμένοι. καὶ στὰς ἐν μέσῳ αὐτῶν, λέγει τῷ Θωμᾷ· δεῦρο ψηλάφησον, καὶ ἴδε τοὺς τύπους τῶν ἥλων. ἔκτεινόν σου τὴν χεῖρα, καὶ ἅψαι τῆς πλευρᾶς μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πίστει κήρυξον, τὴν ἐκ νεκρῶν μου Ἀνάστασιν.

Εἰς τὸν στ. στιχ. Ἰδιόμελα, ἦχος, δ'.

Ὦ τοῦ παραδόξου θαύματος, ἀπιστία πίστιν βεβαίαν ἐγέννησεν. εἰπὼν γὰρ ὁ Θωμᾶς, ἐὰν μὴ ἴδω οὐ μὴ πιστεύσω· ψηλαφήσας δὲ τὴν πλευρὰν, ἐθεολόγει τὸν σαρκωθέντα. τὸν αὐτὸν Υἱὸν τοῦ Θεοῦ, ἐγνώρισεν ὡς πεπονθότα σαρκὶ, ἐκήρυξε τὸν ἀναστάντα Θεὸν, καὶ ἐβόησε λαμπρᾷ τῇ φωνῇ· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Στίχ. Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον.

Ὦ τοῦ παραδόξου θαύματος, τοῦ πυρὸς ὁ χόρτος ἁψάμενος σέσωσται· βαλὼν γὰρ ὁ Θωμᾶς ἐν τῇ πυρίνῃ πλευρᾷ τὴν χεῖρα, Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ, οὐ κατεφλέχθη τῇ ψηλαφήσει· τῆς ψυχῆς γὰρ τὸ δυσπαθὲς, μετέβαλεν εἰς εὐπιστίαν θερμῶς. ἐκέκραξεν ἀπὸ βαθέων ψυχῆς. ὁ Δεσπότης, σύ μου εἶ καὶ Θεὸς, ὁ ἐκ νεκρῶν ἐγηγερμένος δόξα σοι.

Στίχ. Ὅτι ἐνίσχυσε τοὺς.

Ὦ τοῦ παραδόξου θαύματος, Ἰωάννης στήθει τοῦ Λόγου ἀνέπεσε. Θωμᾶς δὲ τὴν πλευρὰν προσψηλαφῆσαι κατηξιώθη. ἀλλ' ὁ μὲν ἐκεῖθεν φρικτῶς Θεολογίας βυθὸν ἀνέλκει τὴν οἰκονομίαν· ὁ δὲ ἠξίωται μυσταγωγῆσαι ἡμᾶς. παρίστησι τὰς ἀποδείξεις τρανῶς, τῆς ἐγέρσεως αὐτοῦ ἐκβοῶν· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Δόξα, καὶ νῦν, ἦχος, πλ. α'.

Φιλάνθρωπε, μέγα καὶ ἀνείκαστον τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ὅτι ἐμακροθύμησας, ὑπὸ Ἰουδαίων ῥαπιζόμενος, ὑπὸ Ἀποστόλου ψηλαφώμενος, καὶ ὑπὸ τῶν ἀθετούντων σε πολυπραγμονούμενος. πῶς ἐσαρκώθης, πῶς ἐσταυρώθης ὁ ἀναμάρτητος. ἀλλὰ συνέτισον ἡμᾶς ὡς τὸν Θωμᾶν βοᾶν σοι· ὁ Κύριός μου, καὶ ὁ Θεός μου δόξα σοι.

Τροπάριον, ἦχος βαρὺς, ἐκ γ'.

Ἐσφραγισμένου τοῦ Μνήματος, ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός. καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης ἡ πάντων Ἀνάστασις, πνεῦμα εὐθὲς δι' αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.

Κανὼν Τριαδικὸς ψαλλόμενος τῷ Θεῷ ἐν τῷ Μεσονυκτικῷ, ἐὰν οὐ γίνεται Ἀγρυπνία. Οὗ ἡ ἀκροστιχίς.

Μίαν σε μέλπω τὴν Τρισήλιον φύσιν.

Ποίημα Μητροφάνους Σμύρνης.

Ὠδὴ, α'. ἦχος, α'.

Σοῦ ἡ τροπαιοῦχος.

Μίαν τρισυπόστατον ἀρχὴν, τὰ Σεραφὶμ ἀσιγήτως δοξάζουσιν, ἄναρχον ἀΐδιον, ποιητικὴν ἁπάντων, ἀκατάληπτον, ἣν καὶ πᾶσα γλῶσσα, πιστῶς γεραίρει τοῖς ᾄσμασιν.

Ἵνα τοῖς ἀνθρώποις ἐμφανῆ, τὴν τρίλαμπη σου δηλώσῃς Θεότητα, πλάσας πρὶν τὸν ἄνθρωπον, κατὰ τὴν σὴν εἰκόνα διεμόρφωσας, νοῦν αὐτῷ, καὶ λόγον, καὶ πνεῦμα δοὺς ὡς φιλάνθρωπος.

Ἄνωθεν δεικνὺς μοναδικὸν, Θεαρχικαῖς ἐν τρισὶν ὑποστάσεσι, κράτος Πάτερ ἔφησας, τῷ ἰσουργῷ Υἱῷ σου, καὶ τῷ Πνεύματι, δεῦτε καταβάντες, αὐτῶν τὰς γλώσσας συγχέωμεν.

Θεο-

Δημόσιες Βιβλιοθήκες
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

Θεοτοκίον.

Νοῦς μὲν ὁ ἀγέννητος Πατὴρ, εἰκονικῶς τοῖς σοφοῖς προηγόρευται. Λόγος δὲ συνάναρχος, ὁ συμφυὴς Υἱὸς, καὶ Πνεῦμα ἅγιον, τὸ ἐν τῇ Παρθένῳ, τοῦ Λόγου κτίσαν τὴν σάρκωσιν.

Ὠδὴ γ΄. Ὁ μόνος εἰδώς.

Σὺ πάλαι σαφῶς τῷ Ἀβραὰμ, ὡς ὤφθης Τρισυπόστατος, μοναδικάς τε φύσει Θεότητος, Θεολογίας τὸ ἀκραιφνέστατον, τυπικῶς ἐνέφηνας, καὶ πιστῶς ὑμνοῦμέν σε, τὸν Μοναρχικὸν Θεὸν καὶ Τρισήλιον.

Ἐκ σοῦ γεννηθεὶς θεοπρεπῶς, ἀρρήτως Πάτερ ἔλαμψε, φῶς ἐκ φωτὸς, Υἱὸς ἀπαράλλακτος, καὶ Πνεῦμα θεῖον, φῶς ἐκπορεύεται, καὶ μιᾶς Θεότητος, αἴγλην τρισυπόστατον, προσκυνοῦμεν πιστῶς καὶ δοξάζομεν.

Μονὰς ἡ Τριὰς ὑπερφυῶς, ἀρρήτως ὑπὲρ ἔννοιαν, ταῖς νοεραῖς οὐσίαις δοξάζεται, ταῖς τρισαγίαις φωναῖς ἀσιγήτοις, ἐκβοώσαις αἴνεσιν, αἷς συμφώνως ὑμνεῖται, καὶ ἡμῖν τρισυπόστατος Κύριος.

Θεοτοκίον.

Ἐκ σοῦ χρονικῶς ἄνευ σπορᾶς, προῆλθεν ὁ ὑπέρχρονος, ὁμοιωθεὶς ἡμῖν ὁ ἀνείδεος, καὶ μίαν φύσιν καὶ Κυριότητα, τοῦ Πατρὸς ἐδίδαξε, καὶ Υἱοῦ, καὶ Πνεύματος· Θεοτόκε, διό σε δοξάζομεν.

Κα. ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Πατέρα καὶ Υἱὸν, προσκυνήσωμεν πάντες, καὶ Πνεῦμα τὸ εὐθὲς, καὶ ἰσότιμον δόξῃ, Τριάδα τὴν ἄκτιστον, καὶ ὑπέρθεον δύναμιν. Ἣν δοξάζουσι, τῶν Ἀσωμάτων αἱ τάξεις, ταύτην σήμερον, καὶ γηγενεῖς μετὰ φόβου, πιστῶς ἀνυμνήσωμεν.

Θεοτοκίον.

Ὁδήγησον ἡμᾶς, ἐν ὁδῷ μετανοίας, ἐκκλίνοντας ἀεὶ, πρὸς κακῶν ἀνοδίας, καὶ τὸν ὑπεράγαθον, παροργίζοντας Κύριον, Ἀπειρόγαμε, εὐλογημένη Μαρία, καταφύγιον, ἀπεγνωσμένων ἀνθρώπων, Θεοῦ ἐνδιαίτημα.

Ὠδὴ δ΄. Ὅρος σε τῇ χάριτι.

Λάμψον μοι Θεαρχία τρισήλιε λάμψεσι, σῶν θεουργῶν μαρμαρυγῶν, τοῖς τῆς καρδίας ὀφθαλμοῖς, τὸ κάλλος φαντάζεσθαι, τῆς ὑπὲρ νοῦν θεαρχικῆς σου λαμπρότητος, καὶ φωτουργοῦ, καὶ γλυκείας μεθέξεως.

Πρότερον Οὐρανοὺς ἐστερέωσας Κύριε, καὶ πᾶσαν δύναμιν αὐτῶν, τῷ Λόγῳ σου τῷ παντουργῷ, καὶ Πνεύματι στόματος τῷ συμφυεῖ, μεθ' ὧν διασώζεις τὰ σύμπαντα, ἐν τριλαμπεῖ μοναρχίᾳ Θεότητος.

Ὡς ἔπλασας κατ' εἰκόνα με σὴν καὶ ὁμοίωσιν, Θεαρχικὴ, Παντουργικὴ, Τριὰς ἀσύγχυτε Μονὰς, συνέτισον, φώτισον, πρὸς τὸ ποιεῖν, τὸ θέλημά σου τὸ ἅγιον, τὸ ἀγαθὸν ἐν ἰσχύϊ καὶ τέλειον.

Θεοτοκίον.

Ἔτεκες τῆς Τριάδος τὸν ἕνα Πανάχραντε, Θεαρχικώτατον Υἱὸν, σωματωθέντα δι' ἡμᾶς, ἐκ σοῦ καταυγάζοντα, τοὺς γηγενεῖς, τῆς Τρισηλίου Θεότητος, τῷ ἀνεσπέρῳ φωτὶ, καὶ ταῖς λάμψεσιν.

Ὠδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Ἡ τὸν πρῶτον τῶν Ἀγγέλων ἀμέσως διάκοσμον, ἀπροσίτοις τοῦ σοῦ κάλλους ἀκτῖσιν ἐλλάμπουσα, ταῖς σαῖς αἴγλαις φώτισον, Τριὰς ἡ μοναρχικωτάτη, τοὺς ὀρθοδόξως σε μέλποντας.

Ὑμνεῖ φύσις, ἑνικὴ Θεαρχία τρισήλιε, αἰνυμνεῖ σε, ἣν οὐσίωσας δι' ἀγαθότητα, τῶν πταισμάτων λύτρωσιν, καὶ πειρασμῶν ἐξαιτουμένη, καὶ τῶν δεινῶν καὶ τῶν θλίψεων.

Τὸν Πατέρα, καὶ Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, μίαν φύσιν, καὶ Θεότητα πίστει δοξάζομεν, μερισμὸν ἀμέριστον, ἕνα Θεὸν τῆς ἀοράτου, καὶ ὁρωμένης τε Κτίσεως.

Θεοτοκίον.

Ῥήσεις πᾶσαι Προφητῶν, προδιέγραψαν Ἄχραντε, τὸν σὸν τόκον, τὸν ἀπόρρητον καὶ δυσερμήνευτον, ὃν ἡμεῖς ἐγνώκαμεν, μυσταγωγὸν τῆς ἑνιαίας, καὶ Τρισηλίου Θεότητος.

Ὠδὴ ς΄. Ἐκύκλωσεν ἡμᾶς.

Ἰσόρροπον τὴν δύναμιν ὡς ἔχουσα, Τριὰς ἡ ὑπερούσιος, ἐν ταυτότητι βουλήσεως Μονὰς, πέφυκας ἁπλῆ καὶ ἀδιαίρετος. Σὺ οὖν ἡμᾶς, ἐν τῇ δυνάμει σου περιφρούρησον.

Ἡ πάντας τοὺς αἰῶνας, τῇ βουλήσει σου, ὡς ἀγαθὴ ὑπέστησας, ἐξ οὐκ ὄντων



ΑΝΟΙΧΤΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἀκατάληπτε Τριάς, εἶτα καὶ τὸν ἄνθρωπον διέπλασας. ἀλλὰ καὶ νῦν, ἐκ πάσης ῥῦσαί με περιστάσεως.

Θεοτοκίον.

Ἡλίου τοῦ ἀδύτου οἶκος γέγονας, τοῦ κτίσαντος καὶ τέξαντος, τοὺς φωστῆρας τοὺς μεγάλους πανάγνως, ἄχραντε Παρθένε Θεονύμφευτε. ἀλλὰ καὶ νῦν, τῆς τῶν παθῶν με ῥῦσαι ζοφώσεως.

Καθ. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Τριάδα τὴν σεπτήν, καὶ ἀμέριστον φύσιν, Προσώποις ἐν τρισί, τεμνομένην ἀτμήτως, καὶ μένουσαν ἀμέριστον, κατ' οὐσίαν Θεότητος, προσκυνήσωμεν, οἱ γηγενεῖς μετὰ φόβου, καὶ δοξάσωμεν, ὡς Ποιητὴν καὶ Δεσπότην, Θεὸν ὑπεράγαθον.

Θεοτοκίον.

Κυβέρνησον Ἁγνή, τὴν ἀθλίαν ψυχήν μου, καὶ οἴκτειρον αὐτήν, ὑπὸ πλήθους πταισμάτων, βυθῷ ὀλισθαίνουσαν, ἀπωλείας Πανάμωμε, καὶ ἐν ὥρᾳ με, τῇ φοβερᾷ τοῦ θανάτου, σὺ ἐξάρπασον, κατηγορούντων δαιμόνων, καὶ πάσης κολάσεως.

Ὠδὴ ζ'. Σὲ νοητὴν Θεοτόκε.

Λόγε Θεοῦ, συμφυὲς ἀπαύγασμα, τοῦ Παντοκράτορος Θεοῦ, ὡς ὑπέσχου τὴν παρὰ σοῦ, θεουργὸν ἐνοίκησιν, ποίησον ὡς εὔσπλαγχνος, σὺν τῷ Πατρί σου καὶ τῷ Πνεύματι, καὶ φοβερὸν τοῖς δαίμοσί με δεῖξον καὶ πάθεσιν.

Ἵνα τῆς σῆς, εὐσπλαγχνίας Δέσποτα, δείξῃς τὸ πέλαγος ἡμῖν, τὸν Υἱόν σου πρὸς τὴν ἡμῶν, πέμψας ταπεινότητα, αὖθις ἀνεμόρφωσας, πρὸς τὴν ἀρχαίαν λαμπρότητα. ἀλλὰ καὶ νῦν, τῷ θείῳ με συνέτισον Πνεύματι.

Θεοτοκίον.

Ὁ Χερουβίμ, θρόνῳ ἐποχούμενος, καὶ τῶν ἁπάντων Βασιλεύς, ἐν γαστρί σου Παρθενικῇ, ᾤκησε Πανάχραντε, πάντας ἐκλυτρούμενος ἐκ τῆς φθορᾶς, ὡς φιλάνθρωπος. ἀλλὰ καὶ νῦν, ταῖς σαῖς πρεσβείαις με περιφρούρησον.

Ὠδὴ η'. Θαύματος ὑπερφυοῦς.

Νεύματι θεουργικῷ Κύριε πάντων, τρισυπόστατε καὶ Παντοκράτορ, Οὐρανοὺς ἐξέτεινας ὡσεὶ δέρριν, εἶτα καὶ γῆς, ἀπηώρησας τὸ βάθος, πανσθενεῖ σου δρακί. διὸ καὶ τοὺς δούλους σου κραταίωσον, τῇ ἀγάπῃ καὶ πίστει τῇ σῇ φιλάνθρωπε, ἵνα σε δοξάζωμεν, πόθῳ εἰς αἰῶνας.

Φώτισον Θεαρχικὸν φῶς τοὺς ὑμνοῦντας, τὸ τρισήλιον φῶς τοῖς προσώποις, ἑνιαῖον αὖθις δὲ τῇ οὐσίᾳ, καὶ πρὸς τὰς σὰς, φωτοδότιδας ἀκτῖνας ἐπιβλέπειν ἀεί. δι' ὧν χορτασθήσομαι τὴν δόξαν σου, τὴν γλυκεῖαν, καὶ φωτουργὸν καὶ πανόλβιον, καὶ ὑπερυψῶσε πιστῶς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὕψωσεν εἰς Οὐρανοὺς τὴν τῶν ἀνθρώπων, προσλαβόμενος φύσιν ἀτρέπτως, ὁ Υἱός σου Πάναγνε Θεοτόκε, ὑπερβολῇ ἀγαθότητος, ῥυσάμενος τῆς πάλαι φθορᾶς, ᾧ καὶ εὐχαρίστως ἀναμέλπομεν, εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον. οὐ γὰρ οὓς ἐδέξατο φλέγει Νέους, ὡς οὐδὲ πῦρ, τῆς Θεότητος Παρθένου, ἣν ὑπέδυ νηδύν. διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τύπον τῆς ἁγνῆς.

Σῶσον ὁ Σωτὴρ τῆς Κτίσεως, τῆς αἰσθητῆς καὶ νοουμένης τοὺς δούλους σου, τῆς τῶν δυσμενῶν ἐπιβουλῆς, καὶ κακώσεως, Παναγία Τριὰς ὁμοούσιε, καὶ φρούρει τὴν σὴν ποίμνην, διὰ παντὸς ἀνεπιβούλευτον.

Ἵνα τὸν βυθὸν τὸν ἄπειρον, τῆς οὐσιώδους δείξῃς σου ἀγαθότητος, δέδωκας ἡμῖν ἐπαγγελίας Τρισήλιε, καὶ μονάρχα Θεὲ Παντοδύναμε, σωστικὰς τοῖς σοῖς δούλοις, ἃς ἐκπληρῶσαι καταξίωσον.

Θεοτοκίον.

Νεῦσον ταῖς ἡμῶν δεήσεσιν, ὁ ἐν τρισὶ Θεαρχικαῖς Ὑποστάσεσι, μόνος εἷς Θεὸς ἀληθινός, πιστευόμενος, καὶ παράσχου σοῖς δούλοις παράκλησιν, πρεσβείαις τῆς ἀχράντου καὶ πανυμνήτου Θεομήτορος.

Ἄξιόν ἐστιν. καὶ τὰ λοιπά. Τρισάγιον. Παναγία Τριάς. Ὅτι σοῦ ἐστιν. Τροπ. Ἐσφραγισμένου τοῦ Μνήματος. Τό, Κύριε ἐλέησον, μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Καὶ Ἀπόλυσις.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Δεῖ εἰδέναι, ὅτι ἀπὸ ταύτης τῆς Κυριακῆς, μέχρι τῶν Ἁγίων Πάντων, πρώτην Ἀνάγνωσιν εἰς τὰς Πράξεις τῶν Ἁγίων Ἀποστόλων ποιοῦμεν, καὶ ὅταν πληρωθῶσι, πάλιν ἀρχόμεθα αὐτῶν.

Εἰς τὸν Ὄρθρον, τὸν Ἑξάψαλμον, τὸ, Θεὸς Κύριος, ἡ συνήθης στιχολογία· ἀντὶ δὲ τοῦ Ἀμώμου, ὁ Πολυέλεος, διὰ τὴν Δεσποτικὴν Ἑορτήν.

Μετὰ τὴν α΄. στιχολογίαν, Κάθισμα, ἦχος, α΄.

Τοῦ λίθου σφραγισθέντος.

Φόβῳ τῶν Ἑβραίων, κεκρυμμένων τῶν Μαθητῶν, καὶ ἐν τῇ Σιὼν συνηγμένων, εἰσῆλθες πρὸς αὐτοὺς ἀγαθέ, καὶ ἔστης κεκλεισμένων τῶν θυρῶν, ἐν μέσῳ αὐτῶν χαροποιός, καὶ ὑπέδειξας αὐτοῖς τὰς χεῖρας, καὶ τῆς ἀχράντου σου πλευρᾶς τοὺς μώλωπας, λέγων τῷ ἀπιστοῦντι Μαθητῇ· φέρε τὴν χεῖρά σου καὶ ἐρεύνα, ὅτι αὐτὸς ἐγώ εἰμι, ὁ διὰ σὲ παθητός. Δίς.

Μετὰ τὴν β΄. στιχολογίαν, Κάθισμα, ἦχος ὁ αὐτός.

Τὸν τάφον σου Σωτήρ.

Ἐπέστης ἡ ζωή, τῶν θυρῶν κεκλεισμένων, Χριστὲ τοῖς Μαθηταῖς, καὶ πλευρὰν ὑπεδείκνυς, καὶ χεῖράς σου καὶ πόδας σου, τὴν ἐκ τάφου σου ἔγερσιν, προπιστούμενος. ἀλλ' ὁ Θωμᾶς οὐχ εὑρέθη, ὅθεν ἔλεγεν· ἣν μὴ θεάσωμαι τοῦτον, οὐ πείθομαι τοῖς λόγοις ὑμῶν. Δίς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ὅμοιον.

Ἰδών μου τὴν πλευράν, καὶ τὰς τρήσεις τῶν ἥλων, Θωμᾶ τί ἀπιστεῖς, τῇ ἐμῇ Ἀναστάσει; ὁ Κύριος ἔλεγεν, ἀναστὰς ἐκ τοῦ Μνήματος, ὀπτανόμενος, τοῖς Ἀποστόλοις ἀρρήτως. ὁ δὲ Δίδυμος, πεισθεὶς ἐβόα τῷ Κτίστῃ· Θεός μου εἶ καὶ Κύριος. Δίς.

Οἱ Ἀναβαθμοί. Τὸ α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου. Προκείμενον, ἦχος, δ΄.

Ἐπαίνει Ἱερουσαλήμ, τὸν Κύριον.

Στίχ. Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν.

Τό, Πᾶσα πνοή.

Εὐαγγέλιον κατὰ Ματθαῖον.

Ἑωθινόν, α΄.

Τῷ καιρῷ ἐκείνῳ, οἱ ἕνδεκα Μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν.

Εἶθ' οὕτω, τό, Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν΄. Καὶ μετὰ τὸν Ν΄.

Δόξα. Ταῖς τῶν Ἀποστόλων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός.

Ἦχος, β΄.

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ Τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωήν, καὶ μέγα ἔλεος.

Καὶ εὐθὺς ὁ Κανών. τοὺς Εἱρμοὺς ἀνὰ δύω, καὶ τὰ Τροπάρια εἰς, ιβ΄.

Ὠδή, α΄. ἦχος, α΄.

Ἰωάννου Μοναχοῦ. Ὁ Εἱρμός.

Ἄσωμεν πάντες Λαοί, τῷ ἐκ πικρᾶς δουλείας, Φαραὼ τὸν Ἰσραὴλ ἀπαλλάξαντι, καὶ ἐν βυθῷ θαλάσσης, ποδὶ ἀβρόχως ὁδηγήσαντι, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Σήμερον ἔαρ ψυχῶν, ὅτι Χριστὸς ἐκ Τάφου, ὥσπερ Ἥλιος ἐκλάμψας τριήμερος, τὸν ζοφερὸν χειμῶνα ἀπήλασε τῆς ἁμαρτίας ἡμῶν· αὐτὸν ἀνυμνήσωμεν, ὅτι δεδόξασται.

Ἡ Βασιλὶς τῶν ὡρῶν, τῇ λαμπροφόρῳ ἡμέρᾳ, ἡμερῶν τε βασιλίδι φερώνυμα, δωροφοροῦσα τέρπει, τὸν ἔγκριτον τῆς Ἐκκλησίας Λαόν, ἀπαύστως ἀνυμνοῦσα τὸν ἀναστάντα Χριστόν.

Πύλαι θανάτου Χριστέ, οὐδὲ τοῦ Τάφου σφραγῖδες, οὐδὲ κλεῖθρα τῶν θυρῶν σοι ἀντέστησαν. ἀλλ' ἀναστὰς ἐπέστης, τοῖς φίλοις σου εἰρήνην, Δέσποτα δωρούμενος, τὴν πάντα νοῦν ὑπερέχουσαν.

Καταβασία. Ἀναστάσεως ἡμέρα.

Ὠδή, γ΄. Ὁ Εἱρμός.

Στερέωσόν με Χριστέ, ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου, καὶ φώτισόν με φωτὶ τοῦ προσώπου σου. οὐκ ἔστιν ἅγιος, πλήν σου φιλάνθρωπε.

Καινοὺς ἀντὶ παλαιῶν, ἀντὶ φθαρτῶν δὲ ἀφθάρτους, διὰ Σταυροῦ σου Χριστὲ τελέσας ἡμᾶς, ἐν καινότητι ζωῆς πολιτεύεσθαι, ἀξίως προσέταξας.

Ἐν Τάφῳ περικλεισθείς, τῇ περιγραπτῷ σαρκί σου, ὁ ἀπερίγραπτος, Χριστὲ ἀνέστης, θυρῶν κεκλεισμένων δὲ ἐπέστης, σου τοῖς Μαθηταῖς, Παντοδύναμε.

Τοὺς μώλωπάς σου Χριστέ, οὓς ἑκουσίως ὑπέστης, ὑπὲρ ἡμῶν τοῖς Μαθηταῖς σου φυλάξας Μαρτύριον, τῆς σῆς ἔδειξας, ἐνδόξου Ἀναστάσεως.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Βιβλιοθήκη Σχολής "Μανουσάκη"

Καταβασία. Δεῦτε πόμα πίωμεν καινόν.

Η΄ Ὑπακοή, ἦχος, πλ. β΄.

Ὡς ἐν μέσῳ τῶν Μαθητῶν σου παραγενόμενος Σωτήρ, τὴν εἰρήνην διδοὺς αὐτοῖς, ἐλθὲ καὶ μεθ' ἡμῶν, καὶ σῶσον ἡμᾶς.

Καὶ Ἀνάγνωσις εἰς τὸν Θεολόγον, Ἐγκαίνια τιμᾶσθαι.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Μέγα τὸ Μυστήριον, τῆς σῆς Χριστὲ οἰκονομίας. τοῦτο γὰρ ἄνωθεν προβλέπων, θεοπτικῶς ὁ Ἀββακούμ, ἐξῆλθες ἐβόα σοι, εἰς σωτηρίαν Λαοῦ σου φιλάνθρωπε.

Χολῆς μὲν ἐγεύσατο, τὴν πάλαι γεῦσιν ἰώμενος, νυνὶ δὲ σὺν κηρίῳ μέλιτος, τοῦ φωτισμοῦ μεταδιδοὺς, Χριστὸς τῷ Προπάτορι, καὶ τῆς αὐτοῦ γλυκείας μεθέξεως.

Χεῖρας ἐρευνώμενος, διὸ φιλάνθρωπε πρὸς τοῦτο, προτρέπεις τὸν Θωμᾶν, προτείνων διαπιστοῦντι τὴν πλευράν, καὶ Κόσμῳ πιστούμενος, τὴν σὴν Χριστὲ τριήμερον ἔγερσιν.

Πλοῦτον ἀρυσάμενος, ἐκ θησαυροῦ τοῦ ἀσυλήτου, τῆς θείας εὐεργέτα, λόγχῃ διανοιγείσης σου πλευρᾶς, σοφίας καὶ γνώσεως, ἀναπιμπλᾷ τὸν Κόσμον ὁ Δίδυμος.

Σοῦ ἡ παμμακάριστος, ὑμνεῖται γλῶσσα ὦ Δίδυμε. πρώτη γὰρ εὐσεβῶς κηρύττει τὸν ζωοδότην Ἰησοῦν, Θεόν τε καὶ Κύριον, ἐκ τῆς ἁφῆς πλησθεῖσα τῆς χάριτος.

Καταβασία. Ἐπὶ τῆς θείας φυλακῆς.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Ἐκ νυκτὸς ὀρθρίζοντες ὑμνοῦμέν σε Χριστὲ, τὸν τῷ Πατρὶ συνάναρχον, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν, τὴν εἰρήνην τῷ Κόσμῳ, παράσχου φιλάνθρωπε.

Ἐπιστὰς τοῖς φίλοις ἀθυμοῦσιν ὁ Σωτήρ, τῇ παρουσίᾳ ἅπασαν, ἀπελαύνει τὴν κατήφειαν, καὶ σκιρτᾷν διεγείρει, τῇ Ἀναστάσει αὐτοῦ.

Ὢ τῆς ἀληθῶς ἐπαινουμένης τοῦ Θωμᾶ, φρικτῆς ἐγχειρήσεως. τολμηρῶς γὰρ, ἐψηλάφησε τὴν πλευράν, τὴν τῷ θείῳ πυρὶ ἀπαστράπτουσαν.

Ἀπιστίαν πίστεως γεννήτειραν ἡμῖν, τὴν τοῦ Θωμᾶ ἀνέδειξας. σὺ γὰρ πάντα τῇ σοφίᾳ σου, προνοεῖς συμφερόντως, Χριστὲ ὡς φιλάνθρωπος.

Καταβασία.

Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Ὡς τὸν Προφήτην διέσωσας, ἐκ τοῦ κήτους φιλάνθρωπε, κἀμὲ τοῦ βυθοῦ τῶν πταισμάτων, ἀνάγαγε δέομαι.

Ὡς Θωμᾶν οὐ κατέλιπες, βαπτιζόμενον Δέσποτα, βυθῷ ἀπιστίας παλάμας, προτείνας εἰς ἔρευναν.

Ὁ Σωτὴρ ἡμῶν ἔλεγε, ψηλαφῶντές με ἴδετε, ὀστέα καὶ σάρκα φοροῦντα, ἐγὼ οὐκ ἠλλοίωμαι.

Τὴν πλευρὰν ἐψηλάφησε, καὶ πιστώσας ἐπέγνωκε, Θωμᾶς μὴ παρών σου τῇ πρώτῃ, εἰσόδῳ Σωτὴρ ἡμῶν.

Καταβασία.

Κατῆλθες ἐν τοῖς κατωτάτοις

Κοντάκιον. ἦχος, πλ. δ΄.

Τῇ φιλοπράγμονι, δεξιᾷ τὴν ζωοπάροχόν σου πλευράν, ὁ Θωμᾶς ἐξηρεύνησε Χριστὲ ὁ Θεός. συγκεκλεισμένων γὰρ τῶν θυρῶν ὡς εἰσῆλθες, σὺν τοῖς λοιποῖς Ἀποστόλοις ἐβόα σοι· Κύριος ὑπάρχεις καὶ Θεός μου. Ὁ Οἶκος.

Τίς ἐφύλαξε τὴν τοῦ Μαθητοῦ παλάμην τότε ἀχώνευτον, ὅτε τῇ πυρίνῃ πλευρᾷ προσῆλθε τοῦ Κυρίου; τίς ἔδωκε ταύτῃ τόλμαν, καὶ ἴσχυσε ψηλαφῆσαι φλέγον ὀστοῦν; πάντως ἡ ψηλαφηθεῖσα. εἰ μὴ γὰρ ἡ πλευρὰ, δύναμιν ἐχορήγησε, πηλίνῃ δεξιᾷ, πῶς εἶχε ψηλαφῆσαι, παθήματα σαλεύσαντα τὰ ἄνω καὶ τὰ κάτω; αὕτη ἡ χάρις Θωμᾷ ἐδόθη, τὸ ταύτην ψηλαφῆσαι, Χριστῷ δὲ ἐκβοῆσαι· Κύριος ὑπάρχεις καὶ Θεός μου.

Συναξάριον τῇ Κυριακῇ τοῦ Θωμᾶ.

Κ. Εἰ μηδόλως κλεῖς, ἣ Τάφου μὴ κωλύει,
Σ. τὴν Σῶτερ ὁρμὴν, κλεὶς θυρῶν πῶς κωλύσει;

Τῇ αὐτῇ ἡμέρᾳ Κυριακῇ πρώτῃ μετὰ τὸ Πάσχα, τὰ Ἐγκαίνια ἑορτάζομεν τῆς Χριστοῦ Ἀναστάσεως, καὶ τὴν τοῦ ἁγίου Ἀποστόλου Θωμᾶ Ψηλάφησιν. Τὰ μὲν οὖν Ἐγκαίνια, ἔθιμον ἦν ἀρχαῖον γίνεσθαι, εἴς τι τῶν ἐπισήμων. τοῦ γὰρ χρόνου ἀνακυκλοῦντος, καὶ τὴν αὐτὴν



Δήμος Κοζάνης Βιβλιοθήκες

ἡμέραν καθ' ἣν ποτε διεπράχθη ἐπάγοντος, τοῦ πράγματος ἐκείνου μνείαν ἐποιοῦντο ἐτήσιον, ἵνα μὴ εἰς λήθην τὰ μεγάλα τῶν ἔργων γένοιντο. ἐντεῦθεν Ἑβραῖοι πρῶτον τὸ Πάσχα ἐν Γαλγάλοις ἐποίησαν, τὴν τῆς Ἐρυθρᾶς διάβασιν ἐγκαινίζοντες. ἐντεῦθεν ἡ σκηνὴ τοῦ μαρτυρίου αὐτοῖς ἐγκαινίζεται καὶ πολυτελῶς. ἐντεῦθεν ἡ Βασιλεία Δαβίδ, καὶ τἄλλα, ἵνα μὴ καθ' ἕκαστον λέγω. Ἐπεὶ οὖν πάντων τῶν ἐν βίῳ πραγμάτων διαφερόντως μέγιστον, καὶ ὑπὲρ ἅπασαν ἔννοιαν ἡ τοῦ Κυρίου Ἀνάστασις ἔργον, οὐ μόνον κατ' ἔτος αὐτὴν ἑορτάζομεν καὶ ἐγκαινίζομεν, ἀλλ' ἀεὶ καὶ μεθ' ἡμέρας ὀκτώ. πρῶτος τοίνυν ταύτης ἐγκαινισμὸς, ἡ παροῦσα Κυριακή· ἥτις λέγοιτο ἂν κυρίως, καὶ ὀγδόη, καὶ πρώτη. ὀγδόη μὲν, ὡς ἀπὸ τοῦ Πάσχα, πρώτη δὲ, ὡς ἀρχὴ τῶν ἄλλων. καὶ ὀγδόη πάλιν, ὅτι εἰς εἰκόνα τάττεται τῆς ἀπεράντου ἐκείνης ἡμέρας, τῆς ἐν τῷ μέλλοντι αἰῶνι, ἥτις καὶ πρώτη καὶ μία ἔσται πάντως, μὴ νυκτὶ διακοπτομένη. ταῦτα μὲν περὶ Ἐγκαινίων. Τὰ δὲ κατὰ τὸν Θωμᾶν, οὕτω γέγονε. Τοῦ Χριστοῦ, καθ' ἣν ἡμέραν ἀνέστη, ὀψίας τοῖς Μαθηταῖς ἐμφανισθέντος, ἀπεδήμει Θωμᾶς. οὔπω μετὰ τῶν λοιπῶν συναχθεὶς, τῷ τῶν Ἰουδαίων φόβῳ. ἐπεὶ δὲ μετ' ὀλίγον ἐπανελθὼν, καὶ μαθὼν τὴν τοῦ Χριστοῦ παρουσίαν, οὐ διηπίστει τοῖς Μαθηταῖς, ὅτι αὐτὸν ἀναστάντα εἶδον, ἀλλ' ὅτι οὐδ' ὅλως ἀνέστη Χριστὸς, καὶ ταῦτα εἷς τυγχάνων τῶν δώδεκα. ὁ δὲ ἀμήχανος Θεὸς, καὶ τοῦ ἐμοῦ μὲν οὕτω κηδόμενος, ἅμα δὲ καὶ οἰκονομίᾳ τινὶ μείζονι, ἵνα καὶ μᾶλλον ἡ Ἀνάστασις τοῖς ἔπειτα πιστωθείη, διαλιπὼν ἡμέρας ὀκτὼ, ἵνα τὸν ἐκείνου πόθον ἄκρως διερεθίσῃ, καὶ μᾶλλον ἀπιστήσας, πᾶσι πίστιν ἀκριβεστέραν παράσχῃ τῆς Ἀναστάσεως, πάλιν ἔρχεται, καὶ τῶν θυρῶν κεκλεισμένων ὡς πρότερον, παρόντος δὲ καὶ τοῦ Θωμᾶ, εἴσεισι, καὶ τὴν εἰρήνην τὸ συνήθες ἀσπασάμενος, μετέπειτα πρὸς τὸν Θωμᾶν ἀποτείνεται, καί φησι· φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. ἐπειδὴ γὰρ οὐ μόνον διὰ θεωρίας πιστωθῆναι εἶχες διὰ τὴν φαντασίαν, ἀλλὰ παχὺς ὢν καὶ ἀφῆς ἐμμηθής. ἔδειξε δὲ διὰ τούτων, ὅτι ἡνίκα ταῦτα ἔλεγε πρὸς τοὺς Μαθητὰς παρῆν ἀκούων, βάλε τὴν χεῖρά σου εἰς τὴν πλευράν μου. δηλοῖ δὲ, ὅτι, καὶ εὐρεῖα ἦν ἡ κατὰ τῆς πλευρᾶς πληγὴ, ὡς καὶ χεῖρα εἴσω χωρεῖν. ὁ δὲ Θωμᾶς ἀκριβῶς διερευνησάμενος, καὶ τὴν πίστιν λαβὼν δι' ἀφῆς, συνεχωρεῖτο γὰρ ταῦθ' ὁρᾷν καὶ ποιεῖν ἐκεῖνα, κἂν ἐν ἀφθάρτῳ καὶ τεθεωμένῳ ἄκρως τῷ σώματι δι' ἀσφάλειαν, ἔκραζεν· ὁ Κύριός μου καὶ ὁ Θεός μου. τὸ μὲν, διὰ τὴν σάρκα, τὸ δὲ, διὰ τὴν Θεότητα. καὶ ὁ Χριστὸς πρὸς αὐτὸν λέγει· ὅτι ἰδών με ἐπίστευσας; μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. Δίδυμος δὲ λέγεται ὁ Θωμᾶς, ἢ ὅτι μεθ' ἑτέρου γεγέννηται, ἢ διὰ τὸ διστάσαι τῇ Ἀναστάσει, ἢ ὅτι οὕτως ἐκ φύσεως κεκολλημένοι ἦσαν αὐτοῦ οἱ δύο δάκτυλοι τῆς χειρὸς τῆς δεξιᾶς, ὁ μέσος δηλονότι, καὶ ὁ πρὸ ἐκείνου, ὁ λεγόμενος λιχανός. ἴσως ἄν τις φαίη, ὅτι διστάζειν ἔμελλε, καὶ μετ' αὐτῶν ψηλαφεῖν. ἄλλοι δὲ λέγουσιν, ὅπερ καὶ ἀκριβέστερον, ὅτι τὸ, Θωμᾶς, Δίδυμος ἑρμηνεύεται. Δευτέρα αὕτη ἐμφάνεια τοῦ Χριστοῦ. Τρίτη δὲ γέγονεν, ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος, ἐν τῇ ἄγρᾳ τῶν ἰχθύων, ὅτε καὶ τροφῆς μετέσχε τῷ θεϊκῷ πυρὶ καταναλωθείσης, ὡς οἶδεν αὐτὸς, βεβαιοτέραν τὴν Ἀνάστασιν παριστῶν. Εἶτα εἰς Ἐμμαοὺς φαίνεται. Πέμπτον ἐν Γαλιλαίᾳ. καὶ ἑνδεκάκις ὥς φασι φαίνεται, ἕως οὗ ἀνελήφθη. πολλὰ καὶ ὑπερφυῆ σημεῖα ποιῶν ἐνώπιον τῶν Μαθητῶν μετὰ τὴν Ἀνάστασιν. οὐ γὰρ τοῖς πολλοῖς ταῦτα ἐπεδείκνυντο. παρήκασι δὲ ταῦτα πάντα οἱ Εὐαγγελισταὶ ἀναγράψασθαι, διότι οὐκ ἦν δυνατὸν ταῦτα τοὺς πολλοὺς καὶ ἐν τῷ Κόσμῳ ἀναστρεφομένους ἀνθρώπους ἀκούειν, ὡς ὑπερφυῆ λίαν τυγχάνοντα. Ταῖς τοῦ σοῦ Ἀποστόλου Θωμᾶ πρεσβείαις Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ α'. Ὁ Εἱρμός.

Ἴκονι λαπρύνειν, μουσικῆς συμφωνίας, „ συγκαλουμένης λαοὺς ἐκ τῶν ᾠδῶν Σιὼν, „

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ᾄδοντες, πατρικῶς οἱ Παῖδες Δαβίδ, τυράννου ἔλυσαν, τὸ παλίμφημον δόγμα, καὶ τὴν φλόγα εἰς δρόσον μετέβαλον, ὕμνον ἀναμέλποντες· ὁ ὑπερυψούμενος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὡς πρώτη ὑπάρχει ἡμερῶν καὶ κυρία, ἡ λαμπροφόρος αὕτη, ἐν ᾗ ἀγάλλεσθαι ἄξιον, τὸν καινὸν καὶ θεῖον Λαόν. ἐν τρόπῳ φέρει γάρ, καὶ αἰῶνος τὸν τύπον, ὡς ὀγδοὰς τελοῦσα τοῦ μέλλοντος· ὁ ὑπερυψούμενος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὁ μόνος τολμήσας, τῇ ἀπίστῳ τε πίστει, εὐεργετήσας ἡμᾶς, Θωμᾶς ὁ Δίδυμος, λύει μοι τὴν ζοφώδη ἄγνοιαν τοῖς πᾶσι πέρασι, τῇ πιστῇ ἀπιστίᾳ· ἑαυτῷ δὲ τὸν στέφανον πλέκει σαφῶς, λέγων· σὺ εἶ Κύριος, ὁ ὑπερυψούμενος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Οὐ μάτην διστάσας, ὁ Θωμᾶς τῇ ἐγέρσει σου, οὐ κατέθετο, ἀλλ' ἀναμφίλεκτον ἐσπούδασεν, ἀποδεῖξαι ταύτην Χριστὲ τοῖς πᾶσιν Ἔθνεσιν. ὅθεν δι' ἀπιστίας πιστωσάμενος πάντας ἐδίδαξε λέγειν· σὺ εἶ Κύριος, ὁ ὑπερυψούμενος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἀφόβως τὴν χεῖρα, ὁ Θωμᾶς τῇ πλευρᾷ σου, τῇ ζωηφόρῳ Χριστέ, ἐνθεὶς ὑπότρομος ἤσθετο, ἐνεργείας Σῶτερ διπλῆς τῶν δύο φύσεων, τῶν ἐν σοὶ ἡνωμένων ἀσυγχύτως, καὶ πίστει ἐκραύγαζε, λέγων· σὺ εἶ Κύριος, ὁ ὑπερυψούμενος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Καταβασία. Ὁ Παῖδας ἐκ καμίνου.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Τὸν ἐν φλογὶ πυρός, καιομένης καμίνου, διαφυλάξαντα Παῖδας, καὶ ἐν μορφῇ Ἀγγέλου συγκαταβάντα τούτοις· ὑμνεῖτε Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐπιποθήσας σου, τὴν χαρμόσυνον θέαν, τὸ πρὶν ἠπίστει ὁ Θωμᾶς. ἀξιωθεὶς δὲ ταύτης, Θεὸν καὶ Κύριόν σε ἐκάλει Δέσποτα· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἀναδεχόμενον, τῆς Θωμᾶ ἀπιστίας, καὶ ἀποδείξαντα πλευράν, καὶ τῇ αὐτοῦ παλάμῃ ἀκριβολογηθέντα, ὑμνεῖτε Κύριον, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Οὐ τὸ περίεργον, θησαυρὸν κεκρυμμένον, ἡμῖν ἀνέῳξε Θωμᾶς. θεολογήσας γλώσσῃ γάρ, θεοφορουμένῃ, ὑμνεῖτε ἔλεγε, καὶ ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Καταβασία. Αὕτη ἡ κλητή.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Σὲ τὴν φαεινὴν λαμπάδα, καὶ Μητέρα τοῦ Θεοῦ, τὴν ἀρίζηλον δόξαν, καὶ ἀνωτέραν πάντων τῶν ποιημάτων, ἐν ὕμνοις μεγαλύνομεν.

Σοῦ τὴν φαεινὴν ἡμέραν, καὶ ὑπέρλαμπρον Χριστέ, τὴν ὁλόφωτον χάριν, ἐν ᾗ ὡραῖος κάλλει, τοῖς Μαθηταῖς σου, ἐπέστης μεγαλύνομεν.

Σὲ τὸν χοϊκῇ παλάμῃ, ψηλαφώμενον πλευράν, καὶ μὴ φλέξαντα ταύτην, πυρὶ τῷ τῆς ἀΰλου, θείας οὐσίας, ἐν ὕμνοις μεγαλύνομεν.

Σὲ τὸν ὡς Θεὸν ἐκ τάφου, ἀναστάντα Χριστόν, οὐ βλεφάροις ἰδόντες, ἀλλὰ καρδίας πόθῳ, πεπιστευκότες, ἐν ὕμνοις μεγαλύνομεν.

Καταβασία. Φωτίζου, φωτίζου.

Ἐξαποστειλ. τό, Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, ἐκ γ'. εἰς ἦχον, α'.

Ἕτερον. Ὁ Οὐρανὸν τοῖς ἄστροις

Σῶν μελῶν χειρί σου, ἐξερευνήσας τὰς πληγάς, μή μοι Θωμᾶ ἀπιστήσῃς, τραυματισθέντι διὰ σέ. σὺν Μαθηταῖς ὁμοφρόνει, καὶ ζῶντα κήρυττε Θεόν.

Καὶ τοῦτο ἅπαξ.

Σήμερον ἔαρ μυρίζει, καὶ καινὴ Κτίσις χορεύει. σήμερον αἴρονται κλεῖθρα, θυρῶν καὶ τῆς ἀπιστίας, Θωμᾶ τοῦ φίλου βοῶντος· ὁ Κύριος καὶ Θεός μου.

Εἰς τοὺς Αἴνους, τό, Πᾶσα πνοή, ἱστῶμεν δ'. καὶ ψάλλομεν ἃ. προσόμοια, γ'. Δευτεροῦντες τὸ πρῶτον, ἦχος, α'.

Πανεύφημοι Μάρτυρες.

Μετὰ τὴν ἐκ Τάφου σου φρικτήν, ζωοδότα ἔγερσιν, ὥσπερ σφραγῖδας οὐκ ἔλυσας, Χριστὲ τοῦ Μνήματος· οὕτω κεκλεισμένων, θυρῶν εἰσελήλυθας, πρὸς τοὺς πανευκλεεῖς Ἀποστόλους σου, χαροποιῶν αὐτούς, καὶ εὐθές σου παρεχόμενος, τούτοις Πνεῦμα, δι' ἄμετρον ἔλεος.

Θω-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Θωμᾶς ὁ καὶ Δίδυμος οὐκ ἦν, ἐνδημῶν ἡνίκα σύ, τοῖς Μαθηταῖς ὤφθης Κύριε. ὅθεν ἠπίστησε, τῇ σῇ Ἀναστάσει, καὶ τοῖς κατιδοῦσί σε, ἐβόα· εἰ μὴ βάλω τὸν δάκτυλον, εἰς τὴν πλευρὰν αὐτοῦ, καὶ τῶν ἥλων τὰ τυλώματα, οὐ πιστεύω, ὅτι ἐξεγήγερται.

Ὡς θέλεις ψηλάφησον Χριστός, τῷ Θωμᾷ ἐβόησε· βάλε τὴν χεῖρα καὶ γνῶθί με, ὀστέα ἔχοντα, καὶ γεῶδες σῶμα, καὶ μὴ γίνου ἄπιστος, ἐπίσης δὲ τοῖς ἄλλοις πιστώθητι. ὁ δὲ ἐβόησεν· ὁ Θεός μου καὶ ὁ Κύριος, σὺ ὑπάρχεις, δόξα τῇ ἐγέρσει σου.

Δόξα, καὶ νῦν, Ἦχος, πλ. β'.

Μεθ' ἡμέρας ὀκτώ, τῆς ἐγέρσεώς σου Ἰησοῦ Βασιλεῦ, μονογενὲς Λόγε τοῦ Πατρός, ὤφθης τοῖς Μαθηταῖς σου, κεκλεισμένων τῶν θυρῶν, τὴν εἰρήνην σου παρεχόμενος, καὶ τῷ ἀπιστοῦντι Μαθητῇ τοὺς τύπους ἔδειξας. δεῦρο ψηλάφησον τὰς χεῖρας καὶ τοὺς πόδας, καὶ τὴν ἀκήρατόν μου πλευράν. ὁ δὲ πεισθεὶς ἐβόα σοι· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Ἀπὸ δὲ τῆς σήμερον ἄρχονται πάλιν αἱ Λιταὶ ἐν τῷ Νάρθηκι. ὡσαύτως, καὶ αἱ Κατηχήσεις τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου, ἐν ᾗ ψάλλομεν τὸ Ἑωθινὸν Ἰδιόμ. τοῦ ἤχου. Ἦχος, α'.

Εἰς τὸ ὄρος τοῖς Μαθηταῖς ἐπειγομένοις, διὰ τὴν χαμόθεν ἔπαρσιν ἐπέστη ὁ Κύριος. καὶ προσκυνήσαντες αὐτόν, καὶ τὴν δοθεῖσαν ἐξουσίαν, πανταχοῦ διδαχθέντες, εἰς τὴν ὑπ' Οὐρανὸν ἐξαπεστέλλοντο, κηρύξαι τὴν ἐκ νεκρῶν Ἀνάστασιν, καὶ τὴν εἰς Οὐρανοὺς ἀποκατάστασιν· οἷς καὶ συνδιαιωνίζειν, ὁ ἀψευδὴς ἐπηγγείλατο, Χριστὸς ὁ Θεός, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Πρόσχες, ὅτι αἱ Λιταὶ ἐν τῷ Νάρθηκι πρὸ τῆς Πρώτης Ὥρας γίνονται. ἡ δὲ Κατήχησις τοῦ Στουδίτου μετὰ τὴν α'. Ὥραν λέγεται. τὰ Ἑωθινὰ λέγονται μετὰ τὴν Ἀπόλυσιν τοῦ Ὄρθρου πρὸ τῆς Λιτῆς.

Ἰστέον, ὅτι ἡ Ἀκολουθία τῶν ἐπιλαχόντων Ἁγίων ἐν πάσαις ταῖς Κυριακαῖς τῆς Ἁγίας Πεντηκοστῆς, ἐν τοῖς Ἀποδείπνοις ψάλλομεν τῶν Κυριακῶν.

Ἡ Λειτουργία γίνεται ταχύτερον διὰ τὸν κόπον τῆς Ἀγρυπνίας. αἱ Ὧραι ψάλλονται τρίψαλμοι κατὰ τὸν Τύπον ἐν τῷ Νάρθηκι, ἤγουν ἡ Τριτέκτη, καὶ ἡ Θ'. λέγεται δὲ καὶ ὁ ἐξ ἔθους ψαλμός, ἀπερχομένων ἐν τῇ τραπέζῃ, ὡσαύτως καὶ ἀφισταμένων.

Εἰς τὴν Λειτουργίαν, ἀρχόμεθα τῶν Τυπικῶν, καὶ ψάλλομεν ἐν τοῖς Μακαρισμοῖς, ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς.

Ὠδή, γ'. καὶ ς'. Τροπάριον. Ἐσφραγισμένου τοῦ Μνήματος.

Δόξα, καὶ νῦν. τὸ Κοντάκιον.

Τῇ φιλοπράγμονι δεξιᾷ. Τρισάγιον.

Προκείμ. τοῦ Ἀποστόλου, Ἦχος, γ'.

Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ.

Στ. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθός.

Πράξεων τῶν Ἀποστόλων.

Ἐν ταῖς ἡμέραις ἐκείναις, διὰ τῶν χειρῶν τῶν Ἀποστόλων.

Ἀλληλούϊα, Ἦχος, πλ. δ'.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ.

Στ. Ὅτι Θεὸς μέγας Κύριος καὶ Βασιλεύς.

Εὐαγγέλιον κατὰ Ἰωάννην. Ἑωθινόν, θ'.

Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ.

Κοινωνικόν. Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον, αἴνει τὸν Θεόν σου Σιών.

Ἐν τῇ τραπέζῃ γίνεται Παράκλησις τοῖς Ἀδελφοῖς.

---

Τῇ Κυριακῇ εἰς τὸ Λυχνικόν, τό, Κύριε ἐκέκραξα, καὶ ψάλλομεν στ. Προσόμοια τῆς Ἑορτῆς γ'. Ἦχος, α'.

Μετὰ τὴν ἐκ τάφου σου φρικτήν.

Θωμᾶς ὁ καὶ δίδυμος οὐκ ἦν.

Ὡς θέλεις ψηλάφησον Χριστός.

Καὶ εἰς τὸ Μιναῖον τῆς κατὰ τὴν ἡμέραν Ἁγίου Προσόμοια τρία.

Δόξα, καὶ νῦν, Ἦχος, α'.

Τῶν θυρῶν κεκλεισμένων, τῶν Μαθητῶν συνηθροισμένων, εἰσῆλθες ἄφνω Παντοδύναμε, Ἰησοῦ ὁ Θεὸς ἡμῶν, καὶ στὰς ἐν μέσῳ αὐτῶν, εἰρήνην, δοὺς ἐπλήρωσας ἁγίου Πνεύματος· προσμένειν τε προσέταξας, καὶ μηδαμοῦ χωρίζεσθαι ἀπὸ Ἱερουσαλήμ, ἕως οὗ ἐνδύσωνται τὴν ἐξ ὕψους δύ-

μαμιν. διὸ βοῶμέν σοι· ὁ φωτισμὸς καὶ ἡ Ἀνάστασις, καὶ ἡ εἰρήνη ἡμῶν δόξα σοι.

Εἴσοδος μετὰ θυμιατοῦ καὶ μανουαλίου.

Προκείμενον, ἦχος, βαρύς.

Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν;

Στ. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμιν.

Στ. Καὶ εἶπα νῦν ἠρξάμην.

Στ. Ἐμνήσθην τῶν ἔργων Κυρίου.

Εἶτα Ἐκτενής. τό, Καταξίωσον.

Καὶ τὰ λοιπά.

Εἰς τὸν Στ. τὸ Ἀναστάσιμον Στ. ἦχος, α΄.

Τὰς Ἑσπερινὰς ἡμῶν εὐχάς, πρόσδεξαι ἅγιε Κύριε, καὶ παράσχου ἡμῖν, ἄφεσιν ἁμαρτιῶν, ὅτι μόνος εἶ ὁ δείξας, ἐν Κόσμῳ τὴν Ἀνάστασιν.

Στ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου.

Κατανυκτικόν.

Ὅτι τὸ πέλαγος πολύ, τῶν παραπτωμάτων μου Σωτήρ, καὶ δεινῶς βεβύθισμαι ταῖς πλημμελείαις μου, δός μοι χεῖρα σῶσόν με, ὡς τῷ Πέτρῳ ὁ Θεός, καὶ ἐλέησόν με.

Στ. Ἐλέησον ἡμᾶς Κύριε. Μαρτυρ.

Ἡ πρεσβεία Κύριε, πάντων τῶν ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δόξα, καὶ νῦν, ἦχος, α΄.

Μεθ᾿ ἡμέρας ὀκτώ, τῆς ἐγέρσεώς σου Κύριε, ὤφθης τοῖς Μαθηταῖς σου, ἐν τόπῳ οὗ ἦσαν συνηγμένοι. καὶ φωνήσας αὐτοῖς, εἰρήνη ὑμῖν, τῷ ἀπιστοῦντι Μαθητῇ, τὰς χεῖρας ὑπέδειξας, καὶ τὴν ἄχραντον πλευράν. ὁ δὲ πεισθεὶς ἐβόα σοι· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Τό, Νῦν Ἀπολύεις. τὸ Τρισάγιον. καὶ μετὰ τὴν Ἐκφώνησιν.

Ἀπολυτίκιον, ἦχος βαρύς.

Ἐσφραγισμένου τοῦ Μνήματος, ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός, καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης ἡ πάντων Ἀνάστασις. Πνεῦμα εὐθὲς δι᾿ αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.

Ἐκτενής, καὶ Ἀπόλυσις. Καὶ ἡ συνήθης Λιτὴ ἐν τῷ Νάρθηκι, ψαλλομένου τοῦ Ἰδιομέλου στιχηροῦ τοῦ Ἁγίου τῆς Μονῆς, πρὸς τὸν κατὰ τὴν ἡμέραν ἦχον. Οὕτως οὖν γίνεται ἡ Ἀκολουθία τοῦ Λυχνικοῦ ἐν πάσαις ταῖς Κυριακαῖς, ἐναλλασσομένων τῶν στιχηρῶν, καὶ τῶν Ἀπολυτικίων, ὡς παραδηλοῦμεν.

Τῇ Β΄. τῆς Δευτέρας Ἑβδομάδος τοῦ Ἀντιπάσχα, εἰς τὸν Ὄρθρον, μετὰ τὴν τοῦ Ἱερέως ἔναρξιν, λέγομεν τό, Χριστὸς ἀνέστη, ἐκ γ΄. ἡσύχως, ἤγουν χῦμα. Τοῦτο γὰρ ποιοῦμεν ἐν ταῖς Ὥραις, καὶ ἐν τοῖς Ἑσπερινοῖς, καὶ τοῖς Ἀποδείπνοις. ἀπ᾿ αὐτῆς δηλονότι τῆς Κυριακῆς τοῦ Ἀντιπάσχα, μέχρι καὶ τῆς Ἀναλήψεως.

Πῶς οὖν οὐ δεδήλωται περὶ τοῦ Μεσονυκτικοῦ; ὡς ἐν τοῖς κελλίοις οἶμαι τούτου ψαλλομένου, ἐπεὶ κἀκεῖσε οὕτως ἡ ἔναρξις γίνεται. Εἶτα τὸν Ἑξάψαλμον συνήθως. τό, Θεὸς, Κύριος, εἰς ἦχον βαρύν. Τροπάριον, Ἐσφραγισμένου τοῦ Μνήματος. τοῦτο γὰρ λέγεται δι᾿ ὅλης τῆς Ἑβδομάδος. ἡ Στιχολογία τῶν δύω Καθισμάτων.

Μετὰ τὴν α΄. Στιχολ. Κάθισμα τῆς Ὀκτωήχου Ἀναστάσιμον, Κατανυκτικόν, Μαρτυρικόν, καὶ Θεοτοκίον.

Κάθισμα Ἀναστάσιμον, ἦχος, α΄.

Τὸν τάφον σου Σωτήρ, στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ, τοῦ ὀφθέντος Ἀγγέλου, ἐγένοντο κηρύττοντος, γυναιξὶ τὴν Ἀνάστασιν. σὲ δοξάζομεν, τὸν τῆς φθορᾶς καθαιρέτην, σοὶ προσπίπτομεν, τῷ ἀναστάντι ἐκ τάφου, καὶ μόνῳ Θεῷ ἡμῶν.

Κατανυκτικόν.

Ἐν ἀνομίαις συλληφθεὶς ἐγὼ ὁ ἄσωτος, οὐ τολμῶ ἀτενίσαι, εἰς τὸ ὕψος τοῦ Οὐρανοῦ. ἀλλὰ θαρρῶν εἰς τὴν φιλανθρωπίαν σου, κράζω· ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ σῶσόν με.

Μαρτυρικόν.

Ὑπομονῆς ἀθλήσεως καύχημα, καὶ στεφάνων ἀξίωμα, οἱ ἔνδοξοι Ἀθλοφόροι περιβέβληνταί σε Κύριε. καρτερίᾳ γὰρ αἰκισμῶν, τοὺς ἀνόμους ἐτροπώσαντο, καὶ δυνάμει θεϊκῇ, ἐξ Οὐρανοῦ τὴν νίκην ἐδέξαντο. αὐτῶν ταῖς ἱκεσίαις, ἐλευθέρωσον τοῦ ἀοράτου ἐχθροῦ Σωτήρ, καὶ σῶσόν με.

Θεοτοκίον.

Θαῦμα θαυμάτων Κεχαριτωμένη, ἐν σοὶ θεωροῦσα ἡ Κτίσις ἀγάλλεται. συνέλαβες γὰρ ἀσπόρως, καὶ ἔτεκες ἀφράστως, ὃν Ταξιαρχίαι Ἀγγέλων ὁρᾶν οὐ δεδύνηνται.

ται. αὐτὸν ὡς Θεὸν ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἶτα οὕτως Ἀνάγνωσις εἰς τὴν Ἑρμηνείαν τοῦ κατὰ Ἰωάννην.

Μετὰ τὴν β΄. στιχολογίαν κάθισμα τῆς Ἑορτῆς, ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Ἁψάμενος χειρί, τῆς πλευρᾶς τῆς ἀχράντου, ὁ Δίδυμος Θωμᾶς, οὐκ ἐφλέχθη τῇ ψαύσει, ἀλλ' ἔμεινε τοὺς μώλωπας, ψηλαφῶν ἀκριβέστερον, καὶ φθεγγόμενος, τῷ δι' ἡμᾶς λογχευθέντι. σύ μου Κύριος, σὺ καὶ Θεός μου ὑπάρχεις, κἂν πάθος ὑπήνεγκας. Δίς.

Καὶ Ἀνάγνωσις. Εἶτα, Ἀνάστασιν Χριστοῦ θεασάμενοι. καὶ τὸν Πεντηκοστόν. Οὕτω γὰρ ποιοῦμεν ἄχρι τῆς Ἀναλήψεως. ἀλλ' οὐδέ, Τῷ Κυρίῳ ᾄσωμεν, λέγομεν, ἀλλὰ τὴν ἀρχὴν ποιοῦμεν ἀπὸ τῶν Εἱρμῶν, οὓς καὶ δευτεροῦμεν, ποιοῦντες καὶ τὰ τροπάρια ς΄. τὸν δὲ Κανόνα τοῦ Μηναίου εἰς δ΄. Ἀπὸ γ΄. ᾨδῆς, κάθισμα τοῦ Μηναίου, καὶ τῆς Ἑορτῆς. Ἀφ' ἕκτης Κοντάκιον τῆς Ἑορτῆς, καὶ στιχολογοῦμεν τὴν Τιμιωτέραν, εἰς τὴν θ΄. ᾨδήν. Ἐξαποστειλάριον τῆς Ἑορτῆς, δίς.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ Ἀναστάσιμα στιχηρὰ τῆς Ὀκτωήχου, ἦχος α΄.

Ὑμνοῦμέν σου Χριστέ, τὸ σωτήριον πάθος, καὶ δοξάζομέν σου τὴν Ἀνάστασιν. Δίς.

Ἄλλος σε Κόσμος ψυχή, ἀναμένει καὶ Κριτής, τὰ σὰ μέλλων δημοσιεύειν κρυπτὰ καὶ δεινά. μὴ οὖν ἐμμείνῃς τοῖς ὧδε, ἀλλὰ πρόφθασον βοῶσα τῷ Κριτῇ. ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με.

Μαρτυρικόν.

Τοὺς Ἀθλοφόρους τοῦ Χριστοῦ, δεῦτε Λαοὶ ἅπαντες τιμήσωμεν, ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς. τοὺς φωστῆρας τοῦ Κόσμου, καὶ κήρυκας τῆς Πίστεως, τὴν πηγὴν τὴν ἀέναον, ἐξ ἧς ἀναβλύζει τοῖς πιστοῖς τὰ ἰάματα. αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς ἡμῶν, τὴν εἰρήνην δώρησαι τῷ Κόσμῳ σου, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος α΄.

Θωμᾶς ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν, ὅτε εἰσῆλθες Χριστέ, κεκλεισμένων τῶν θυρῶν ὅθεν καὶ ἠπίστει τοῖς ῥηθεῖσιν αὐτῷ, ἐξ ἀπιστίας εἰς πίστιν βεβαιῶν. οὐκ ἀπηξίωσας δὲ ἀγαθέ, ὑποδεῖξαι αὐτῷ τὴν ἄχραντον πλευράν σου, καὶ τῶν χειρῶν καὶ τῶν ποδῶν τοὺς μώλωπας. ὁ δὲ ψηλαφήσας καὶ ἰδών, ὡμολόγησέ σε εἶναι Θεὸν οὐ γυμνόν, καὶ ἄνθρωπον οὐ ψιλόν, καὶ ἐβόα· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Εἰς τὸν στίχον. στιχηρὰ Προσόμοια, ἦχος β΄.

Οἶκος τοῦ Εὐφραθᾶ.

Χείλεσι καθαροῖς, ὑμνεῖτε σὺν Ἀγγέλοις, βροτοὶ τὸν Ἀναστάντα, τριήμερον ἐκ τάφου, καὶ Κόσμον συνεγείραντα.

Στίχ. Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον.

Ὤφθης τοῖς ἱεροῖς, σοῦ Σῶτερ Ἀποστόλοις, τῶν θυρῶν κεκλεισμένων, δι' αὐτῶν ἐγκαινίζων, ἡμῖν τὸ θεῖον Πνεῦμά σου.

Στίχ. Ὅτι ἐνίσχυσε τοὺς μοχλούς.

Ὃν σε Παμβασιλεῦ, ἰδόντες οὐ βλεφάροις, ἀλλὰ καρδίας πόθῳ, Θεὸν πεπιστευκότες, ἐν ὕμνοις μεγαλύνομεν.

Δόξα, καὶ νῦν, ἦχος α΄.

Τῶν Μαθητῶν διστάζοντων, τῇ ὀγδόῃ ἡμέρᾳ, ἐπέστη ὁ Σωτὴρ οὗ ἦσαν συνηγμένοι, καὶ τὴν εἰρήνην δούς, τῷ Θωμᾷ ἐβόησε· δεῦρο Ἀπόστολε, ψηλάφησον παλάμας, αἷς τοὺς ἥλους ἔπηξαν· ὢ καλὴ ἀπιστία τοῦ Θωμᾶ· τῶν πιστῶν τὰς καρδίας, εἰς ἐπίγνωσιν ἦξε, καὶ μετὰ φόβου ἐβόησεν· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Τὸ Ἀπολυτίκιον, Ἐσφραγισμένου τοῦ μνήματος.

Ἐκτενής, καὶ ἐπεύχεται ὁ Ἱερεύς.

Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν.

Καὶ ἡμεῖς στερεοῦμεν τοὺς Βασιλεῖς. καὶ εὐθὺς συνάπτομεν τὴν πρώτην Ὥραν τρίψαλμον, κατὰ τὸ σύνηθες, καὶ γίνεται τελεία Ἀπόλυσις.

Ἀρχόμεθα δὲ ἀπὸ τῆς σήμερον τῶν μεσωρίων τῆς τρίτης Ὥρας, καὶ τῆς ς΄. τὸ δὲ μεσώριον τῆς πρώτης Ὥρας, καὶ τῆς ἐννάτης, ψάλλομεν ἐν τοῖς κελλίοις ἡμῶν, κατὰ τὸν παρακολουθήσαντα Τύπον. Ψάλλομεν δὲ ἐν τοῖς Ἀποδείπνοις τὸν ἱκετήριον Κανόνα τῆς Ὑπεραγίας Θεοτόκου, καὶ τὰ Τριῴδια τῆς ἡμέρας, ἅπερ εἰσὶ τοῦ Κυρίου Ἰωσήφ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δεῖ δὲ εἰδέναι, ὅτι καὶ ἐν πάσαις ταῖς Ἑβδομάσιν, οὕτω γίνεται ἡ Ἀκολουθία, ἕως τῆς Ἀναλήψεως, καθὼς ἐδηλώθη τῇ Κυριακῇ Ἑσπέρας, καὶ ἐν τῷ Ὄρθρῳ τῆς Δευτέρας, τῶν στιχηρῶν ἐναλλασσομένων, καὶ τῶν Καθισμάτων τῆς Ὀκτωήχου.

Εἰς τὴν Λειτουργίαν, Προκείμενον τοῦ Ἀποστόλου, ἦχος γ΄.

Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ.

Στίχ. Αἰνεῖτε τὸν Κύριον ὅτι ἀγαθός.

Ἡ Πρᾶξις. Ἀλληλούϊα, ἦχος πλ. δ΄.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ.

Στίχ. Ὅτι Θεὸς μέγας Κύριος καὶ Βασιλεὺς μέγας.

Εὐαγγέλιον κατὰ Ἰωάννην.

Τῷ καιρῷ ἐκείνῳ, Γάμος ἐγένετο ἐν Κανᾶ τῆς Γαλιλαίας.

Κοινων. Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου. καὶ Ἀπόλυσις.

---

Τῇ Β΄. τῆς Β΄. Ἑβδομάδος. Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν στιχ. Προσόμοια, ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἀναστὰς ἐκ τοῦ Μνήματος, κεκλεισμένων ἐφίστασαι, τῶν θυρῶν τοῖς φίλοις σου Παντοδύναμε, καὶ τῷ Θωμᾷ ἀπιστήσαντι, τῶν ἥλων ὑπέδειξας, διατρήσεις καὶ πλευρᾶς, τὴν ἐκ λόγχης ἐκκέντησιν, βεβαιῶν αὐτὸν, καὶ πιστούμενος Λόγε, ὡς αὐτὸς εἶ, ὁ δι' οἶκτον ὑπομείνας, σωτηριώδη παθήματα.

Ἡν πολλὴν συγκατάβασιν, καὶ δι' οἶκτον ἀμέτρητον, καθορῶν μου κένωσιν, μὴ ἀμφίβαλλε, ἀλλὰ πιστώθητι Δίδυμε, ὁ Κύριος ἔφησεν, ὡς αὐτὸς ἐγώ εἰμι, ὁ παθὼν καὶ τριήμερος, ἐκ τοῦ Μνήματος, ἀναστὰς καὶ τοῦ ᾅδου τὰ ταμεῖα, ἐκκενώσας καὶ ζωώσας, τοὺς ἀπ' αἰῶνος τεθνηξάντας.

Ἐκπλαγεὶς ὡς ἑώρακεν, ὁ Θωμᾶς ἀνεβόησεν, ὁπηνίκα εἶδέ σε Παντοδύναμε, σὺ εἶ Θεός μου καὶ Κύριος. πιστεύω φιλάνθρωπε, ὡς αὐτὸς εἶ ὁ παθὼν, καὶ τὰ πάθη ἰώμενος, τῶν ψυχῶν ἡμῶν. προσκυνῶ σου τὸ κράτος, καὶ τῷ Κόσμῳ, διαγγέλλω τὴν φρικτήν σου, καὶ παντοδύναμον ἔγερσιν.

Καὶ τοῦ Μηναίου, γ΄.

Δόξα, καὶ νῦν, ἦχος, α΄.

Τῶν Μαθητῶν διστασζόντων, τῇ ὀγδόῃ ἡμέρᾳ, ἐπέστη ὁ Σωτὴρ, οὗ ἦσαν συνηγμένοι, καὶ τὴν εἰρήνην δοὺς, τῷ Θωμᾷ ἐβόησε· δεῦρο Ἀπόστολε, ψηλάφησον παλάμας, αἷς τοὺς ἥλους ἔπηξαν. ὢ καλὴ ἀπιστία τοῦ Θωμᾶ· τῶν πιστῶν τὰς καρδίας εἰς ἐπίγνωσιν ἦξε, καὶ μετὰ φόβου ἐβόησεν· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Εἰς τὸν στίχ. στιχ. ἦχος, α΄.

Κυκλώσατε Λαοὶ Σιὼν, καὶ περιλάβετε αὐτὴν, καὶ δότε δόξαν ἐν αὐτῇ, τῷ ἀναστάντι ἐκ νεκρῶν, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ λυτρωσάμενος ἡμᾶς, ἐκ τῶν ἀνομιῶν ἡμῶν.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου.

Ὅτι ἐν μοίαις πονηραῖς, καὶ ἔργοις καταδεδίκασμαι Σωτὴρ, λογισμόν μοι δώρησαι ἐπιστροφῆς ὁ Θεὸς, ἵνα κράζω· σῶσόν με, Εὐεργέτα ἀγαθὲ, καὶ ἐλέησόν με.

Στίχ. Ἐλέησον ἡμᾶς Κύριε.

Ἡ ἐν σταδίῳ ὑμῶν ὁμολογία Ἅγιοι, τῶν δαιμόνων κατέπτηξε τὴν δύναμιν, καὶ τῆς πλάνης τοὺς ἀνθρώπους ἠλευθέρωσε. διὸ καὶ τὰς κεφαλὰς ἀποτεμνόμενοι, ἐκράζετε· γενέσθω Κύριε ἡ θυσία τῶν ψυχῶν ἡμῶν εὐπρόσδεκτος ἐνώπιόν σου· ὅτι σὲ ποθήσαντες, κατεφρονήσαμεν τῆς προσκαίρου ζωῆς, Φιλάνθρωπε.

Δόξα, καὶ νῦν, ἦχος, β΄.

Μετὰ τὴν ἔγερσίν σου Κύριε, συνηγμένων τῶν Μαθητῶν σου, καὶ τῶν θυρῶν κεκλεισμένων, ἐν μέσῳ ἔστης, εἰρήνην παρέχων αὐτοῖς. πεισθεὶς δὲ καὶ ὁ Θωμᾶς, τῇ ὁράσει τῶν χειρῶν, καὶ τῆς πλευρᾶς σου, Κύριον, καὶ Θεόν σε ὡμολόγησε, σώζοντα τοὺς ἐλπίζοντας εἰς σὲ φιλάνθρωπε.

Ἀπολυτ. Ἐσφραγισμένου τοῦ Μνήματος.

Ἐκτενὴς, καὶ Ἀπόλυσις.

---

Τῇ Γ΄. τῆς Β΄. Ἑβδομάδος εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολ. Καθισμ. ἦχος, α΄.

Τοῦ λίθου σφραγισθέντος.

Γυναῖκες πρὸς τὸ Μνῆμα παραγενόμεναι ὄρθριαι, καὶ Ἀγγελικὴν ὀπτασίαν θεα-

Δημόσια Κεντρική Βιβλιοθήκη

θεασάμεναι ἔτρεμον. ὁ τάφος ἐξήστραπτε ζωήν, τὸ θαῦμα κατέπληττεν αὐτάς. διὰ τοῦτο ἀπελθοῦσαι, τοῖς Μαθηταῖς ἐκήρυττον τὴν ἔγερσιν. τὸν ᾅδην ἐσκύλευσε Χριστός, ὡς μόνος κραταιὸς καὶ δυνατός. καὶ φθαρέντας συνήγειρε πάντας, τὸν τῆς κατακρίσεως φόβον, λύσας δυνάμει Σταυροῦ.

Κατανυκτικόν.

Εἰ ὁ δίκαιος μόλις σώζεται, ἐγὼ ποῦ φανοῦμαι ὁ ἁμαρτωλός; τὸ βάρος καὶ τὸν καύσωνα τῆς ἡμέρας οὐκ ἐβάστασα· τοῖς περὶ τὴν ἑνδεκάτην ὥραν, συναρίθμησόν με ὁ Θεός, καὶ σῶσόν με.

Μαρτυρικόν.

Ὡς καλοὶ στρατιῶται, ὁμοφρόνως πιστεύσαντες, τὰς ἀπειλὰς τῶν τυράννων μὴ πτοούμενοι Ἅγιοι, προσήλθετε προθύμως τῷ Χριστῷ, ἀράμενοι τὸν τίμιον Σταυρόν. καὶ τελέσαντες τὸν δρόμον, ἐξ Οὐρανοῦ τὴν νίκην ἐδέξασθε. δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι δι᾽ ὑμῶν πᾶσιν ἰάματα.

Θεοτοκίον.

Ἄρρηκτον τεῖχος κεκτημένοι πιστοί, τὴν Θεοτόκον Μαρίαν, δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῇ. παρρησίαν γὰρ ἔχει πρὸς τὸν τεχθέντα ἐξ αὐτῆς, καὶ πρεσβεύειν καὶ σώζειν, ἀπὸ ὀργῆς καὶ θανάτου τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὴν β'. στιχ. κάθ. τῆς Ἑορτῆς.
Ἦχος, πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Τὸν Ἀπόστολον πάντες, καὶ Μαθητὴν τοῦ Χριστοῦ, ἀνευφημήσωμεν ὕμνοις ἐν τῇ μνήμῃ αὐτοῦ. Θεοπρεπῶς γὰρ τὰς ἡμῶν, διανοίας αὐτός, τύπους τῶν ἥλων ψηλαφῶν, βεβαίαν πίστιν ἐκζητῶν, ἐστήριξεν ἐν τῷ Κόσμῳ, καὶ δυσωπεῖ τὸν Σωτῆρα, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Δίς.

Τό, Ἀνάστασιν Χριστοῦ θεασάμενοι.

Καὶ ὁ Ν'. εἶτα ὁ Κανὼν τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν, εἰς η'. καὶ τοῦ Μηναίου, εἰς δ'. Ἀπὸ τρίτης ᾠδῆς, κάθισμα τοῦ Μηναίου, Κοντάκιον, καὶ Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν στιχηρὰ τῆς Ὀκτωήχου, ἦχος, α'.

Ὁ Σταυρὸν ὑπομείνας, καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, εἰρήνευσον ἡμῶν τὴν ζωὴν Κύριε, ὡς μόνος Παντοδύναμος. Δίς.

Μὴ ἀποδοκιμάσῃς με Σωτήρ μου, τῇ ῥᾳθυμίᾳ τῆς ἁμαρτίας συνεχόμενον, διέγειρόν μου τὸν λογισμὸν πρὸς μετάνοιαν, καὶ τοῦ σοῦ ἀμπελῶνος ἐργάτην δόκιμον ἀνάδειξόν με, δωρούμενός μοι τῆς ἑνδεκάτης ὥρας τὸν μισθόν, καὶ τὸ μέγα ἔλεος.

Μαρτυρικόν.

Οὗτοι οἱ στρατιῶται τοῦ Βασιλέως τοῦ μεγάλου, ἀντέστησαν τοῖς δόγμασι τῶν τυράννων, γενναίως κατεφρόνησαν τῶν βασάνων, καὶ τὴν πλάνην πᾶσαν πατήσαντες, ἀξίως στεφανωθέντες, αἰτοῦνται παρὰ τοῦ Σωτῆρος, εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος, β'.

Τῶν θυρῶν κεκλεισμένων, ἐπιστὰς ὁ Ἰησοῦς τοῖς Μαθηταῖς, ἀφοβίαν καὶ εἰρήνην ἐδίδου· εἶτα λέγει τῷ Θωμᾷ. τί μοι ἀπιστεῖς, ὅτι ἀνέστην ἐκ νεκρῶν; φέρε ὧδε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου καὶ ἴδε. σοῦ γὰρ ἀπιστοῦντος, οἱ πάντες ἔμαθον, τὰ πάθη καὶ τὴν Ἀνάστασίν μου, κράζειν μετὰ σοῦ· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Εἰς τὸν στ. στ. τῆς Ἑορτῆς, ἦχος, β'.
Οἶκος τοῦ Εὐφραθᾶ.

Ὑμνήσωμεν πιστοί, ἀπαύστως σὺν Ἀγγέλοις, Χριστὸν τὸν ἀναστάντα, τριήμερον ἐκ τάφου, καὶ Κόσμον συνεγείραντα.

Στ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Θωμᾶς σου τὴν πλευράν, εὔσπλαγχνε ψηλαφήσας, πρὸς πίστιν ἐπανῆλθε. καὶ ἡμεῖς δι᾽ αὐτοῦ σε, Θεὸν λοιπὸν ἐπέγνωμεν.

Στ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Νέμεις ὦ Λυτρωτά, εἰρήνην τῷ Λαῷ σου, ἐξαναστὰς τοῦ τάφου, καὶ Κόσμον συνεγείρας, ἐξ ᾅδου Παντοδύναμε.

Δόξα, καὶ νῦν, ἦχος, πλ. β'.
Ἰωάννου Μοναχοῦ.

Τῶν θυρῶν κεκλεισμένων, ἐπέστης Χριστὲ πρὸς τοὺς Μαθητάς. τότε ὁ Θωμᾶς οἰκονομικῶς οὐχ εὑρέθη μετ᾽ αὐτῶν. ἔλεγε γάρ, οὐ μὴ πιστεύσω, ἐὰν μὴ ἴδω κἀγὼ τὸν Δεσπότην. ἴδω τὴν πλευράν, ὅθεν ἐξῆλθε τὸ αἷμα, τὸ ὕδωρ, τὸ Βάπτισμα. ἴδω τὴν πληγήν, ἐξ ἧς ἰάθη τὸ μέγα τραῦμα ὁ ἄνθρωπος. ἴδω, πῶς οὐκ ἦν ὡς πνεῦμα,

ἀλλὰ

ἀλλὰ σάρξ καὶ ὀστέα. ὁ τὸν θάνατον πατήσας, καὶ Θωμᾶν πληροφορήσας Κύριε δόξα σοι.

Τὸ Ἀπολυτίκιον, Ἐκτενής, καὶ Ἀπόλυσις.

Τῇ Γ΄. τῆς Β΄. Ἑβδομάδος, Ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος, α΄.

Παμεύφημοι Μάρτυρες.

Ψηλάφησον λέγει τῷ Θωμᾷ, ἐκ νεκρῶν τριήμερος, ἐξαναστὰς ὁ Φιλάνθρωπος, καὶ ἴδε χεῖράς μου, καὶ ποδῶν τὰς τρήσεις, καὶ πλευρᾶς τὴν πόρωσιν, καὶ γνῶθί με Θεὸν ἀναλλοίωτον, γεῶδες φύραμα, κατ' οὐσίαν μορφωσάμενον, καὶ τὸ πάθος ἐν αὐτῷ δεξάμενον.

Ἠπόρει τὰς τρήσεις ἐνορῶν, τῶν ποδῶν ὁ Δίδυμος, καὶ τῶν χειρῶν τὰ τυλώματα, καὶ ἦν θαμβούμενος, τὸ φρικῶδες θαῦμα, καὶ χειρὶ τὴν ἄχραντον, πλευρὰν καὶ ψηλαφῶν καὶ θεώμενος, ἐξ ὧν ὑπέδειξεν, ἀναμφίβολον τοῖς Ἔθνεσι, τὴν ἐκ τάφου τριήμερον ἔγερσιν.

Λαμβάνω μεγίστην χαρμονήν, σοῦ Σωτήρ μου ἔγερσιν, βεβαιουμένην θεώμενος, ἐξ ὧν ἠξίωται, τολμηρῶν πραγμάτων, ὁ Θωμᾶς ἐφάψασθαι. διό σε τὸν ἁπλοῦν δογματίζομεν, Θεὸν καὶ ἄνθρωπον, ἐνεργείας δύω φέροντα, οὐσιώδεις, τῶν ἐξ ὧν συντέθεισαι.

Καὶ τοῦ Μηναίου τοῦ κατὰ τὴν ἡμέραν Ἁγίου, γ΄.

Δόξα. καὶ νῦν, ἦχος, δ΄.

Κύριε, τῇ ἀστέκτῳ τῆς Θεότητος αἴγλῃ, τῶν θυρῶν ἐπέστης, οὐσῶν κεκλεισμένων. καὶ στὰς ἐν μέσῳ τῶν Μαθητῶν, τὴν πλευρὰν ἐξεγύμνωσας, καὶ τραυμάτων σου χειρῶν, καὶ τῶν ποδῶν τὰς ὠτειλὰς δεικνύων, ἀθυμίας τὴν κατήφειαν τελύων, σαφῶς ἐφώνησας· ὃν τρόπον ἐν ἐμοὶ καθορᾶτε ὦ φίλοι, τῆς σαρκὸς τὴν πρόσληψιν, οὐ πνεύματος φέρω φύσιν. τῷ δὲ διστάζοντι Μαθητῇ προσετρέπου ψηλαφῆσαι φρικτῶς κατειπών· ἐρεύνησας ἅπαντα, δεῦρο λοιπὸν μὴ ἀμφίβαλλε. ὁ δὲ αἰσθόμενος τῇ χειρὶ τῆς σῆς διπλῆς οὐσίας, ἐν φόβῳ ἀνεβόα πιστῶς, τῇ πίστει ἑλκόμενος, ὁ Κύριός μου, καὶ ὁ Θεός μου δόξα σοι.

Εἰς τὸν στίχ. στιχηρὰ Σταυρώσιμον, ἦχος, α΄.

Σταυρὸς κατεπάγη ἐν κρανίῳ, καὶ ἤνθησεν ἡμῖν ἀθανασίαν, ἐκ πηγῆς ἀενάου τῆς πλευρᾶς τοῦ Σωτῆρος.

Ἀναστάσιμον.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου.

Δεῦτε Λαοὶ ὑμνήσωμεν, καὶ προσκυνήσωμεν Χριστόν, δοξάζοντες αὐτοῦ τὴν ἐκ νεκρῶν Ἀνάστασιν, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ, τὸν Κόσμον λυτρωσάμενος.

Στίχ. Ἐλέησον ἡμᾶς Κύριε. Μαρτυρ.

Ὢ τῆς καλῆς ὑμῶν πραγματείας Ἅγιοι, ὅτι αἵματα ἐδώκατε, καὶ Οὐρανοὺς ἐκληρονομήσατε. καὶ πρὸς καιρὸν πειρασθέντες, αἰωνίως ἀγάλλεσθε. ὄντως καλὸν ὑμῶν τὸ ἐμπόρευμα· φθαρτὰ γὰρ καταλιπόντες, τὰ ἄφθαρτα ἀπελάβετε. καὶ σὺν Ἀγγέλοις χορεύοντες, ὑμνεῖτε ἀπαύστως, Τριάδα ὁμοούσιον.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ΄.

Ἤψαι Θωμᾶ τῆς πλευρᾶς τῇ χειρί, λέγει Χριστός, καὶ τοὺς τύπους τῶν ἥλων δεῦρο ψηλάφησον, πίστει ἐρεύνησον, καὶ γίνου μοι πιστός, καὶ μὴ γίνου ἄπιστος. ὁ δὲ Θωμᾶς τῷ δακτύλῳ ὡς ἥψατο τοῦ Δεσπότου, μέγα ἀνεβόησε· σύ μου Θεὸς καὶ Κύριος, εὔσπλαγχνε δόξα σοι.

Ἀπολυτίκιον. Ἐσφραγισμένου.

Ἐκτενής, καὶ Ἀπόλυσις.

Ἰστέον, ὅτι ταῖς Τετράσι, καὶ ταῖς Παρασκευαῖς, προηγοῦνται πρῶτον τὰ Σταυρώσιμα στιχηρὰ ὁμοίως καὶ τὰ καθίσματα τῶν Ἀναστασίμων. διότι ὁ Κύριος ἡμῶν, πρῶτον ἐσταυρώθη, εἶθ' οὕτως ἀνέστη ἐκ τῶν νεκρῶν.

Τῇ Δ΄. τῆς Β΄. Ἑβδομάδος, εἰς τὸν Ὄρθρον. μετὰ τὴν α΄. στιχολ. κάθισμα. Σταυρώσιμον. ἦχος, α΄.

Σταυρωθέντος σου Χριστέ, ἀνῃρέθη ἡ τυραννίς, ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ. οὔτε γὰρ Ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσας ἡμᾶς, δόξα σοι.

Ἀναστάσιμον.

Ἰσαὰκ ἐν τῷ βουνῷ ἀνηνέχθη, ὁ Ἰωνᾶς ἐν τῷ βυθῷ κατηνέχθη, καὶ ἀμφότε-



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ρει τὸ πάθος σου Σωτὴρ ἐξεικονίζον. ὁ μὲν, τὰ δεσμὰ καὶ τὴν σφαγὴν, ὁ δὲ, τὴν ταφὴν καὶ τὴν ζωὴν, τῆς παραδόξου ἐγέρσεώς σου, Κύριε δόξα σοι. Μαρτυρικόν.

Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε δεόμεθα. Σταυροθεοτοκίον.

Τὴν σὴν προστασίαν κεκτημένοι Ἄχραντε, καὶ ταῖς σαῖς ἱκεσίαις, τῶν δεινῶν ἐκλυτρούμενοι, τῷ Σταυρῷ τοῦ Υἱοῦ σου ἐν παντὶ φρουρούμενοι, κατὰ χρέος σε πάντες, εὐσεβῶς μεγαλύνομεν.

Μετὰ τὴν β΄. στιχολογίαν, κάθισμα, ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Ἁψάμενος χειρὶ, τῆς πλευρᾶς τῆς ἀστέκτου, ὁ Δίδυμος Θωμᾶς, οὐκ ἐφλέχθη τῇ ψαύσει, ἀλλ' ἔμεινε τοὺς μώλωπας, ψηλαφῶν ἀκριβέστερον, καὶ φθεγγόμενος, τῷ δι' ἡμᾶς λογχευθέντι. σύ μου Κύριος, σὺ καὶ Θεός μου ὑπάρχεις, κἂν πάθος ὑπήνεγκας. Δίς.

Τό, Ἀνάστασιν Χριστοῦ θεασάμενοι.

Καὶ ὁ Ν΄. Ὁ Κανὼν τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν, εἰς η΄. Καὶ τοῦ Μηναίου, εἰς δ΄.

Ἀπὸ τρίτης ᾠδῆς κάθισμα τοῦ Μηναίου.

Εἰς τοὺς Αἴνους, τὰ παρόντα ἦχος α΄.

Σταυρώσιμον.

Σὲ τὸν ἐν ξύλῳ προσπαγέντα, καὶ ζωὴν ἡμῖν παρεσχηκότα, ὡς Σωτῆρα καὶ Δεσπότην ὑμνοῦμεν ἀπαύστως.

Καὶ τὸ Ἀναστάσιμον. Δίς.

Τὸν ᾅδην σκυλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας, τῇ ἀναστάσει σου Χριστὲ, ἀξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε.

Μαρτυρικόν.

Ὑμᾶς πανεύφημοι Μάρτυρες, οὐ θλίψις, οὐ στενοχωρία, οὐ λιμὸς, οὐ διωγμὸς, οὐδὲ μάστιγες, οὐ θυμὸς θηρῶν, οὐ ξίφος, οὐδὲ πῦρ ἀπειλοῦν χωρίσαι Θεοῦ δεδύνηνται. πόθῳ δὲ μᾶλλον τῷ πρὸς αὐτὸν, ὡς ἐν ἀλλοτρίοις ἀγωνισάμενοι σώμασι, τὴν φύσιν ἐλάθετε, θανάτου καταφρονήσαντες. ὅθεν καὶ ἐπαξίως, τῶν πόνων ὑμῶν μισθὸν ἐκομίσασθε, Οὐρανῶν Βασιλείας κληρονόμοι γεγόνατε. ἔχοντες παρρησίαν πρὸς τὸν φιλάνθρωπον Θεὸν, τῷ Κόσμῳ τὴν εἰρήνην αἰτήσασθε, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. ἦχος, πλ. δ΄.

Ἀνατολίου.

Τῶν θυρῶν κεκλεισμένων, τῶν Μαθητῶν συνηθροισμένων, ἐπέστη ὁ Σωτὴρ, οὗ ἦσαν συνηγμένοι. καὶ στὰς ἐν μέσῳ αὐτῶν, λέγει τῷ Θωμᾷ· δεῦρο ψηλάφησον, καὶ ἴδε τοὺς τύπους τῶν ἥλων. ἔκτεινόν σου τὴν χεῖρα, καὶ ἅψαι τῆς πλευρᾶς μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πίστει κήρυξον, τὴν ἐκ νεκρῶν μου Ἀνάστασιν.

Εἰς τὸν στίχον, Προσόμοια, ἦχος β΄.

Οἶκος τοῦ Εὐφραθᾶ.

Θαύματος καινοῦ, ὢ παραδόξου τρόπου, πῶς χόρτος οὐκ ἐφλέχθη, ἡ χεὶρ τοῦ Ἀποστόλου, πυρὶ τῷ τῆς Θεότητος.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Πλύσωμεν καὶ ἡμεῖς, τὰς χεῖρας ἁγιάσαι, τῇ τῶν παθῶν ἀργείᾳ, καὶ οὕτω τοῦ Δεσπότου, τῆς πλευρᾶς ἐφαψώμεθα.

Στίχ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν.

Ἐγκαίνισον ψυχὴ, πάσας σου τὰς αἰσθήσεις, πρὸς θείαν θεωρίαν. Χριστὸς γὰρ οὕτω θέλει, τελεῖσθαι τὰ ἐγκαίνια.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Ὥρα μοι νοητῶς, τὴν ἀλλαγὴν τοῦ Κόσμου, καὶ κόσμησον τὰ ἔνδον, ταῖς ἀρεταῖς ὡς φύλλοις, ψυχὴ καὶ ὡραΐσθητι.

Τῇ Δ΄. τῆς Β΄. Ἑβδομάδος, Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν Προσόμοια, ἦχος β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Κόλπους μὴ λιπὼν τοὺς πατρικοὺς, ὤφθης ἐπὶ γῆς σαρκοφόρος, δι' εὐσπλαγχνίαν Χριστὲ, πάθος τε καὶ θάνατον, καταδεξάμενος, ἐξαναστὰς τριήμερος, θυρῶν κεκλεισμένων, ἔνδον εἰσελήλυθας, ὡς Παντοδύναμος. ὅθεν, τὴν πλευράν σου τὴν θείαν, χαίρων ὁ Θωμᾶς ψηλαφήσας, Κύριον καὶ κτίστην σε ἐδόξασεν.

Ἥλοις προσηλώθης τῷ Σταυρῷ, λόγχῃ τὴν πλευρὰν ἐκεντήθης, χολῆς ἐγεύσω Χριστὲ, θάνατον ὑπέμεινας, τάφῳ τεθεὶς ὡς νεκρός. ὡς Θεὸς δὲ συνέτριψας, δεσμοὺς τοὺς τοῦ ᾅδου, καὶ συνεξαναστήσας,

τοὺς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

τοὺς ἀπ' αἰῶνος νεκρούς. ὅθεν, τὰς σφραγῖδας μὴ λύσας, σοῖς τοῖς Μαθηταῖς ἐνεφάνης, τὴν σὴν ἐξανάστασιν πιστούμενος.

Πάσχα ἡ παροῦσα Ἑορτή. Πάσχα μυστικόν, Πάσχα θεῖον, Πάσχα σωτήριον. Πάσχα πρὸς ἀθάνατον, ζωὴν μετάγον ἡμᾶς. Πάσχα πᾶσαν κατήφειαν, ἐξαῖρον ἐκ μέσου. Πάσχα τὴν εὐφρόσυνον, χάριν διδοὺς Μαθηταῖς. ὅθεν, ὁ Θωμᾶς ἀνεβόα· Κύριος Θεός μου ὑπάρχεις, ὁ σκυλεύσας ᾅδου τὰ βασίλεια.

Καὶ τοῦ Μηναίου, γ'.

Δόξα, καὶ νῦν, ἦχος, δ'.

Ὢ Τοῦ παραδόξου θαύματος, ἀπιστία πίστιν βεβαίαν ἐγέννησεν· εἰπὼν γὰρ ὁ Θωμᾶς, ἐὰν μὴ ἴδω οὐ μὴ πιστεύσω, ψηλαφήσας δὲ τὴν πλευρὰν, ἐθεολόγει τὸν σαρκωθέντα· τὸν αὐτὸν Υἱὸν τοῦ Θεοῦ, ἐγνώρισεν ὡς πεπονθότα σαρκί· ἐκήρυξε τὸν ἀναστάντα Θεόν· καὶ ἐβόησε λαμπρᾷ τῇ φωνῇ· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Εἰς τὸν ν'. ψ'. Ἀναστάσιμον, ἦχος, α'.

Τῷ πάθει σου Χριστὲ, παθῶν ἠλευθερώθημεν, καὶ τῇ Ἀναστάσει σου ἐκ φθορᾶς ἐλυτρώθημεν, Κύριε δόξα σοι.

Ἀποστολικόν.

Ἡ Τῶν Ἀποστόλων παναρμόνιος λύρα, ὑπὸ Ἁγίου Πνεύματος κινουμένη, τὰς τῶν συγγενῶν δαιμόνων τελετὰς κατήργησε. καὶ τὸν ἕνα Κύριον κηρύξασα, Ἔθνη ἐλυτρώσατο τῆς πλάνης τῶν εἰδώλων, καὶ προσκυνεῖν ἐδίδαξε, Τριάδα ὁμοούσιον.

Μαρτυρικόν.

Ἀοίδιμοι Μάρτυρες ὑμᾶς, οὐχ ἡ γῆ κατέκρυψεν, ἀλλ' Οὐρανὸς ὑπεδέξατο. ἠνοίγησαν ὑμῖν Παραδείσου πύλαι, καὶ ἐντὸς γενόμενοι, τοῦ ξύλου τῆς ζωῆς ἀπολαύετε. Χριστῷ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος, δ'.

Ὢ Τοῦ παραδόξου θαύματος, τοῦ πυρὸς ὁ χόρτος ἁψάμενος σέσωσται. βαλὼν γὰρ ὁ Θωμᾶς, ἐν τῇ πυρίνῃ πλευρᾷ τὴν χεῖρα, Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ, οὐ κατεφλέχθη τῇ ψηλαφήσει. τῆς ψυχῆς γὰρ τὸ δυσπειθὲς, μετέβαλεν εἰς ἄπιστίαν θερμῶς. ἐκέκραξεν ἀπὸ βαθέων ψυχῆς· ὁ Δεσπότης, σύ μου εἶ καὶ Θεὸς, ὁ ἐκ νεκρῶν ἐγηγερμένος δόξα σοι.

Ἀπολυτίκιον, Ἐσφραγισμένου.

Τὸ αὐτὸ καὶ εἰς τὸν Ὄρθρον.

Τῇ Ε'. τῆς Β'. Ἑβδομάδος εἰς τὸν Ὄρθρον.

Εἰς τὴν α'. στιχολογίαν. Καθισμα. ἦχος, α'.

Τοῦ λίθου σφραγισθέντος.

Ἐν τῷ Σταυρῷ προσηλώθης ἡ ζωὴ τῶν ἁπάντων, καὶ ἐν νεκροῖς ἐλογίσθης, ὁ ἀθάνατος Κύριος. ἀνέστης τριήμερος Σωτὴρ, συνήγειρας Ἀδὰμ ἐκ τῆς φθορᾶς. διὰ τοῦτο αἱ Δυνάμεις τῶν Οὐρανῶν, ἐβόων σοι ζωοδότα· δόξα τῷ θείῳ πάθει σου Χριστέ· δόξα τῇ Ἀναστάσει σου· δόξα τῇ συγκαταβάσει σου μόνε φιλάνθρωπε.

Ἀποστολικόν.

Οἱ σοφοὶ τῆς Οἰκουμένης Ἁλιεῖς, ἐκ Θεοῦ λαβόντες τὸ συμπαθὲς, πρεσβεύσατε καὶ νῦν ὑπὲρ ἡμῶν τῶν βοώντων· Κύριε σῶσον τοὺς Βασιλεῖς, καὶ τὴν Πόλιν σου, καὶ τῶν συνεχόντων δεινῶν ἐλευθέρωσον, διὰ τῶν Ἀποστόλων τὰς ψυχὰς ἡμῶν.

Μαρτυρικόν.

Τὸν τάφον σου Σωτήρ.

Τοὺς Μάρτυρας Χριστοῦ, ἱκετεύσωμεν πάντες· αὐτοὶ γὰρ τὴν ἡμῶν, σωτηρίαν αἰτοῦνται, καὶ πάντες προσέλθωμεν, πρὸς αὐτοὺς μετὰ πίστεως. οὗτοι βρύουσι τῶν ἰαμάτων τὴν χάριν. οὗτοι φάλαγγας ἀποσοβοῦσι δαιμόνων, ὡς φύλακες τῆς Πίστεως.

Θεοτοκίον. Ὅμοιον.

Προφῆταί σε τρανῶς, προκατήγγειλαν Κόρη, Μητέρα τοῦ Θεοῦ, καὶ Ἀπόστολοι θεῖοι, ἐν Κόσμῳ ἐκήρυξαν, καὶ ἡμεῖς ἐπιστεύσαμεν. ὅθεν ἅπαντες, εὐσεβοφρόνως τιμῶντες, ἀνυμνοῦμέν σε, καὶ Θεοτόκον κυρίως, ἀεὶ ὀνομάζομεν.

Μετὰ τὴν β'. στιχολογίαν. Καθισμα. ἦχος, α'.

Τὸν τάφον σου Σωτήρ.

Ἰδών μου τὴν πλευρὰν, μὴ ἀπίστει μοι πλέον, ὁ Λόγος τῷ Θωμᾷ, ἀπιστοῦντι ἐβόα. δακτύλῳ μὲ ψηλάφησον, καὶ χειρὶ ἐξεράυνησον, καὶ γνωρίσας μου τὰς ὠτειλὰς τῶν τραυμάτων, Κόσμῳ κήρυττε, τὴν ζωηφόρον μου ταύτην, ἐκ τάφου Ἀνάστασιν.

Δίς. Τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ὁ Κανὼν τῆς Ἑορτῆς, μετὰ Εἱρμῶν, εἰς η΄. Καὶ τοῦ Μηναίου, εἰς δ΄. Ἀπὸ γ΄. ᾠδῆς, Κάθισμα τοῦ Μηναίου. Κοντάκιον, καὶ Ἐξαποστειλάριον, τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, ψάλλομεν τὸ Ἀναστάσιμον στιχηρόν. Ἦχος, α΄.

Τὴν θεοπρεπῆ σου συγκατάβασιν δοξάζοντες, ὑμνοῦμέν σε Χριστέ. ἐτέχθης ἐκ Παρθένου, καὶ ἀχώριστος ὑπῆρχες τῷ Πατρί. ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας Σταυρόν. ἀνέστης ἐκ τοῦ τάφου, ὡς ἐκ παστάδος προελθών, ἵνα σώσῃς τὸν Κόσμον, Κύριε δόξα σοι. Δίς.

Ἀποστολικόν.

Πρὸς τό, Τῶν οὐρανίων ταγμάτων.

Πέτρον καὶ Παῦλον, συμφώνως ἀνευφημήσωμεν, Λουκᾶν, Ματθαῖον, Μάρκον, Ἰωάννην, Ἀνδρέαν, Θωμᾶν, Βαρθολομαῖον· Σίμωνα τὸν Καναναίτην, Ἰάκωβον, Φίλιππον, καὶ τὴν ὁμήγυριν πᾶσαν τῶν Μαθητῶν, ἐπαξίως εὐφημήσωμεν.

Μαρτυρικόν.

Ἀγαλλιᾶσθε Μάρτυρες ἐν Κυρίῳ, ὅτι τὸν ἀγῶνα τὸν καλὸν ἠγωνίσασθε. ἀντέστητε Βασιλεῦσι, καὶ τυράννους ἐνικήσατε. πῦρ καὶ ξίφος οὐκ ἐπτοήθητε, θηρῶν ἀγρίων κατεσθιόντων τὰ σώματα ὑμῶν, Χριστῷ μετὰ Ἀγγέλων τὴν ὑμνῳδίαν ἀναπέμποντες, τοὺς ἀπ᾽ οὐρανῶν στεφάνους ἐκομίσασθε. αἰτήσασθε δωρηθῆναι εἰρήνην τῷ Κόσμῳ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, Ἦχος, δ΄.

Τοῦ παραδόξου θαύματος, Ἰωάννης στήθει τοῦ Λόγου ἀνέπεσε. Θωμᾶς δὲ τὴν πλευρὰν προσψηλαφῆσαι κατηξιώθη. ἀλλ᾽ ὁ μὲν ἐκεῖθεν φρικτῶς Θεολογίας βυθὸν ἀνέλκει τὴν οἰκονομίαν. ὁ δὲ ἠξίωται μυσταγωγῆσαι ἡμᾶς. παρίστησι τὰς ἀποδείξεις τρανῶς, τῆς ἐγέρσεως αὐτοῦ ἐκβοῶν· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Εἰς τὸν στίχον. Ἦχος, β΄. Οἶκος τοῦ Εὐφραθᾶ.

Κατήφεια παθῶν, καὶ λογισμῶν ἡ ζάλη, μακρὰν ἐκριζέσθω, καὶ οὕτως ἐξανθήσει, τὸ ἔαρ τὸ τῆς Πίστεως.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Ὤφθης τοῖς ἱεροῖς, σοῦ Σῶτερ Ἀποστόλοις, τῶν θυρῶν κεκλεισμένων, δι᾽ αὐτῶν ἐγκαινίζων, τὸ θεῖον Πνεῦμα σήμερον.

Στίχ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Νῦν σε Παμβασιλεῦ, ἰδόντες οὐ βλεφάροις, ἀλλὰ καρδίας πόθῳ, Θεὸν πεπιστευκότες, ἐν ὕμνοις μεγαλύνομεν.

Δόξα, καὶ νῦν, Ἦχος, πλ. β΄.

Μεθ᾽ ἡμέρας ὀκτώ, τῆς ἐγέρσεώς σου Ἰησοῦ Βασιλεῦ, μονογενὲς Λόγε τοῦ Πατρός, ὤφθης τοῖς Μαθηταῖς σου, κεκλεισμένων τῶν θυρῶν, τὴν εἰρήνην σου παρεχόμενος, καὶ τῷ ἀπιστοῦντι Μαθητῇ τοὺς τύπους ἔδειξας· δεῦρο ψηλάφησον τὰς χεῖρας καὶ τοὺς πόδας, καὶ τὴν ἀκήρατόν μου πλευράν. ὁ δὲ πεισθεὶς ἐβόα σοι· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Τὸ Ἀπολυτίκιον. Ἐσφραγισμένου.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, καὶ Ἀπόλυσις.

Τῇ Ε΄. τῆς Β΄. Ἑβδομάδος Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν τὰ προσόμοια, Ἦχος, α΄.

Τῶν Οὐρανίων ταγμάτων.

Δικαιοσύνης ἐσθῆτα, περιβαλλόμενοι, λαμπρὰν ὑπὲρ χιόνα, τῇ παρούσῃ τοῦ Πάσχα, ἡμέρᾳ εὐφρανθῶμεν, ἐν ᾗ ὁ Χριστός, Δικαιοσύνης ὡς Ἥλιος, ἐκ τῶν νεκρῶν ἀνατείλας πάντας ἡμᾶς, ἀφθαρσίᾳ κατεφαίδρυνεν.

Ἡ Βασιλὶς καὶ κυρία, τῶν Ἑορτῶν Ἑορτή, ἡ νῦν ἐστὶν ἡμέρα, ἣν ἐποίησεν ὄντως, ὁ Κύριος ἐν ταύτῃ, ὡς ψάλλει Δαβίδ, μυστικῶς εὐφρανθῶμεν Λαοί. τῶν γὰρ θυρῶν κεκλεισμένων τοῖς Μαθηταῖς, τὴν εἰρήνην ἐδωρήσατο.

Ἡ τοῦ Θωμᾶ ἀπιστία, τὴν κοσμοσώτειραν, τοῦ Θεανθρώπου Λόγου, τὴν ἐξ ᾅδου κινουμένος, Ἔγερσιν πιστοῦται, τρώσειν χειρῶν, καὶ ποδῶν τολμηρότερον, ἐμψηλαφῶσα πρὸς πίστωσιν κοσμικήν, δεξιᾷ τῇ φιλοπράγμονι.

Καὶ τοῦ Μηναίου, γ΄. Δόξα, καὶ νῦν, Ἦχος, β΄.

Τῶν θυρῶν κεκλεισμένων, ἐπιστὰς ὁ Ἰησοῦς τοῖς Μαθηταῖς, ἀφοβίαν καὶ εἰρήνην ἐδίδου. εἶτα λέγει τῷ Θωμᾷ· τί μοι ἀπιστεῖς, ὅτι ἀνέστην ἐκ νεκρῶν; φέρε ὧδε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ ἴδε. σοῦ γὰρ ἀπιστοῦντος, οἱ πάντες

ἔμα-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ἔμαθον τὰ πάθη καὶ τὴν Ἀνάστασίν μου, κράζειν μετὰ σοῦ· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Εἰς τὸν στίχ. στιχηρὰ Σταυρώσιμον, ἦχος α'.

Ἄρρηκτον τεῖχος ἡμῖν ὑπάρχει, ὁ τίμιος Σταυρὸς ὁ τοῦ Σωτῆρος· ἐν αὐτῷ γὰρ πεποιθότες, σωζόμεθα πάντες.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου.

Ἀναστάσιμον.

Τὰς ἑσπερινὰς ἡμῶν εὐχάς, πρόσδεξαι ἅγιε Κύριε, καὶ παράσχου ἡμῖν ἄφεσιν ἁμαρτιῶν· ὅτι μόνος εἶ ὁ δείξας, ἐν Κόσμῳ τὴν Ἀνάστασιν.

Στίχ. Ἐλέησον ἡμᾶς Κύριε. Μαρτυρ.

Ἡ πρεσβεία Κύριε, πάντων τῶν ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δόξα, καὶ νῦν, ἦχος πλ. δ'.

Ψαῦε Θωμᾶ τῆς πλευρᾶς τῇ χειρί, λέγει Χριστός, καὶ τοὺς τύπους τῶν ἥλων δεῦρο ψηλάφησον, πίστει ἐρεύνησον, καὶ γίνου μοι πιστός, καὶ μὴ γίνου ἄπιστος. ὁ δὲ Θωμᾶς τῷ δακτύλῳ ὡς ἥψατο τοῦ Δεσπότου, μέγα ἀνεβόησε· σύ μου Θεὸς καὶ Κύριος, εὔσπλαγχνε δόξα σοι.

Ἀπολυτίκιον. Ἐσφραγισμένου.

Τὸ αὐτὸ καὶ εἰς τὸν Ὄρθρον.

---

Τῇ Παρασκευῇ τῆς Β'. Ἑβδομάδος, Εἰς τὸν Ὄρθρον. Εἰς τὴν α'. στιχολ. κάθισμα. Σταυρώσιμον, ἦχος α'.

Τοῦ λίθου σφραγισθέντος.

Τοῦ Σταυροῦ σου τὸ ξύλον προσκυνοῦμεν φιλάνθρωπε, ὅτι ἐν αὐτῷ προσηλώθης ἡ ζωὴ τῶν ἁπάντων. Παράδεισον ἠνέῳξας Σωτήρ, τῷ πίστει προσελθόντι σοι Λῃστῇ, καὶ τρυφῆς κατηξιώθη, ὁμολογῶν σοι, μνήσθητί μου Κύριε. δέξαι ὥσπερ ἐκεῖνον καὶ ἡμᾶς, κραυγάζοντας· ἡμάρτομεν πάντες τῇ εὐσπλαγχνίᾳ σου, μὴ ὑπερίδῃς ἡμᾶς.

Ἀναστάσιμον.

Τὸν τάφον σου Σωτήρ, στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ, τοῦ ὀφθέντος Ἀγγέλου, ἐγένοντο κηρύττοντος, γυναιξὶ τὴν Ἀνάστασιν. σὲ δοξάζομεν, τὸν τῆς φθορᾶς καθαιρέτην. σοὶ προσπίπτομεν, τῷ ἀναστάντι ἐκ τάφου, καὶ μόνῳ Θεῷ ἡμῶν.

Μαρτυρικόν.

Ἀθλήσεως καύχημα, καὶ στεφάνων ἀξίωμα, οἱ ἔνδοξοι Ἀθλοφόροι περιβέβληνταί σε Κύριε. καρτερίᾳ γὰρ αἰκισμῶν, τοὺς ἀνόμους ἐτροπώσαντο, καὶ δυνάμει θεϊκῇ, ἐξ Οὐρανοῦ τὴν νίκην ἐδέξαντο. αὐτῶν ταῖς ἱκεσίαις, ἐλευθέρωσον τοῦ ἀοράτου ἐχθροῦ Σωτήρ, καὶ σῶσόν με.

Σταυροθεοτ. Τὸν τάφον σου Σωτήρ.

Ἡ Ἄσπιλος Ἀμνάς, τὸν Ἀμνὸν καὶ Ποιμένα, κρεμάμενον νεκρόν, ἐπὶ ξύλου ὁρῶσα, θρηνοῦσα ἐφθέγγετο, μητρικῶς ὀλολύζουσα· πῶς ἐνέγκω σου, τὴν ὑπὲρ λόγον Υἱέ μου, συγκατάβασιν, καὶ τὰ ἑκούσια πάθη, Θεὲ ὑπεράγαθε;

Μετὰ δὲ τὴν β'. στιχολ. κάθισμα ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Μακάριος εἶ σύ, τὰς πληγὰς ψηλαφήσας, τῆς κρείττονος πλευρᾶς, τοῦτο μέγιστον θαῦμα, τοῦ Ἀδὰμ ἰατρεύσαντος, καὶ ἡμῖν τοῖς πιστεύσασι, τὸν ἀνώλεθρον, μακαρισμὸν προξενήσας, μόνοις ῥήμασι, τοῖς τῶν σεπτῶν Ἀποστόλων, τὴν τούτου Ἀνάστασιν. Δίς.

Τό, Ἀνάστασιν Χριστοῦ θεασάμενοι.

Καὶ ὁ Ν. ὁ Κανὼν τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν, εἰς η'. Καὶ τοῦ Μηναίου, εἰς δ'. Ἀπὸ τρίτης ᾠδῆς κάθισμα τοῦ Μηναίου.

Κοντάκιον, καὶ Ἐξαποστειλ. τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, στιχηρὰ Σταυρώσιμον, ἦχος α'.

Μία τοῦ Σταυροῦ σου Χριστέ, μία ποίμνη γέγονεν, Ἀγγέλων καὶ ἀνθρώπων, καὶ μία Ἐκκλησία, Οὐρανὸς καὶ ἡ γῆ ἀγάλλεται, Κύριε δόξα σοι. Δίς.

Ἀναστάσιμον.

Ὑμνοῦμέν σου Χριστέ, τὸ σωτήριον Πάθος, καὶ δοξάζομέν σου τὴν Ἀνάστασιν.

Μαρτυρικόν.

Τοὺς Ἀθλοφόρους τοῦ Χριστοῦ, δεῦτε Λαοὶ ἅπαντες τιμήσωμεν, ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, τοὺς φωστῆρας τοῦ Κόσμου, καὶ κήρυκας τῆς Πίστεως, τὴν πηγὴν τὴν ἀέναον, ἐξ ἧς ἀναβλύζει τοῖς πιστοῖς τὰ ἰάματα. αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς ἡμῶν, τὴν εἰρήνην δώρησαι τῷ Κόσμῳ σου, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'. Ἀνατολίου.

Τῶν θυρῶν κεκλεισμένων, τῶν Μαθητῶν συνηθροισμένων, ἐπέστη ὁ Σωτὴρ, οὗ ἦσαν συνηγμένοι· καὶ στὰς ἐν μέσῳ αὐτῶν, λέγει τῷ Θωμᾷ· δεῦρο ψηλάφησον, καὶ ἴδε τοὺς τύπους τῶν ἥλων, ἔκτεινον σου τὴν χεῖρα, καὶ ἅψαι τῆς πλευρᾶς μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πίστει κήρυξον, τὴν ἐκ νεκρῶν μου ἀνάστασιν.

Εἰς τὸν στ. τῆς Ἑορτῆς, στ. Προσόμοια, ἦχος, δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Σταυρωθεὶς τὸν Παράδεισον, τοῖς ἀνθρώποις ἠνέῳξας, καὶ νεκροὺς συνήγειρας ἡ ζωὴ ἡμῶν. καὶ ἐξαναστὰς τὸν θάνατον, ἑλὼν τῇ δυνάμει σου, καὶ συνάψας Οὐρανοῖς, ἀληθῶς τὰ ἐπίγεια, καὶ ἐπλήρωσας, θυμηδίας ἀπλέτου, Θεοῦ Λόγε, τὸν χορὸν τῶν Ἀποστόλων, τούτοις εἰρήνην φθεγξάμενος.

Στ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Ἡ φθορὰ ἐξωστράκισται, ἀφθαρσία ἐξήνθησεν, ὁ δεσμὸς ὁ χρόνιος διαλέλυται. οἱ Οὐρανοὶ εὐφραινέσθωσαν, γῆ καὶ τὰ ἐπίγεια. ἐξανέστη γὰρ Χριστὸς, ἐσκυλεύθη ὁ θάνατος, ἡ εὐφρόσυνος, ἐπεφάνη ἡμέρα, κεκλεισμένων, τῶν θυρῶν ἔνδον εἰσῆλθες, ὁ ζωοδότης καὶ Κύριος.

Στ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν.

Ἡ ἡμέρα ὁ Κύριος, ἣν ἐποίησε σήμερον, ἀγαλλιασώμεθα, εὐφραινόμενοι. ὁ ζωοδότης ἐγήγερται· ὁ ᾅδης ἐσκύλευται, Ἀποστόλων ὁ χορὸς, τὴν χαρὰν ἀκτινίζεται. ἐψηλάφησε, τὴν πλευρὰν τοῦ Δεσπότου, ἀπιστήσας, ὁ Θωμᾶς καὶ ψηλαφήσας, διπλῆν οὐσίαν ἐκήρυξε.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'.

Ἅψαι Θωμᾶ τῆς πλευρᾶς, τῇ χειρὶ λέγει Χριστὸς, καὶ τοὺς τύπους τῶν ἥλων δεῦρο ψηλάφησον, πίστει ἐρεύνησον, καὶ γίνου μοι πιστὸς, καὶ μὴ γίνου ἄπιστος. ὁ δὲ Θωμᾶς τῷ δακτύλῳ ὡς ἥψατο τοῦ Δεσπότου, μέγα ἀνεβόησε· σύ μου Θεὸς καὶ Κύριος, εὔσπλαγχνε δόξα σοι.

Τῇ Παρασκευῇ Ἑσπέρας. Εἰς τὸ, Κύριε ἐκέκραξα, στ. Ἰδιόμελα, ἦχος

Τῶν θυρῶν κεκλεισμένων, τῶν Μαθητῶν συνηθροισμένων, εἰσῆλθες ἄφνω Παντοδύναμε, Ἰησοῦ ὁ Θεὸς ἡμῶν. καὶ στὰς ἐν μέσῳ αὐτῶν, εἰρήνην δοὺς ἐπλήρωσας Ἁγίου Πνεύματος· προσμένειν τε προστάξας, καὶ μηδαμοῦ χωρίζεσθαι ἀπὸ Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσωνται τὴν ἐξ ὕψους δύναμιν. διὸ βοῶμεν σοι· ὁ φωτισμὸς καὶ ἡ Ἀνάστασις, καὶ ἡ εἰρήνη ἡμῶν δόξα σοι.

Ὁ αὐτός.

Μεθ' ἡμέρας ὀκτὼ, τῆς ἐγέρσεώς σου Κύριε, ὤφθης τοῖς Μαθηταῖς σου, ἐν τόπῳ οὗ ἦσαν συνηγμένοι, καὶ φωνήσας αὐτοῖς εἰρήνη ὑμῖν, τῷ ἀπιστοῦντι Μαθητῇ, τὰς χεῖρας ὑπέδειξας, καὶ τὴν ἄχραντον πλευράν. ὁ δὲ πεισθεὶς ἐβόα σοι· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Ὁ αὐτός.

Θωμᾶς ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν, ὅτε εἰσῆλθες Χριστὲ, κεκλεισμένων τῶν θυρῶν. ὅθεν καὶ ἠπίστει τοῖς ῥηθεῖσιν αὐτῷ, ἐξ ἀπιστίας εἰς πίστιν βεβαιῶν. οὐκ ἀπηξίωσας δὲ ἀγαθὲ, ὑποδεῖξαι αὐτῷ τὴν ἄχραντον πλευράν σου, καὶ τῶν χειρῶν καὶ τῶν ποδῶν τοὺς μώλωπας. ὁ δὲ ψηλαφήσας καὶ ἰδὼν, ὡμολόγησέ σε εἶναι Θεὸν οὐ γυμνὸν, καὶ ἄνθρωπον οὐ ψιλὸν, καὶ ἐβόα· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Εἶτα τὰ Μηναίου, γ'.

Δόξα, ἦχος, πλ. β'.

Τῶν θυρῶν κεκλεισμένων, ἐπέστης Χριστὲ πρὸς τοὺς Μαθητάς. τότε ὁ Θωμᾶς οἰκονομικῶς οὐχ εὑρέθη μετ' αὐτῶν· ἔλεγε γὰρ, οὐ μὴ πιστεύσω, ἐὰν μὴ ἴδω κἀγὼ τὸν Δεσπότην. ἴδω τὴν πλευρὰν, ὅθεν ἐξῆλθε τὸ Αἷμα, τὸ Ὕδωρ, τὸ Βάπτισμα. ἴδω τὴν πληγὴν, ἐξ ἧς ἰάθη τὸ μέγα τραῦμα ὁ ἄνθρωπος. ἴδω πῶς οὐκ ἦν ὡς πνεῦμα, ἀλλὰ σὰρξ καὶ ὀστέα. ὁ τὸν θάνατον πατήσας, καὶ Θωμᾶν πληροφορήσας, Κύριε δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον, ἦχος, α.

Τὴν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν Ἀσωμάτων τὸ ᾆσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα. αὕτη γὰρ ἀνεδείχθη Οὐρανὸς καὶ ναὸς τῆς Θεότητος. αὕτη τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ Βασίλειον ἠνέῳξε. ταύτην οὖν κατέχοντες, τῆς πίστεως τὴν ἄγκυραν,

ὑπέρμαχον ἔχομεν, τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω Λαὸς τοῦ Θεοῦ. καὶ γὰρ αὐτὸς πολεμήσει, τοὺς ἐχθροὺς ὡς Παντοδύναμος.

Ἀπόστ. Ἀναστάσιμα, ἦχος α'.

Τὰς ἑσπερινὰς ἡμῶν εὐχάς, πρόσδεξαι ἅγιε Κύριε, καὶ παράσχου ἡμῖν ἄφεσιν ἁμαρτιῶν, ὅτι μόνος εἶ ὁ δείξας, ἐν Κόσμῳ τὴν Ἀνάστασιν.

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν.

Κυκλώσατε Λαοὶ Σιών, καὶ περιλάβετε αὐτήν, καὶ δότε δόξαν ἐν αὐτῇ, τῷ Ἀναστάντι ἐκ νεκρῶν, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ λυτρωσάμενος ἡμᾶς, ἐκ τῶν ἀνομιῶν ἡμῶν.

Στίχ. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην.

Δεῦτε Λαοὶ ὑμνήσωμεν, καὶ προσκυνήσωμεν Χριστόν, δοξάζοντες αὐτοῦ τὴν ἐκ νεκρῶν Ἀνάστασιν· ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ, τὸν Κόσμον λυτρωσάμενος.

Στίχ. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε.

Ὢ πάθει σου Χριστέ, παθῶν ἠλευθερώθημεν, καὶ τῇ Ἀναστάσει σου ἐκ φθορᾶς ἐλυτρώθημεν· Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν, ἦχος πλ. α'.

Φιλάνθρωπε, μέγα καὶ ἀνείκαστον τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ὅτι ἐμακροθύμησας, ὑπὸ Ἰουδαίων ῥαπιζόμενος, ὑπὸ Ἀποστόλου ψηλαφώμενος, καὶ ὑπὸ τῶν ἀθετούντων σε πολυπραγμονούμενος· πῶς ἐσαρκώθης; πῶς ἐσταυρώθης ὁ ἀναμάρτητος; ἀλλὰ συνέτισον ἡμᾶς ὡς τὸν Θωμᾶν βοᾶν σοι· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Ἀπολυτίκιον τῆς Ἑορτῆς.

Ἐσφραγισμένου. Καὶ Ἀπόλυσις.

Οἱ δὲ Νεκρώσιμοι Κανόνες τῶν ὅλων Σαββάτων τῆς Πεντηκοστῆς, ἐν τοῖς ἀποδείπνοις τῶν Παρασκευῶν ὀφείλουσι ψάλλεσθαι.

Τῷ Σαββάτῳ τῆς Β'. Ἑβδομάδος ἐν τῷ Ὄρθρῳ, μετὰ τὴν α'. στιχολ. καθισμ. ἦχος α'.

Τὸν τάφον σου Σωτήρ, στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ, τοῦ ὀφθέντος Ἀγγέλου, ἐγένοντο κηρύττοντος, γυναιξὶ τὴν Ἀνάστασιν. σὲ δοξάζομεν τὸν τῆς φθορᾶς καθαιρέτην· σοὶ προσπίπτομεν τῷ ἀναστάντι ἐκ τάφου, καὶ μόνῳ Θεῷ ἡμῶν.

Τοῦ λίθου σφραγισθέντος.

Γυναῖκες πρὸς τὸ μνῆμα παρεγένοντο ὄρθριαι, καὶ ἀγγελικὴν ὀπτασίαν θεασάμεναι ἔτρεμον· ὁ τάφος ἐξήστραπτε ζωήν, τὸ θαῦμα κατέπληττεν αὐτάς. διὰ τοῦτο ἀπελθοῦσαι, τοῖς Μαθηταῖς ἐκήρυττον τὴν ἔγερσιν· τὸν ᾅδην ἐσκύλευσε Χριστός, ὡς μόνος κραταιὸς καὶ δυνατός, καὶ φθαρέντας συνήγειρε πάντας, τὸν τῆς κατακρίσεως φόβον, λύσας δυνάμει Σταυροῦ.

Θεοτοκίον.

Ὁ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ, ἐδείχθης πλατυτέρα τῶν Οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. δόξα τῷ ἐνοικήσαντι ἐν σοί. δόξα τῷ προελθόντι ἐκ σοῦ. δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Μετὰ δὲ τὴν β'. στιχολ. καθισμ. ἦχος α'.

Τοῦ λίθου σφραγισθέντος.

Ὢ φόβῳ τῶν Ἑβραίων κεκρυμμένων τῶν Μαθητῶν, καὶ ἐν τῇ Σιὼν συνηγμένων, εἰσῆλθες πρὸς αὐτοὺς ἀγαθέ. καὶ ἔστης κεκλεισμένων τῶν θυρῶν, ἐν μέσῳ αὐτῶν χαροποιός. καὶ ὑπέδειξας αὐτοῖς τὰς χεῖρας, καὶ τῆς ἀχράντου σου πλευρᾶς τοὺς μώλωπας, λέγων τῷ ἀπιστοῦντι Μαθητῇ· φέρε τὴν χεῖρά σου καὶ ἐρεύνα, ὅτι αὐτὸς ἐγώ εἰμι, ὁ διὰ σὲ παθητός.

Δίς.

Τό, Ἀνάστασιν Χριστοῦ θεασάμενοι.

Καὶ τὸν Ν'. Ὁ Κανὼν τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν, εἰς ς'. τοῦ κατὰ τὴν μονὴν Ἁγίου, εἰς δ'. καὶ τοῦ Μηναίου, εἰς δ'. Ἀπὸ τρίτης ᾠδῆς, κάθισμα τοῦ Μηναίου, καὶ τῆς Ἑορτῆς. Ἀφ' ἕκτης, Κοντάκιον τῆς Ἑορτῆς, καὶ τὸν οἶκον.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στ. δ'. καὶ ψάλλομεν στιχ. Ἀναστάσιμα, ἦχος α'.

Ὑμνοῦμέν σου Χριστὲ τὸ σωτήριον Πάθος, καὶ δοξάζομέν σου τὴν Ἀνάστασιν.

Σταυρὸν ὑπομείνας, καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν,



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

εἰρήνευσον ἡμῶν τὴν ζωὴν Κύριε, ὡς μόνος Παντοδύναμος.

Ὁ τὸν ᾅδην σκυλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας, τῇ Ἀναστάσει σου Χριστὲ, ἀξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε.

Τὴν θεοπρεπῆ σου συγκατάβασιν δοξάζοντες, ὑμνοῦμέν σε Χριστέ. ἐτέχθης ἐκ Παρθένου, καὶ ἀχώριστος ὑπῆρχες τῷ Πατρί. ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας Σταυρόν. ἀνέστης ἐκ τοῦ τάφου, ὡς ἐκ παστάδος προελθὼν, ἵνα σώσῃς τὸν Κόσμον, Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν, ἦχος, πλ. β'.

Μεθ' ἡμέρας ὀκτὼ, τῆς ἐγέρσεώς σου Ἰησοῦ Βασιλεῦ, μονογενὲς Λόγε τοῦ Πατρὸς, ὤφθης τοῖς Μαθηταῖς σου, κεκλεισμένων τῶν θυρῶν, τὴν εἰρήνην σου παρεχόμενος. καὶ τῷ ἀπιστοῦντι Μαθητῇ, τοὺς τύπους ἔδειξας· δεῦρο ψηλάφησον τὰς χεῖρας καὶ τοὺς πόδας, καὶ τὴν ἀκήρατόν μου πλευράν. ὁ δὲ πεισθεὶς ἐβόα σοι· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Εἰς τὸν Στίχον, Στιχηρὰ τῆς Ἑορτῆς, ἦχος, α'.

Πανεύφημοι Μάρτυρες.

Μετὰ τὴν ἐκ τάφου σου φρικτὴν, ζωοδότα ἔγερσιν, ὥσπερ σφραγῖδας οὐκ ἔλυσας, Χριστὲ τοῦ μνήματος· οὕτω κεκλεισμένων, θυρῶν εἰσελήλυθας, πρὸς τοὺς πανευκλεεῖς Ἀποστόλους σου, χαροποιῶν αὐτούς· καὶ εὐθές σου παρεχόμενος, τούτοις Πνεῦμα, δι' ἄμετρον ἔλεος.

Θωμᾶς ὁ καὶ Δίδυμος οὐκ ἦν, ἐνδημῶν ἡνίκα σὺ, τοῖς Μαθηταῖς ὤφθης Κύριε. ὅθεν ἠπίστησε, τῇ σῇ Ἀναστάσει, καὶ τοῖς κατιδοῦσί σε, ἐβόα· εἰ μὴ βάλω τὸν δάκτυλον, εἰς τὴν πλευρὰν αὐτοῦ, καὶ τῶν ἥλων τὰ τυλώματα, οὐ πιστεύω, ὅτι ἐξεγήγερται.

Ὡς θέλεις ψηλάφησον Χριστὸς, τῷ Θωμᾷ ἐβόησε· βάλε τὴν χεῖρα καὶ γνῶθί με, ὀστέα ἔχοντα, καὶ γεῶδες σῶμα, καὶ μὴ γίνου ἄπιστος, ἐπίστης δὲ τοῖς ἄλλοις πιστώθητι. ὁ δὲ ἐβόησεν· ὁ Θεός μου καὶ ὁ Κύριος, σὺ ὑπάρχεις· δόξα τῇ ἐγέρσει σου.

Δόξα, καὶ νῦν, ἦχος, α'.

Τῶν Μαθητῶν διστασζόντων, τῇ ὀγδόῃ ἡμέρᾳ, ἐπέστη ὁ Σωτὴρ, οὗ ἦσαν συνηγμένοι. καὶ τὴν εἰρήνην δοὺς, τῷ Θωμᾷ ἐβόησε· δεῦρο Ἀπόστολε, ψηλάφησον παλάμας, αἷς τοὺς ἥλους ἔπηξαν. ὢ καλὴ ἀπιστία τοῦ Θωμᾶ. τῶν πιστῶν τὰς καρδίας, εἰς ἐπίγνωσιν ἦξε, καὶ μετὰ φόβου ἐβόησεν· ὁ Κύριός μου καὶ ὁ Θεός μου δόξα σοι.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς, ᾠδὴ, γ'. καὶ ς'. Προκείμενον, καὶ Ἀλληλούϊα, τῆς παρελθούσης Ἑορτῆς, καὶ Νεκρώσιμον ὡσαύτως, καὶ Κοινωνικόν.

Ἰστέον ὅτι, ὅτε οὐκ ἔχομεν Λειτουργίαν, ψάλλομεν τὴν Τριθέκτην Ὥραν ἐν τῷ Νάρθηκι, καὶ τότε εἰσερχόμεθα ἐν τῷ Ναῷ, καὶ ψάλλομεν τὰ Τυπικά. Ἐν δὲ τοῖς Μακαρισμοῖς, ᾠδὴ πρώτη τοῦ Κανόνος τῆς Κυριακῆς. ὁ Ἀπόστολος εἰς τὰς Πράξεις. τὸ Εὐαγγέλιον κατὰ Ἰωάννην, καὶ τὰ λοιπὰ κατὰ τὸ σύνηθες. Ἐὰν δὲ ἔστι Λειτουργία, ψάλλομεν ταῦτα ἐν αὐτῇ.

## ΚΥΡΙΑΚΗ Γ'. ἀπὸ τοῦ Πάσχα, τῶν Ἁγίων Μυροφόρων Γυναικῶν, καὶ Ἰωσὴφ τοῦ Δικαίου.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους δ'. καὶ ψάλλομεν Στιχηρὰ Ἀναστάσιμα τῆς Ὀκτωήχου γ'. ἦχος, β'.

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα. Χριστὸς ὁ Σωτὴρ ἡμῶν, τὸ καθ' ἡμῶν. Σὺν Ἀρχαγγέλοις ὑμνήσωμεν.

Ἕτερον Ἀνατολικόν. ἦχος ὁ αὐτός.

Σὲ τὸν Σταυρωθέντα καὶ ταφέντα.

Δόξα, ἦχος, β'

Τί τὰ μύρα τοῖς δάκρυσι.

Ζήτει εἰς τὸν μέγαν Ἑσπερινόν. Καὶ νῦν, Θεοτοκίον τὸ πρῶτον Δογματικόν. οὐχὶ τὸ κατὰ τὸ σύνηθες ἐν τῷ μεγάλῳ Ἑσπερινῷ ψαλλόμενον. ὁ γὰρ Στουδίτης, καὶ ὁ Εὐεργετικὸς Δογματικὸν τοῦτο ἡγεῖται· καὶ ψάλλεται ἀντὶ τοῦ παρ' ἡμῶν ψαλλομένου Θεοτοκίου ἐν τῷ μεγάλῳ Ἑσπερινῷ.

Θεοτοκίον Δογματικόν. ἦχος, β'.

Ὢ τοῦ μεγίστου μυστηρίου. βλέπων τὰ θαύματα ἀνακηρύττω τὴν Θεότητα ὁ γὰρ Ἐμμανουὴλ, φύσεως μὲν πύλας ἤνοιξεν ὡς φιλάνθρωπος. παρθενίας δὲ κλεῖ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

θρα οὐ διέῤῥηξεν ὡς Θεός. ἀλλ' οὕτως ἐκ μήτρας προῆλθεν, ὡς δι' ἀκοῆς εἰσῆλθεν. οὕτως ἐσαρκώθη, ὡς συνελήφθη. ἀπαθῶς εἰσῆλθεν, ἀφράστως ἐξῆλθε, κατὰ τὸν Προφήτην τὸν λέγοντα· αὕτη ἡ πύλη κεκλεισμένη ἔσται, οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς, εἰμὴ μόνος Κύριος ὁ Θεὸς Ἰσραὴλ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Τὸ, Φῶς ἱλαρόν.

Τὸ, Προκείμενον, ἦχος, πλ. β'.

Ὁ Κύριος ἐβασίλευσεν.

Λέγομεν δὲ τοῦτο χῦμα σὺν τοῖς στίχοις αὐτοῦ. τὸ Καταξίωσον. Εἰς τὸν στ. τὸ στιχηρὸν τοῦ στ. καὶ προσόμοια ἐκ τῶν Μεθεόρτων οἷα βούλεται ὁ Προεστώς. Εἰ δὲ μετὰ τὸ Ἀναστάσιμον στιχηρὸν βούλει, λέγε τὰ παρόντα προσόμοια τῆς Θεοτόκου.

Ἦχος, Β.

Ὅτε, ἐκ τοῦ ξύλου σε νεκρόν.

στ. Μνησθήσομαι τοῦ ὀνόματός σου.

Πάντων θλιβομένων ἡ χαρὰ, καὶ ἀδικουμένων προστάτις, καὶ πενομένων τροφή. ξένων τε παράκλησις, καὶ βακτηρία τυφλῶν. ἀσθενούντων ἐπίσκεψις. καταπονουμένων, σκέπη καὶ ἀντίληψις, καὶ ὀρφανῶν βοηθός. Μήτηρ τοῦ Θεοῦ τοῦ Ὑψίστου, σὺ ὑπάρχεις Ἄχραντε σπεῦσον, δυσωποῦμεν σώζεσθαι τοὺς δούλους σου.

στ. Ἄκουσον θύγατερ.

Πᾶσαν ἀνομίαν ἀφειδῶς, πᾶσαν ἀκρατῶς ἁμαρτίαν, ὁ τάλας ἔπραξα. πάσης κατακρίσεως, ἄξιος πέφυκα. ἀφορμὰς μετανοίας μοι, παράσχου Παρθένε, ὅπως ἀκατάκριτος ἐκεῖ ὀφθήσωμαι. σὲ γὰρ ἐπιγράφομαι πρέσβιν· σὲ ἐπικαλοῦμαι προστάτιν, μήμε καταισχύνῃς Θεονύμφευτε.

στ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Ἄλλο καταφύγιον Ἁγνὴ, πρὸς τὸν Ποιητὴν καὶ Δεσπότην, οὐκ ἀπορούμεν ἡμεῖς, εἰμὴ σὲ Θεόνυμφε. μὴ ἀποῤῥίψῃς ἡμᾶς, τῇ θερμῇ προστασίᾳ σου, μηδὲ καταισχύνῃς, πόθῳ τοὺς προστρέχοντας ὑπὸ τὴν σκέπην σου. Μήτηρ τοῦ Θεοῦ ἡμῶν σπεῦσον, καὶ τὴν σὴν βοήθειαν δίδου, καὶ τῆς νῦν ὀργῆς ἡμᾶς διάσωσον.

Δόξα, καὶ νῦν, ἦχος, β'.

Αἱ μυροφόροι ὄρθριαι γενόμεναι.

Ζήτει εἰς τὸν μέγαν Ἑσπερινόν. τὸ, Νῦν Ἀπολύεις, Τρισάγιον, καὶ Ἀπολυτίκιον, καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν βραχυφαγοῦντες.

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, τὸ, Χριστὸς ἀνέστη, ὡς σύνηθες. Εἶτα ὁ προοιμιακὸς Ψαλμός. Καὶ τὸ α' κάθισμα τοῦ Ψαλτηρίου, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ι. καὶ ψάλλομεν στ. Ἀναστάσιμα, ἦχος, β'.

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα, τὸν Θεὸν Λόγον σαρκωθέντα, ἐκ Παρθένου Μαρίας, δεῦτε προσκυνήσωμεν. Σταυρὸν γὰρ ὑπομείνας, τῇ ταφῇ παρεδόθη, ὡς αὐτὸς ἠθέλησε. καὶ ἀναστὰς ἐκ νεκρῶν, ἔσωσέ με τὸν πλανώμενον ἄνθρωπον.

Χριστὸς ὁ Σωτὴρ ἡμῶν, τὸ καθ' ἡμῶν χειρόγραφον προσηλώσας, τῷ Σταυρῷ ἐξήλειψε, καὶ τοῦ θανάτου τὸ κράτος κατήργησε, προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν.

Σὺν Ἀρχαγγέλοις ὑμνήσωμεν, Χριστοῦ τὴν Ἀνάστασιν. αὐτὸς γάρ λυτρωτής ἐστι, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν. καὶ ἐν δόξῃ φοβερᾷ, καὶ κραταιᾷ δυνάμει, πάλιν ἔρχεται, κρῖναι Κόσμον ὃν ἔπλασεν.

Ἕτερα στ. Ἀνατολικά. ἦχ. ὁ αὐτός.

Σὲ τὸν σταυρωθέντα καὶ ταφέντα, Ἄγγελος ἐκήρυξε Δεσπότην, καὶ ἔλεγε ταῖς γυναιξί· δεῦτε ἴδετε, ὅπου ἔκειτο ὁ Κύριος· ἀνέστη γὰρ καθὼς εἶπεν, ὡς παντοδύναμος. διό σε προσκυνοῦμεν τὸν μόνον ἀθάνατον. ζωοδότα Χριστὲ ἐλέησον ἡμᾶς.

Ἐν τῷ Σταυρῷ σου κατήργησας τὴν τοῦ ξύλου κατάραν. ἐν τῇ ταφῇ σου ἐνέκρωσας τοῦ θανάτου τὸ κράτος. ἐν δὲ τῇ ἐγέρσει σου, ἐφώτισας τὸ γένος τῶν ἀνθρώπων. διὰ τοῦτό σοι βοῶμεν· εὐεργέτα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἠνοίγησάν σοι Κύριε φόβῳ πύλαι θανάτου. πυλωροὶ δὲ ᾅδου, ἰδόντες σε ἔπτηξαν. πύλας γὰρ χαλκᾶς συνέτριψας, καὶ μοχλοὺς σιδηροῦς συνέθλασας, καὶ ἐξήγαγες ἡμᾶς ἐκ σκότους καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς ἡμῶν διέῤῥηξας.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

Τὸν σωτήριον ὕμνον ᾄδοντες, ἐκ στόματος ἀναμέλψωμεν. δεῦτε πάντες ἐν οἴκῳ Κυρίου, προσπέσωμεν λέγοντες· ὁ ἐπὶ ξύλου σταυρωθεὶς, καὶ ἐκ νεκρῶν ἀναστὰς, καὶ ὢν ἐν κόλποις τοῦ Πατρὸς, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν.

Εἶτα τῶν Μυροφόρων, τὰ ἰδιόμ. γ΄.
Ἦχος, β΄. Ἀνατολίου.

ΑΙ Μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἀρώματα λαβοῦσαι, τοῦ Κυρίου τὸν τάφον κατέλαβον. ἅπερ δὲ οὐκ ἤλπιζον εὑροῦσαι, διελογίζοντο ἀλλαβούμεναι, τοῦ λίθου τὴν μετάθεσιν, καὶ πρὸς ἀλλήλας διελέγοντο· ποῦ εἰσιν αἱ σφραγῖδες τοῦ Μνήματος; ποῦ ἐστιν ἡ τοῦ Πιλάτου κουστωδία, καὶ ἀκριβὴς ἀσφάλεια; γέγονε δὲ μηνυτὴς τῶν ἀγνοουσῶν γυναικῶν, ἐξαστράπτων Ἄγγελος, καὶ φάσκων πρὸς αὐτάς· τί μετὰ θρήνων ζητεῖτε τὸν ζῶντα, καὶ ζωοποιήσαντα τὸ γένος τῶν βροτῶν; ἐξηγέρθη Χριστὸς ὁ Θεὸς ἡμῶν, ἐκ νεκρῶν ὡς Παντοδύναμος, παρέχων πᾶσιν ἡμῖν, ἀφθαρσίαν καὶ ζωὴν, φωτισμὸν, καὶ τὸ μέγα ἔλεος.

Ὁ αὐτός. τοῦ Κυμηλᾶ.

ΤΙ τὰ μύρα τοῖς δάκρυσι μαθήτριαι κιρνᾶτε; ὁ λίθος κεκύλισται, ὁ τάφος κεκένωται. ἴδετε τὴν φθορὰν τῇ ζωῇ πατηθεῖσαν. τὰς σφραγῖδας μαρτυρούσας τηλαυγῶς. ὑπνοῦντας δεινῶς τοὺς φύλακας τῶν ἀπειθῶν. τὸ θνητὸν σέσωσται σαρκὶ Θεοῦ. ὁ ᾅδης θρηνεῖ. δραμοῦσαι χαρᾷ, εἴπατε τοῖς Ἀποστόλοις· ὁ νεκρώσας Χριστὸς τὸν θάνατον, πρωτότοκος ἐκ νεκρῶν, ὑμᾶς προάγει εἰς τὴν Γαλιλαίαν.

Ὁ αὐτός.

ΑΙ Μυροφόροι ὄρθριαι γενόμεναι, καὶ τὸ Μνῆμά σου μετὰ σπουδῆς καταλαβοῦσαι, ἐπεζήτουν σε Χριστὲ, πρὸς τὸ μυρίσαι τὸ ἄχραντον σῶμά σου, καὶ τοῦ Ἀγγέλου τοῖς ῥήμασιν ἐνηχηθεῖσαι, χαροποιὰ σύμβολα τοῖς Ἀποστόλοις ἐκήρυττον. ὅτι ἀνέστη ὁ ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν, σκυλεύσας τὸν θάνατον, τῷ δὲ Κόσμῳ δωρούμενος, ζωὴν αἰώνιον καὶ τὸ μέγα ἔλεος.

Δόξα, ἦχος, πλ. β΄. Κοσμᾶ Μοναχοῦ.

ΑΙ Μυροφόροι γυναῖκες, τὸν τάφον σου καταλαβοῦσαι, καὶ τὰς σφραγῖδας τοῦ Μνήματος ἰδοῦσαι, μὴ εὑροῦσαι δὲ τὸ ἄχραντον σῶμά σου, ὀδυρόμεναι μετὰ σπουδῆς ἦλθον λέγουσαι· τίς ἔκλεψεν ἡμῶν τὴν ἐλπίδα; τίς εἴληφε νεκρὸν γυμνὸν ἐσμυρνισμένον, τῆς Μητρὸς μόνης παραμύθιον; ὢ πῶς ὁ νεκρὸς ζωώσας τεθανάτωται; ὁ τὸν ᾅδην σκυλεύσας, πῶς τέθαπται; ἀλλ' ἀνάστηθι Σωτὴρ αὐτεξουσίως, καθὼς εἶπας τριήμερος, σώζων τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, ἦχος, β΄.

ΠΑρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης. ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔτεκες, καὶ Παρθένος ἔμεινας. ἀντὶ στύλου πυρὸς, δικαιοσύνης ἀνέτειλεν ἥλιος. ἀντὶ Μωϋσέως Χριστὸς, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος, τὸ, Φῶς ἱλαρόν.

Προκείμενον, ἦχ. πλ. β΄.

Ὁ Κύριος ἐβασίλευσεν.

Εἰς τὴν Λιτὴν τὰ Ἰδιόμ. ἦχος, α΄.

ΜΥροφόροι γυναῖκες τῷ τάφῳ τί προσήλθετε; τί ζητεῖτε τὸν ζῶντα ἐν νεκροῖς; ἀνέστη ὁ Κύριος, θαρσεῖτε βοᾷ ὁ Ἄγγελος.

Ὁ αὐτός.

ΜΕτὰ φόβου ἦλθον αἱ γυναῖκες, ἐπὶ τὸ μνῆμα, ἀρώμασι τὸ σῶμά σου μυρίσαι σπουδάζουσαι. καὶ τοῦτο μὴ εὑροῦσαι, διηπόρουν πρὸς ἀλλήλας, ἀγνοοῦσαι τὴν Ἀνάστασιν. ἀλλ' ἐπέστη αὐταῖς Ἄγγελος καὶ εἶπεν· ἀνέστη Χριστὸς, δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

ΗΛθον ἐπὶ τὸ Μνημεῖον, ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, ζητοῦσαι τὸν Κύριον· καὶ τὸν Ἄγγελον εἶδον ὡς ἀστραπὴν, καθεζόμενον ἐπὶ τὸν λίθον, καὶ λέγοντα αὐταῖς· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν τεθνεώτων; ἀνέστη καθὼς εἶπεν· ἐν Γαλιλαίᾳ αὐτὸν εὑρήσετε· πρὸς ὃν βοήσωμεν· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Δόξα, ἦχος, πλ. β΄.

ΗΤήσατο Ἰωσὴφ τὸ Σῶμα τοῦ Ἰησοῦ, καὶ ἀπέθετο ἐν τῷ καινῷ αὐτοῦ Μνημείῳ. ἔδει γὰρ αὐτὸν ἐκ τάφου ὡς ἐκ παστάδος προελθεῖν, ὁ συντρίψας κράτος θανάτου, καὶ ἀνοίξας πύλας Παραδείσου, ἀνθρώποις, δόξα σοι.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Καὶ νῦν. Θεοτοκίον. Ἦχος, ὁ αὐτός.

Ὁ Ποιητὴς καὶ λυτρωτής μου Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος, τῆς πρώτης κατάρας τὸν Ἀδὰμ ἠλευθέρωσε. διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε, καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ χαῖρε τοῦ Ἀγγέλου· χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Ἀναστάσιμα, ἦχος, β΄.

Ἡ Ἀνάστασίς σου Χριστὲ Σωτήρ, ἅπασαν ἐφώτισε τὴν Οἰκουμένην, καὶ ἀνεκαλέσω τὸ ἴδιον πλάσμα· παντοδύναμε Κύριε δόξα σοι.

Ἕτερα κατ᾽ Ἀλφάβητον, ὁ αὐτός.

Διὰ ξύλου Σῶτερ κατήργησας, τὴν τοῦ ξύλου κατάραν, κράτος θανάτου, τῇ ταφῇ σου ἐνέκρωσας· ἐφώτισας δὲ τὸ γένος ἡμῶν τῇ ἐγέρσει σου. διὸ βοῶμέν σοι· ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἐν τῷ Σταυρῷ Χριστὲ φανεὶς καθηλωμένος, ἠλλοίωσας κάλλος κτισμάτων. καὶ τὸ μὲν ἀπάνθρωπον στρατιῶται δεικνύμενοι, λόγχῃ πλευράν σου ἐξεκέντησαν. Ἑβραῖοι δὲ σφραγῖσαι τάφον ᾐτήσαντο, τὴν σὴν ἐξουσίαν οὐκ ἐπιστάμενοι. ἀλλ᾽ ὁ δι᾽ οἶκτον σπλάγχνων σου, καταδεξάμενος ταφήν, καὶ τριήμερος ἀναστάς, Κύριε δόξα σοι.

Ζωοδότα Χριστὲ, ἑκουσίως πάθος ὑποστὰς διὰ θνητούς· ἐν ᾅδου δὲ κατελθὼν ὡς δυνατός, τοὺς ἐκεῖ τὴν ἔλευσιν μένοντας τὴν σήν, ἀφαρπάσας ὡς ἐκ θηρὸς κραταιοῦ, Παράδεισον ἀνθ᾽ ᾅδου οἰκεῖν δεδώρησαι. διὸ καὶ ἡμῖν τοῖς δοξάζουσι, τὴν σὴν τριήμερον ἔγερσιν, δώρησαι ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος, πλ. α΄.

Σὲ τὸν ἀναβαλλόμενον τὸ φῶς, ὥσπερ ἱμάτιον, καθελὼν Ἰωσὴφ ἀπὸ τοῦ ξύλου σὺν Νικοδήμῳ, καὶ θεωρήσας νεκρὸν, γυμνὸν, ἄταφον, εὐσυμπάθητον θρῆνον ἀναλαβὼν, ὀδυρόμενος ἔλεγεν· οἴμοι, γλυκύτατε Ἰησοῦ, ὃν πρὸ μικροῦ ὁ ἥλιος ἐν Σταυρῷ κρεμάμενον θεασάμενος, ζόφον περιεβάλλετο, καὶ ἡ γῆ τῷ φόβῳ ἐκυμαίνετο, καὶ διερρήγνυτο ναοῦ τὸ καταπέτασμα· ἀλλ᾽ ἰδοὺ νῦν βλέπω σε, δι᾽ ἐμὲ ἑκουσίως ὑπελθόντα θάνατον· πῶς σε κηδεύσω Θεέ μου; ἢ πῶς σινδόσιν εἱλήσω; ποίαις χερσὶ δὲ προσψαύσω τὸ σὸν ἀκήρατον σῶμα; ἢ ποῖα ᾄσματα μέλψω τῇ σῇ ἐξόδῳ Οἰκτίρμον; μεγαλύνω τὰ πάθη σου, ὑμνολογῶ καὶ τὴν ταφήν σου, σὺν τῇ ἀναστάσει κραυγάζων· Κύριε δόξα σοι.

Τροπάριον, ἦχος, β΄.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν ᾅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς Θεότητος. ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν Ἐπουρανίων ἐκραύγαζον· ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Δόξα.

Ὁ εὐσχήμων Ἰωσὴφ, ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἱλήσας, καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο· ἀλλὰ τριήμερος ἀνέστης Κύριε, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Καὶ νῦν.

Ταῖς Μυροφόροις γυναιξὶ, παρὰ τὸ μνῆμα ἐπιστὰς, ὁ Ἄγγελος ἐβόα· τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια· Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος. ἀλλὰ κραυγάσατε· ἀνέστη ὁ Κύριος, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Καὶ Ἀπόλυσις.

Χρὴ εἰδέναι, ὅτι ἐτυπώθη ἀρτίως ψάλλεσθαι μετὰ τῶν στίχων τὰ Ἀναστάσιμα στιχηρὰ τῆς Λαμπρᾶς Κυριακῆς, κατὰ τὴν παροῦσαν Κυριακήν, καὶ τὰς λοιπὰς, ἕως τῆς Ἀναλήψεως, ἔν τε τῷ Ἑσπερινῷ καὶ τῷ Ὄρθρῳ, ἤτοι τὸ, Πάσχα ἱερὸν ἡμῖν σήμερον, καὶ τὰ λοιπά. Δόξα τῆς ἡμέρας. Καὶ νῦν, Ἀναστάσεως ἡμέρα.

Ἀπολυτίκιον, Θεοτόκε Παρθένε, ἐκ γ΄. καὶ ἡ εὐλόγησις τῶν ἄρτων, καὶ ἡ συνήθης ἀνάγνωσις εἰς τὰς Πράξεις.

Δεῖ γινώσκειν, ὅτι ἀπὸ τῆς Κυριακῆς τοῦ Θωμᾶ, ἤγουν τοῦ Ἀντιπάσχα, εἰ συμβῇ εἶναι τὸν Μάϊον μῆνα, οὐ γίνεται ἀρτοκλασία μετὰ τὴν εὐλόγησιν τῶν ἄρτων, διὰ τὸ βραχὺ τῆς νυκτός.

Κα-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Κανὼν Τριαδικός, ψαλλόμενος ἀντὶ τῆς Μεσονυκτικῆς, οὗ ἡ ἀκροστιχίς.

Τὸ τρισσὸν ὑμνῶ τῆς Θεαρχίας σέλας.

Ὠδὴ α'. Ἦχος β'.

Ἐν βυθῷ κατέστρωσε ποτέ.

Τὴν τριττὴν καὶ μίαν ἀρχικήν, φύσιν τῆς Θεότητος, ᾀσματικῶς ἀνυμνήσωμεν λέγοντες· τὸ ἐλέους πέλαγος ἀνεξάντλητον, δούλους ὡς ἔχουσα, τοὺς σὲ προσκυνοῦντας οἰκτείρον, καὶ σῶσον ὡς φιλάνθρωπος.

Ὁ Πηγὴ καὶ ῥίζα πεφυκώς, ὁ Πατὴρ ὡς αἴτιος, τῆς ἐν Υἱῷ καὶ Ἁγίῳ σου Πνεύματι, συμφυοῦς Θεότητος, τὸ τρισήλιον, τῇ καρδίᾳ μου πήγασον, σέλας, καὶ μεθέξει λάμπρυνον σῆς θεουργοῦ ἐλλάμψεως.

Τριφεγγὴς μονὰς θεαρχική, πᾶσαν διασκέδασον, ἁμαρτιῶν καὶ παθῶν μου τὴν ζόφωσιν. φωτουργῶν ἀκτίνων σου, γλυκυτάταις ἐν μετουσίαις, καὶ ποίησον, τῆς σῆς ἀπροσίτου, δόξης με ναόν, καὶ σκηνὴν ἄχραντον. Θεοτοκίον.

Ῥοῦν τὸν πρὶν τῆς φύσεως ἡμῶν, πεπονθυίας ἄτοπον, καὶ πρὸς φθορὰν ὀλισθησάσης, Ἄχραντε σαρκωθεὶς ἐν μήτρᾳ σου, ὁ Θεὸς Λόγος, φιλανθρώπως ἀνέστειλε, καὶ τὴν θεαρχίαν τρίφωτον, ἡμᾶς ἐμυσταγώγησεν.

Ὠδὴ γ'. Ἐν πέτρᾳ με τῆς πίστεως.

Ἰσότητι τῆς φύσεως Θεαρχία, ὁμότιμον δοξάζω σε τοῖς προσώποις. ζωὴ γὰρ ἐκ ζωῆς σὺ προελθοῦσα, ἀρρήτως πέφυκας. σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλὴν σου Κύριε.

Σὺ τάξεις τὰς ἀΰλους καὶ οὐρανίους, ὑπέστησας ὡς ἔσοπτρα τοῦ σοῦ κάλλους, Τριὰς ἡ ἀδιαίρετος μοναρχία, ὑμνεῖν ἀπαύστως σε. ἀλλὰ καὶ νῦν ἡμῶν, ἐκ πηλίνου στόματος δέξαι τὴν αἴνεσιν.

Στερέωσον τῆς πίστεως ἐν τῇ πέτρᾳ, καὶ πλάτυνον ἀγάπης σου τῷ πελάγει, καρδίαν καὶ διάνοιαν τῶν σῶν δούλων, μονὰς τρισήλιε. σὺ γὰρ Θεὸς ἡμῶν, ἐφ' ᾧ περ ἐλπίζοντες, μὴ αἰσχυνθείημεν. Θεοτοκίον.

Ὁ Πᾶσαν πρὶν ὑπόστασιν οὐσιώσας, τῆς Κτίσεως ἐν μήτρᾳ σου οὐσιώθη, ἀπείρῳ ἀγαθότητι Θεοτόκε· καὶ φῶς τρισήλιον, πᾶσιν ἀνέτειλε, τῆς μιᾶς Θεότητος καὶ Κυριότητος.

Κάθισμα, ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἁγία Τριάς, ἐλέησον οὓς ἔπλασας· καὶ ῥῦσαι πυρός, καὶ πάσης κατακρίσεως· ὅτι πάντα δύνασαι ὡς οἰκτίρμων Θεός, καὶ πολυέλεος. διὸ προσπίπτομεν σοι κράζοντες· ἡμάρτομεν συγχώρησον, φιλάνθρωπε.

Θεοτοκίον.

Παρθένε Ἁγνή, ἐλέησον τοὺς δούλους σου, καὶ ῥῦσαι πυρός, καὶ πάσης κολάσεως, ἐν νυκτὶ κραυγάζοντας, καὶ ἡμέρᾳ τῷ σῷ Υἱῷ ἄχραντε. μὴ ὑπερίδῃς τὴν ποίμνην σου, πρεσβείαις Χριστὲ τῆς τεκούσης σε.

Ὠδὴ δ'. Τ μυῶ σε ἀκοήν.

Νοεῖν σε οὐδὲ τάξεις ἄϋλοι, ἐξισχύουσι τῶν Ἀγγέλων, Τριὰς μονὰς ἄναρχε. ἀλλ' οὖν ἡμεῖς πηλίνῃ γλώσσῃ, τὴν σὴν οὐσιώδη ἀγαθότητα, καὶ ἀνυμνοῦμεν πίστει καὶ δοξάζομεν.

Ὑπάρχων πλαστουργὸς τῆς φύσεως, Παντοκράτωρ τῆς τῶν ἀνθρώπων, πᾶσαν ἐμήν, βλέπεις νῦν, ὡς παντδερκὴς ἀδυναμίαν. διὸ κατοικτείρησον τὸν δοῦλόν σου, καὶ πρὸς ζωὴν βελτίστην ἐπανάγαγε.

Μονάδος ἀρχικῆς ἀσύγχυτα, τρία πρόσωπα ἀνυμνοῦμεν, ὡς ἰδικὰς ἔχοντα, καὶ μεριστῶς τὰς ὑποστάσεις, ἀλλ' οὖν ἑνούμενα καὶ ἀμέριστα, ἔν τε βουλῇ καὶ δόξῃ καὶ Θεότητι. Θεοτοκίον.

Ναόν σε καθαρὸν καὶ ἄχραντον, Ἀειπάρθενε Θεοτόκε, ὁ Παντουργὸς εὕρηκε, μόνην σαφῶς ἐκ τοῦ αἰῶνος, ἐν ᾧ κατοικήσας ἀνεμόρφωσε, τὴν τῶν ἀνθρώπων φύσιν ὡς φιλάνθρωπος.

Ὠδὴ ε'. Ὁ φωτισμός.

Ὡς ὁλικῶς, Σωτὴρ πάντα τὰ ὄντα τῆς σῆς προνοίας, τὰς εἰρηνοδώρους ἁπλῶν ἀκτῖνας, καὶ σωτηρίους Βασιλεῦ τῆς εἰρήνης, φρούρησόν με ἐν τῇ εἰρήνῃ σου· σὺ γὰρ εἶ ζωή, καὶ εἰρήνη τοῦ σύμπαντος.

Ὦ Μωϋσῇ, ἐν τῇ βάτῳ ὡς ὤφθης πυρὸς ἐν εἴδει, Ἄγγελος ἐκλήθης Πατρὸς ὁ Λόγος, τὴν πρὸς ἡμᾶς σου προδηλῶν παρουσίαν, δι' ἧς πᾶσι σαφῶς ἀνήγγειλας, κράτος θεαρχίας μιᾶς τρισυποστάτου.

Φυσικὴν, συναΐδιον δόξαν προβαλλομένη, μοναρχικωτάτη Τριὰς ἁγία,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

τοὺς ἀνυμνοῦντας, ὀρθοδόξως σε πίστει, τῆς σῆς δόξης ἰδεῖν ἀξίωσον, ἄναρχον καὶ μίαν αἴγλην τὴν τρισήλιον.

Θεοτοκίον.

ΕΥμεκτικὸς, κατ' οὐσίαν ὑπάρχων ὁ Θεὸς Λόγος, πάντων τῶν αἰώνων ἐν τῇ γαστρί σου, Παρθενομῆτορ, συνεχέθη ἀφράστως, τοὺς ἀνθρώπους ἀνακαλούμενος, πρὸς τὸ ἑνικὸν τῆς μιᾶς κυριότητος.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

ΘΕλητὰ τοῦ ἐλέους ἐλέησον, τοὺς εἰς σὲ πιστεύοντας, Θεὲ τρισήλιε, καὶ τῶν πταισμάτων λύτρωσαι, καὶ παθῶν καὶ κινδύνων τοὺς δούλους σου. Δίς.

ΕΝ ἀφάτῳ πελάγει χρηστότητος, τὴν ἀπεριόριστον τῆς σῆς ἐλλάμψεως, καὶ τριλαμποῦς Θεότητος, φωτοδότιδα αἴγλην μοι βράβευσον.

Θεοτοκίον.

ΑΠορρήτως Παρθένε ὁ ὕψιστος, ἄνθρωπος ἐγένετο ἐκ σοῦ τὸν ἄνθρωπον, ὁλικῶς ἐνδυσάμενος, καὶ φωτὶ τρισηλίῳ κατηύγασε.

Καὶ ἦχος. β'. Εὐσπλαγχνίας.

ΕΥσπλαγχνίας τὸ πέλαγος ἡμῖν ὑφαπλώσας, ὑπόδεξαι ἡμᾶς Ἐλεῆμον. Βλέψον εἰς Λαὸν τὸν σὲ δοξάζοντα. Δέξαι τὰς ᾠδὰς τῶν αἰτουμένων σε, Τριὰς μονὰς ἄναρχε. Εἰς σὲ γὰρ ἐλπίζομεν, τὸν τῶν ὅλων Θεὸν, τῶν πταισμάτων δοῦναι τὴν συγχώρησιν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

ΕΥσπλαγχνίας κυήσασα πηγὴν, συμπαθὴς σὺ ὑπάρχεις, ἀγαθὴ Θεοτόκε. Σὺ γὰρ τῶν πιστῶν μόνη ἀντίληψις. Σὺ τῶν λυπουμένων ἡ παράκλησις. Διό σοι νῦν ἅπαντες, ἐν πίστει προσπίπτομεν, ἀρεῖν λύσιν δεινῶν, οἱ πλουτοῦντες μόνην σε βοήθειαν.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

ΕΥθυμίζεις ἀεὶ, τῶν Ἀγγέλων στρατιὰς πρὸς ἀτρεψίαν, μόνος ὑπάρχων ἀναλλοίωτος, ὁ Τρισυπόστατος Κύριος. Δεῖξον οὖν κἀμοῦ τὴν καρδίαν ἀπερίτρεπτον πάντοτε, εἰς τὸ δοξάζειν σε θερμῶς, καὶ ἀνυμνεῖν εὐσεβῶς. Δίς.

ΧΟροὶ Νοεροὶ, τῶν αὐλῶν οὐσιῶν ταῖς σαῖς ἀκτῖσι, Θεὲ μονάρχα, καὶ τρισήλιε, καταυγαζόμενοι γίνονται, θέσει δεύτερα ὄντα φῶτα. Ὧν κἀμὲ ταῖς ἐλλάμψε-

σι, καὶ μετουσίαις δεῖξον φῶς, ὡς φωτουργὸς τριλαμπής.

Θεοτοκίον.

ΑΘυμεῖν ἡμᾶς, καὶ ὑψοῦν πρὸς οὐρανὸν μὴ διαλίπῃς, τοὺς σὲ φιλοῦντας, ὁ δι' ἄφατον φιλανθρωπίαν γενόμενος, ἄνθρωπος ἐν μήτρᾳ Παρθένου, καὶ θεώσας τὸν ἄνθρωπον, καὶ θρόνῳ δόξης τῷ Πατρὶ συγκαθεζόμενος.

Ὠδὴ η'. Ἰνδάλματος χρυσοῦ.

ΑΠρόσιτε Τριὰς, συναΐδιε, συνάναρχε θεαρχία, ἡ ἀπαράλλακτος ἐν πᾶσι, πλὴν τῶν φωσφόρων ἰδιοτήτων, πᾶσαν πονηρὰν καταργησον, τῶν ἀντικειμένων βουλὴν, καὶ συντήρησον, τοὺς σοὺς δούλους ἀμεταστρεπτους, ἀεὶ Κύριε πάντων. Δίς.

ΕΟ φῶς καὶ πανσθενῶς, ἀπερίγραπτε τρισήλιε μοναρχία, ἡ ὑποστήσασα τὸν Κόσμον, καὶ συντηροῦσα ἐν ἀλωβήτῳ τάξει παντελεῖ, ἐνοίκησον τῇ ἐμῇ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε ἀσιγήτως, σὺν χοροῖς Ἀγγέλων, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

ΣΟφία τοῦ Πατρὸς, ἀκατάληπτε ἀνέκφραστε Θεοῦ Λόγε, τὴν ἀμετάβλητόν σου φύσιν οὐκ ἀλλοιώσας, τὴν τῶν ἀνθρώπων φύσιν συμπαθῶς ἀνέλαβες, καὶ τὴν Τριάδα ἐδίδαξας πάντας σέβειν, ὡς κυριαρχίαν ἀπάντων τῶν αἰώνων.

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον, καὶ λέγε τὸν Εἱρμόν.

ΙΝδάλματος χρυσοῦ, καταπτύσαντες τρισόλβιοι Νεανίαι, τὴν ἀπαράλλακτον καὶ ζῶσαν Θεοῦ εἰκόνα, τεθεαμένοι μέσον τοῦ πυρὸς ἀνέμελπον· ἡ οὐσιωθεῖσα ὑμνείτω τὸν Κύριον πᾶσα Κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἡ τὸν πρὸ ἡλίου φωστῆρα.

ΕΚ φωτὸς ἀνάρχου, συνάναρχος Υἱὸς φῶς ἐξανέτειλε, καὶ συμφυὲς φῶς Πνεῦμα ἐκπεπόρευται, ἀπορρήτως, θεοπρεπῶς, ἀρρεύστου τῆς γεννήσεως, πιστευομένης ἅμα δὲ, καὶ τῆς ἀφράστου ἐκπορεύσεως.

ΑΝαψον τὰς καρδίας, τρισήλιε Θεότης τῶν ὑμνούντων σε, τῷ τριλαμπεῖ φωτί σου, καὶ δὸς σύνεσιν, τοῦ ἐν πᾶσι καταμοεῖν, καὶ πράττειν τὸ σὸν θέλημα, τὸ ἀγαθὸν καὶ τέλειον, καὶ μεγαλύνειν καὶ δοξάζειν σε.

ΑΠειρος τῇ φύσει, ὑπάρχων ὡς Θεὸς ἄπειρον πέλαγος, τῶν οἰκτιρμῶν ὡς

ἔχων

ἐχθρῶν κατοικτείρησας, Τριὰς πρώην, οὕτω καὶ νῦν, οἰκτείρησον τοὺς δούλους σου, καὶ τῶν πταισμάτων λύτρωσαι, καὶ πειρασμῶν καὶ περιστάσεων.

Θεοτοκίον.

Σῶσόν με Θεέ μου, παντοίας ἐπηρείας καὶ κακώσεως, ὁ ἐν Τρισὶ προσώποις ἀνυμνούμενος, ἀνεκφράστως, μοναδικῶς, Θεὸς καὶ παντοδύναμος, καὶ τὴν σὴν ποίμνην φύλαττε, τῆς Θεοτόκου ταῖς ἐντεύξεσιν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολογίαν, Κάθισμα. Ἦχος, β'.

Τὸν λίθον τοῦ μνήματος, σφραγισθῆναι μὴ κωλύσας, τὴν πέτραν τῆς πίστεως, ἀναστὰς παρέσχες πᾶσι, Κύριε δόξα σοι.

Δόξα.

Τὸν κόλπον τὸν ἄχραντον, ἐν ὑψίστοις μὴ κενώσας, ταφὴν, καὶ Ἀνάστασιν, ὑπὲρ πάντων κατεδέξω, Κύριε δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα, τὰ σὰ Θεοτόκε μυστήρια, τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη, Μήτηρ ἐγνώσθης ἀψευδὴς, Θεὸν τεκοῦσα ἀληθινὸν, αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μετὰ δὲ τὴν β'. στιχολογίαν. Κάθισμα. Ἦχος, β'.

Αἱ μυροφόροι ὄρθριαι γενόμεναι, καὶ τὸ μνῆμα κενὸν θεασάμεναι, τοῖς Ἀποστόλοις ἔλεγον· τὴν φθορὰν καθεῖλεν ὁ κραταιὸς, καὶ τοὺς ἐν ᾅδῃ ἥρπασε τῶν δεσμῶν· κηρύξατε παῤῥησίᾳ, ὅτι ἀνέστη Χριστὸς ὁ Θεὸς, δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος. Δόξα.

Τὰ μύρα τῆς ταφῆς, αἱ γυναῖκες κομίσασαι, λαθραίως πρὸς τὸ μνῆμα παρεγένοντο ὄρθριαι· τῶν Ἰουδαίων δειλιῶσαι τὴν αὐθάδειαν, καὶ στρατιωτῶν προορῶσαι τὴν ἀσφάλειαν. ἀλλὰ φύσις ἀσθενὴς, τὴν ἀνδρείαν ἐνίκησεν, ὅτι γνώμη συμπαθὴς, τῷ Θεῷ εὐηρέστησε. προσφόρως οὖν ἐκραύγαζον· ἀνάστα Κύριε βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

Καὶ νῦν. Σταυροθεοτοκίον.

Ὑπερδεδοξασμένη ὑπάρχεις Θεοτόκε, ὑμνοῦμέν σε. διὰ γὰρ τοῦ Σταυροῦ τοῦ Υἱοῦ σου κατεβλήθη ὁ ᾅδης, καὶ ὁ θάνατος τέθνηκε. νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν. τὸν Παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπόλαυσιν. διὸ εὐχαριστοῦντες δοξολογοῦμεν, ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ μόνον πολυέλεον.

Ὁ Ἄμωμος, καὶ εὐθὺς Ἀναγνώσματα εἰς τὸ κατὰ Ἰωάννην. τὰ Εὐλογητάρια.

Καὶ μετὰ τοῦτων, ἡ Ὑπακοή, ἦχος β'.

Μετὰ τὸ πάθος πορευθεῖσαι ἐν τῷ μνήματι, πρὸς τὸ μυρίσαι τὸ σῶμά σου αἱ γυναῖκες, Χριστὲ ὁ Θεὸς, εἶδον Ἀγγέλους ἐν τῷ τάφῳ καὶ ἐξέστησαν· φωνῆς γὰρ ἤκουον ἐξ αὐτῶν· ὅτι ἀνέστη ὁ Κύριος, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Καὶ εὐθὺς οἱ Ἀναβαθμοί.

Ἀντίφωνον Α'. Ἦχος, β'.

Ἐν τῷ Οὐρανῷ τὰ ὄμματα ἐκπέμπω μου τῆς καρδίας, πρὸς σὲ Σωτὴρ, σῶσόν με σῇ ἐπιλάμψει.

Ἐλέησον ἡμᾶς τοὺς πταίοντάς σοι πολλὰ, καθ' ἑκάστην ὥραν, ὦ Χριστέ μου, καὶ δὸς πρὸ τέλους τρόπους τοῦ μετανοεῖν σοι.

Δόξα.

Ἁγίῳ Πνεύματι, τὸ βασιλεύειν πρέπει, τὸ ἁγιάζειν, τὸ κινεῖν τὴν Κτίσιν. Θεὸς γάρ ἐστιν ὁμοούσιος Πατρὶ καὶ Λόγῳ·

Καὶ νῦν, τὸ αὐτό. Ἀντίφωνον, Β'.

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, τίς ἱκανὸς σῶος φυλαχθῆναι, ἐκ τοῦ ἐχθροῦ, ἅμα καὶ ἀνθρωποκτόνου;

Τοῖς ὀδοῦσιν αὐτῶν, μὴ παραδῷς Σῶτερ τὸν σὸν δοῦλον· λέοντος τρόπον κατ' ἐμοῦ κινοῦνται, καὶ γὰρ οἱ ἐχθροί μου. Δόξα.

Ἁγίῳ Πνεύματι, ζωαρχία καὶ γέρας. πάντα γὰρ τὰ κτιστὰ, ὡς Θεὸς ὢν, δυναμοῖ, συντηρεῖ ἐν Πατρὶ, δι' Υἱοῦ δέ.

Καὶ νῦν, τὸ αὐτό. Ἀντίφωνον, Γ'.

Οἱ πεποιθότες ἐπὶ Κύριον, ἐοίκασιν ὄρει τῷ ἁγίῳ, οἳ οὐδαμῶς σαλεύονται, προσβολαῖς τοῦ Βελίαρ.

Ἐν ἀνομίαις χεῖρας αὐτῶν, μὴ ἐκτεινάτωσαν οἱ θείως ζῶντες. οὐ γὰρ ἐᾷ Χριστὸς, τῇ ῥάβδῳ τὸν κλῆρον αὐτῇ. Δόξα.

Ἁγίῳ Πνεύματι, πᾶσα προσπηγάζει σοφία, ἔνθεν χάρις Ἀποστόλοις, καὶ τοῖς ἄθλοις καταστέφονται Μάρτυρες, καὶ Προφῆται ὁρῶσιν.

Καὶ νῦν, τὸ αὐτό. Προκείμ. Ἦχος, β'.

Ἐξεγέρθητι Κύριε ὁ Θεός μου.

Στ. Κύριε ὁ Θεός μου ἐπὶ σοὶ ἤλπισα.

Πᾶσα πνοή.

Εὐαγ-

Δημόσιες Βιβλιοθήκες
Δημόσια Κεντρική Βιβλιοθήκη Σπάρτης "Μανουσέιο"

Εὐαγγέλιον Ἑωθινὸν, δ'.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν'.

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ Τάφου.

Καὶ εὐθὺς οἱ Κανόνες, ὁ Ἀναστάσιμος μετὰ τῶν ὁμοίων Τροπ. εἰς ϛ'. καὶ τῆς ἐνεστώσης Κυριακῆς, ἦχος, β'. Ποίημα Κυρίου Ἀνδρέου Κρήτης, ἐν ᾧ ἱστῶμεν στ. η'. Ἐν δὲ τῷ τοῦ Πάσχα Κανόνι, λέγεται ὁ Εἱρμὸς παρὰ τῶν δύω Χορῶν, καὶ τὰ Τροπάρια εἰς δ'. χωρὶς στ. Εἶτα ὁ Εἱρμὸς τῆς ἐνεστώσης Κυριακῆς. Κανὼν ὁ Ἀναστάσιμος.

Ὠδὴ, α'. ἦχος, α'. Ὁ Εἱρμός.

Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν Λαοί, Πάσχα Κυρίου Πάσχα. ἐκ γὰρ θανάτου πρὸς ζωὴν, καὶ ἐκ γῆς πρὸς Οὐρανὸν, Χριστὸς ὁ Θεὸς, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

Καθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψόμεθα τῷ ἀπροσίτῳ φωτὶ, τῆς Ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καὶ χαίρετε φάσκοντα, τρανῶς ἀκουσώμεθα, ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ Κόσμος, ὁρατός τε ἅπας καὶ ἀόρατος· Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

Ἕτερος Κανὼν τῆς Θεοτόκου Ὅμοιος, οὗ ἡ ἀκροστ. ἐν τοῖς πρώτοις Τροπαρίοις.

Θεοφάνης. ἦχος, ὁ αὐτός.

Θανατώσεως τὸν ὅρον ἀνεμόχλευσας, τὴν αἰωνίαν ζωὴν, κυοφορήσασα Χριστὸν, τὸν ἐκ τάφου ἀναλάμψαντα σήμερον, Παρθένε πανάμωμε, καὶ τὸν Κόσμον φωτίσαντα.

Ἀναστάντα κατιδοῦσα σὸν Υἱὸν καὶ Θεὸν, χαίρουσα σὺν Ἀποστόλοις, θεοχαρίτωτε Ἁγνὴ, καὶ τὸ χαῖρε πρωτουργῶς, ὡς πάντων χαρᾶς, αἰτία εἰσδέδεξαι, Θεομῆτορ Πανάμωμε.

Ἕτερος Κανὼν τῶν Μυροφόρων. ἐν ᾧ ἱστῶμεν στ. η'. Ὠδὴ. α'. ἦχος. β'. Ὁ Εἱρμός.

Ἐν Μωσέως ᾠδὴν, ἀναλαβοῦσα βόησον ψυχή. βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν. οὗτός μου Θεὸς καὶ δοξάσω αὐτόν.

Ἐσταυρώθης σαρκὶ, ὁ ἀπαθὴς τῇ φύσει τοῦ Πατρὸς, ἐκεντήθης τὴν πλευρὰν, πηγάσας Κόσμῳ αἷμα καὶ ὕδωρ· σὺ ἡμῶν Θεὸς καὶ δοξάζομέν σε.

Τὸν Σταυρόν σου τιμῶ, καὶ τὴν ταφὴν δοξάζω ἀγαθὲ, καὶ ὑμνῶ καὶ προσκυνῶ, τὴν ἔγερσίν σου καὶ ἀνακράζω· σὺ ἡμῶν Θεὸς καὶ δοξάζομέν σε.

Κἂν ἐγεύσω χολῆς, ὁ γλυκασμὸς τῆς Ἐκκλησίας, ἀλλ' ἐπήγασας ἡμῖν, τὴν ἀφθαρσίαν, ἐκ τῆς πλευρᾶς σου· σὺ ἡμῶν Θεὸς καὶ δοξάζομέν σε.

Ἐλογίσθης Σωτὴρ, μετὰ νεκρῶν νεκροὺς ἐγείρας, ἀπεγεύσω τῆς φθορᾶς. διαφθορὰν γὰρ ὅλως οὐκ ἔγνως· σὺ ἡμῶν Θεὸς καὶ δοξάζομέν σε.

Εὐφραινέσθω Σιὼν, ἀγαλλιάσθω καὶ ὁ Οὐρανὸς, ἐξανέστη Χριστὸς, νεκροὺς ἐγείρας ὑμνολογοῦντας· σὺ ἡμῶν Θεὸς καὶ δοξάζομέν σε.

Ὀθονίοις εἱλήσας, Ἰωσὴφ τὸ σῶμά σου Χριστὲ, ἐν μνημείῳ τῷ καινῷ, κατέθετό σε τὴν σωτηρίαν, νεκροὺς δὲ ὡς Θεὸς ἐξανέστησας.

Προλαβοῦσαι τὸν ὄρθρον, αἱ γυναῖκες εἶδον τὸν Χριστὸν, καὶ τοῖς θείοις Μαθηταῖς, ἐβόων ὄντως Χριστὸς ἀνέστη· δεῦτε σὺν ἡμῖν ἀνυμνεῖτε αὐτόν.

Δόξα.

Ἀναγία Τριὰς, μία Θεότης, ἀνάρχε μονάς· ὁ Πατὴρ καὶ ὁ Υἱὸς, καὶ θεῖον Πνεῦμα, σῶζε τὸν Κόσμον· σὺ ἡμῶν Θεὸς καὶ δοξάζομέν σε.

Καὶ νῦν. Θεοτ.

Ἐν ἀρχαίαν ἀρὰν, ἐν γαστρί σου λύσασα Σεμνὴ, ἀνεβλάστησας ἡμῖν, τὴν εὐλογίαν, βρέφος τεκοῦσα· οὗτος γὰρ Θεὸς, εἰ καὶ σάρκα φορεῖ.

Καταβασία. Ἀναστάσεως ἡμέρα.

Ὠδὴ, γ'. Ὁ Εἱρμός.

Δεῦτε πόμα πίωμεν καινὸν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγὴν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ· ἐν ᾧ στερεούμεθα.

Νῦν πάντα πεπλήρωται φωτὸς, Οὐρανός τε καὶ γῆ καὶ τὰ καταχθόνια. ἑορταζέτω γοῦν πᾶσα Κτίσις τὴν ἔγερσιν Χριστοῦ· ἐν ᾗ ἐστερέωται.

Χθὲς συνεθαπτόμην σοι Χριστὲ, συνεγείρομαι σήμερον ἀναστάντι σοι. συνεσταυρούμην σοι χθές· αὐτός με συνδόξασον Σωτὴρ ἐν τῇ Βασιλείᾳ σου.

Τῆς Θεοτόκου Ὁ αὐτός.

Ἐπὶ τὴν ἀκήρατον ζωὴν, ἐπανέρχομαι σήμερον ἀγαθότητι, τοῦ γεννηθέντος ἐκ σοῦ, καὶ πᾶσι τοῖς πέρασιν Ἁγνὴ, τὸ φέγγος ἀστράψαντος.

Θεὸν

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

Θεὸν ὃν ἐκύησας σαρκὶ, ἐκ νεκρῶν καθὼς εἶπεν ἐξεγειρόμενον, θεασαμένη Ἁγνὴ, χόρευε, καὶ τοῦτον ὡς Θεὸν, Ἄχραντε μεγάλυνε.

Εἱρμὸς ἄλλος.

„ Στειρωθέντα μου τὸν νοῦν, καρποφόρον ὁ Θεὸς, ἀνάδειξόν με, γεωργὲ τῶν καλῶν, φυτουργὲ τῶν ἀγαθῶν, τῇ εὐσπλαγχνίᾳ σου.

Ταῖς παλάμαις Ἰησοῦ, προσηλώσας ἐν Σταυρῷ, τὰ Ἔθνη πάντα, ἐκ τῆς πλάνης συλλαβὼν, πρὸς ἐπίγνωσιν τὴν σὴν, συνεκαλέσω Σωτήρ.

Ἰουδαίων ὁ Λαὸς, τῷ Πιλάτῳ ἐκβοᾷ· ἀπόλυσόν μοι, τὸν κακοῦργον λῃστήν. ἆρον, ἆρον, σταύρωσον τὸν ἀναμάρτητον.

Σταυρωθέντος σου Χριστὲ, συνεσκότασε τὸ φῶς, ἡ γῆ ἐσείσθη, καὶ ἐκ τάφου νεκροὶ ἐξανέστησαν πολλοὶ, φόβῳ τοῦ κράτους σου.

Παρεστῶσα τῷ Σταυρῷ, ἡ ἀμνάς σου Ἰησοῦ, κλαυθμῷ ἐβόα· ποῦ πορεύῃ Υἱέ; ποῦ ἀπέρχῃ ὁ ἀμνὸς, ὁ ὑπὲρ πάντων σφαγείς;

Προσκυνῶ σου τὸν Σταυρὸν, ἀνυμνῶ καὶ τὴν ταφὴν, τιμῶ τὰ πάθη, καὶ τοὺς ἥλους τῶν χειρῶν, καὶ τὴν λόγχην Ἰησοῦ, καὶ τὴν Ἀνάστασιν.

Ἐξανέστης Ἰησοῦ, ἐσκυλεύθη ὁ ἐχθρὸς, Ἀδὰμ ἐῤῥύσθη, καὶ ἡ Εὔα σὺν αὐτῷ, τῶν δεσμῶν καὶ τῆς φθορᾶς, τῇ Ἀναστάσει σου.

Ἀναστάντος σου Χριστὲ, συνετρίβησαν μοχλοὶ, καὶ πύλαι ᾅδου, καὶ θανάτου τὰ δεσμὰ, διελύθησαν εὐθὺς, φόβῳ τοῦ κράτους σου.

Θεοδόχε Ἰωσὴφ, δεῦρο στῆθι μεθ' ἡμῶν, ἀνέστη κράζων· Ἰησοῦς ὁ λυτρωτὴς, ὁ ἐγείρας τὸν Ἀδὰμ, τῇ εὐσπλαγχνίᾳ αὐτοῦ.

Εὐφραινέσθω σὺν ἡμῖν, Μαθητῶν ἡ δωδεκὰς, σὺν Μυροφόροις, γυναιξὶ, καὶ Ἰωσὴφ, καὶ τοῖς ἄλλοις μαθηταῖς, καὶ μαθητρίαις Χριστοῦ.

Δόξα.

Τὸν Πατέρα καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ εὐθὲς, τὴν μίαν φύσιν, προσκυνῶ καὶ ἀνυμνῶ, τοῖς προσώποις διαιρῶν, καὶ τῇ οὐσίᾳ ἑνῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀκακία εἶ σεμνὴ, ἡ ἐκ ῥίζης Ἰεσσαὶ, ἐξ ἧς ἡ ῥάβδος, καὶ τὸ ἄνθος ὁ Χριστὸς, κατὰ σάρκα δι' ἡμᾶς, ἀναβλαστήσασα.

Καταβασία. Δεῦτε πόμα πίωμεν καινόν·

Ἦχος β'.

Τὰ μύρα θερμῶς, τῷ τάφῳ προσκομίζουσαι, γυναῖκες Σωτὴρ, Ἀγγέλου τῇ λαμπρότητι, τὰς ψυχὰς ἠγάλλοντο, καὶ Θεόν σε τῶν ὅλων ἐκήρυττον, καὶ Μαθηταῖς ἐβόων· ὄντως ἀνέστη ἐκ τάφου ἡ πάντων ζωή.

Ἕτερον. Ἦχος ὁ αὐτός.

Ταῖς μυροφόροις.

Σὺν Μαθηταῖς σου ὁ χορὸς, σὺν μυροφόροις γυναιξὶν, ἀγάλλεται συμφώνως. κοινὴν γὰρ ἑορτὴν σὺν αὐταῖς ἑορτάζουσιν, εἰς δόξαν καὶ τιμὴν τῆς σῆς ἀναστάσεως. καὶ δι' αὐτῶν βοῶμέν σοι· φιλάνθρωπε, τῷ Λαῷ σου παράσχου τὸ μέγα ἔλεος.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Ἐπὶ τῆς θείας φυλακῆς, ὁ θεηγόρος Ἀββακοὺμ, στήτω μεθ' ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα· σήμερον σωτηρία τῷ Κόσμῳ· ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος. „

Ἄρσεν μὲν ὡς διανοῖξαν; τὴν παρθενεύουσαν νηδὺν, πέφηνε Χριστὸς, ὡς βροτὸς δὲ ἀμνὸς προσηγόρευται. ἄμωμος δὲ ὡς ἄγευστος, κηλῖδος τὸ ἡμέτερον πάσχα, καὶ ὡς Θεὸς ἀληθὴς, τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνὸς, ὁ εὐλογούμενος ἡμῖν, στέφανος Χριστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ καθαρτήριον, καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν ἔλαμψεν ἥλιος.

Ὁ θεοπάτωρ μὲν Δαβὶδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν. ὁ Λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν, ὁρῶντες εὐφρανθῶμεν ἐνθέως. ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Τῆς Θεοτόκου, ὁ αὐτός.

Ὁ διαπλάσας τὸν Ἀδὰμ, τὸν σὸν προπάτορα Ἁγνὴ, πλάττεται ἐκ σοῦ, καὶ θανάτῳ τῷ οἰκείῳ ἔλυσε, τὸν δι' ἐκείνου θάνατον σήμερον, καὶ κατηύγασε πάντας, ταῖς θεϊκαῖς ἀστραπαῖς τῆς Ἀναστάσεως.

Ὃν ἀπεκύησας Χριστὸν, ὡραιοτάτως ἐκ νεκρῶν, λάμψαντα Ἁγνὴ καθορῶσα, ἡ καλὴ καὶ ἄμωμος, ἐν γυναιξὶν ὡραία τε, σήμερον εἰς πάντων σωτηρίαν, σὺν Ἀποστόλοις αὐτὸν χαίρουσα δόξαζε.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Εἱρμὸς Ἄλλος.

Τὴν ἐκ Παρθένου σου γέννησιν, ὁ Προφήτης προβλέπων, ἀνεκήρυττε βοῶν· τὴν ἀκοήν σου ἀκήκοα, καὶ ἐφοβήθην. ὅτι ἀπὸ Θαιμάν, καὶ ἐξ ὄρους ἁγίου κατασκίου, ἐπεδήμησας Χριστέ.

Διὰ Σταυροῦ ᾐχμαλώτευσας, τὴν τοῦ ᾅδου γαστέρα, καὶ συνήγειρας νεκρούς, καὶ τοῦ θανάτου κατέλυσας τὴν τυραννίδα. ὅθεν οἱ ἐξ Ἀδὰμ προσκυνοῦντες, ὑμνοῦμεν τὴν ταφήν σου, καὶ τὴν ἔγερσιν Χριστέ.

Ὁ εὐδοκήσας Σωτὴρ ἡμῶν, διὰ σπλάγχνα ἐλέους, προσπαγῆναι τῷ Σταυρῷ, καὶ τῆς πατρῴας λυτρώσασθαι ἡμᾶς κατάρας, λῦσόν μου τὰ δεσμὰ τῶν πολλῶν ἐγκλημάτων· δύνασαι γὰρ ὅσα θέλεις ἐκπληροῦν.

Ὁ ἐν Σταυρῷ προσηλώσας μου, τὴν ἀρχαίαν κατάραν, καὶ πηγάσας μοι Σωτήρ, τὴν εὐλογίαν δι' αἵματος, ἐκ τῆς πλευρᾶς σου, λῦσόν μου τὰ δεσμὰ τῶν πολλῶν ἐγκλημάτων· δύνασαι γὰρ ὅσα θέλεις ἐκπληροῦν.

Ἅδης Σωτὴρ συναντήσας σοι, ἐν τοῖς καταχθονίοις ἐπικράνθη, ὁρῶν, ὅτι οὓς πάλαι κατέπιεν ἰσχύσας, ἄρτι ἄκων ἀποδιδοὺς, ἐρημοῦται τὰ κάτω, καὶ γυμνοῦται καὶ σκυλεύεται νεκρούς.

Εἰ καὶ ὁ λίθος ἐσφράγισται, μετὰ τῆς κουστωδίας, ὦ παράνομοι ἐχθροί, ἀλλ' ἐξανέστη ὁ Κύριος καθὼς προεῖπε, λύων μου τὰ δεσμὰ τῶν πολλῶν ἐγκλημάτων· δύναται γὰρ ὅσα θέλει ἐκπληροῦν.

Ἀναστὰς ἐκ τοῦ μνήματος, καὶ σκυλεύσας τὸν ᾅδην, καὶ ζωώσας τοὺς νεκρούς, καὶ ἀφθαρσίαν πηγάσας μοι, τῇ σῇ ἐγέρσει, λῦσόν μου τὰ δεσμὰ τῶν πολλῶν ἐγκλημάτων· δύνασαι γὰρ ὅσα θέλεις ἐκπληροῦν.

Ὄντως αἰσχύνθητε ἄνομοι, ὁ Χριστὸς γὰρ ἀνέστη, καὶ συνήγειρε νεκρούς, κράζων· θαρσεῖτε νενίκηκα ἐγὼ τὸν Κόσμον. πείσθητε οὖν αὐτῷ, ἢ σιγήσατε πλάνοι, ἀθετοῦντες τὴν Ἀνάστασιν αὐτοῦ.

Ὁ Μυροφόροις τὸ χαίρετε, ἀναστὰς ἐκ τοῦ τάφου, προσφωνήσας ἀγαθέ, καὶ Ἀποστόλοις κηρύξατε τὴν ἔγερσίν μου, λῦσόν μου τὰ δεσμὰ τῶν πολλῶν ἐγκλημάτων· δύνασαι γὰρ ὅσα θέλεις ἐκπληροῦν.

Ἰωσὴφ τὸν εὐσχήμονα, ζηλωτὴν εὐσεβείας, βουλευτὴν καὶ μαθητήν, σὺν Μυροφόροις τιμήσωμεν, καὶ Ἀποστόλοις, κράζοντες σὺν αὐτοῖς, καὶ πιστῶς ἀνυμνοῦντες, τοῦ Σωτῆρος τὴν Ἀνάστασιν φαιδρῶς.

Δόξα.

Ὑπερουσίου Θεότητος, τὴν ἀμέριστον δόξαν, τίς ἰσχύσει ἐξειπεῖν; ἐν γὰρ τῇ φύσει ὑπάρχουσα, Τριὰς ὑμνεῖται, ἄναρχος, συμφυής, ὡς Μονὰς ἐν Τριάδι ὑμνουμένη, ὑποστάσεσιν ἁπλαῖς.

Καὶ νῦν. Θεοτοκίον.

Τὸν ἐν γαστρί σου σκηνώσαντα, ἀλοχεύτως τεκοῦσα, Μητροπάρθενε Ἁγνή, ἀκαταπαύστως ἱκέτευε, ὡς Θεοτόκος, λῦσαί μου τὰ δεσμὰ τῶν πολλῶν ἐγκλημάτων· δύνασαι γὰρ ὅσα θέλεις βοηθεῖν.

Καταβασία. Ἐπὶ τῆς θείας φυλακῆς.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν, τῷ Δεσπότῃ· καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης Ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ ᾅδου σειραῖς συνεχόμενοι, δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο Χριστέ, ἀγαλλομένῳ ποδί, Πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ μνήματος, ὡς Νυμφίῳ, καὶ συνεορτάσωμεν, ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεοῦ τὸ σωτήριον.

Τῆς Θεοτόκου. Ὅμοια.

Φωτίζεται θείαις ἀκτῖσι, καὶ ζωηφόροις ταῖς τῆς Ἀναστάσεως, τοῦ Υἱοῦ σου, Θεομῆτορ Ἄχραντε· καὶ χαρμονῆς ἐμπίπλαται, τῶν εὐσεβῶν ἡ ὁμήγυρις.

Οὐκ ἤνοιξας πύλας Παρθενίας, ἐν τῷ σαρκοῦσθαι, μνήματος οὐκ ἔλυσας τὰς σφραγῖδας, Βασιλεῦ τῆς Κτίσεως. ὅθεν ἐξαναστάντα σε, θεασαμένη ἠγάλλετο.

Εἱρμὸς Ἄλλος.

Τὴν ἀχλὺν τῆς ψυχῆς μου, Σωτήρ μου διασκεδάσας, τῷ φωτὶ τῶν ἐντολῶν σου, καταύγασόν με ὡς μόνος, τῆς εἰρήνης Βασιλεύς.

Τὴν ἀρχαίαν στολήν μου, ἣν μοι ἐξύφανεν οἴμοι, ὁ σπορεὺς τῆς ἁμαρτίας, ἐξέδυσάς με Σωτήρ μου, ἐνδυσάμενος ἐμὲ

Φύλλα συκῆς ἔρραψέ μοι, ἡ ἁμαρτία μου οἴμοι, μὴ φυλάξαντι Σωτήρ μου τὴν ἄγραφον ἐντολήν σου, τῇ τοῦ ὄφεως βουλῇ.

Τὴν πληγωθεῖσαν ψυχήν μου, τοῖς λῃστρικοῖς λογισμοῖς μου, ἐπιστὰς ὁ ἐκ Μαρίας, καὶ ἔλαιον ἐπιχύσας, ἐθεράπευσε Χριστός.

Ἐν τῷ Σταυρῷ παρεστῶσα, ἡ ἄμεμπτος Θεοτόκος, μητρικῶς ἀνεκαλεῖτο· κατέλιπές με τὴν μόνην, ὦ Υἱέ μου καὶ Θεέ.

Σὺ τὸν ἀρχέκακον ὄφιν, τῷ ὅπλῳ τῷ τοῦ Σταυροῦ σου, καθελὼν τῇ σῇ ἐγέρσει, συνέτριψας τὸ κέντρον, τοῦ θανάτου Ἰησοῦ.

Ποῦ σου θάνατε τὸ κέντρον; ποῦ σου ᾅδη τὸ νῖκος; ὁ Ἀδὰμ συνεκβοάτω. συντέτριψαι τῇ ζωώσει, τοῦ ἐγείραντος νεκρούς.

Αἱ Μυροφόροι γυναῖκες, τὸ μνῆμα καταλαβοῦσαι, τοῦ ζωώσαντος τοὺς κάτω, φωνῆς ἤκουον λεγούσης· ἐξανέστη ὁ Χριστός.

Τῶν εὐσεβῶν Μυροφόρων, τὴν μνήμην ἐπιτελοῦντες, καὶ πάντων τῶν Μαθητῶν σου, ἐν φαιδρᾷ σου τῇ ἐγέρσει, ἀνυμνοῦμέν σε Χριστέ.

Τὸν Εὐσχήμονα πάντες, τιμήσωμεν ἐπαξίως. ὃς τὸ σῶμα τοῦ Κυρίου, ἀπὸ τοῦ ξύλου καθεῖλε, καὶ ἐκήδευσε πιστῶς.

Δόξα.

Σὲ τὸν Θεὸν καὶ Πατέρα, καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, προσκυνῶ τρεῖς ὑποστάσεις, καὶ ἓν τὰ τρία πιστεύω, οὐσιότητι μιᾷ.

Καὶ νῦν. Θεοτοκίον.

Σὲ τὴν ἀσπόρῳ κυήσει, γεννήσασαν ὑπὲρ φύσιν, τὸν καινίσαντα τὴν φύσιν, Χριστὸν τὸν μόνον Δεσπότην, ἀνυμνοῦμεν οἱ πιστοί.

Καταβασία. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

” Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς,
” καὶ συνέτριψας μοχλοὺς αἰωνίους, κα-
” τόχους πεπεδημένων Χριστέ, καὶ τριήμερος,
” ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.

Φυλάξας τὰ σήμαντρα σῶα Χριστέ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς Παρθένου μὴ λυμηνάμενος, ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν, Παραδείσου τὰς πύλας.

Σῶτέρ μου τὸ ζῶν τε καὶ ἄθυτον, ἱερεῖον ὡς Θεός, σεαυτὸν ἑκουσίως, προσαγαγὼν τῷ Πατρί, συναναστήσας, παγγενῆ τὸν Ἀδάμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Τῆς Θεοτόκου. Ὅμοια.

Ἀνῆκται τὸ πάλαι κρατούμενον, τῷ θανάτῳ καὶ φθορᾷ, διὰ τοῦ σαρκωθέντος, ἐκ σῆς ἀχράντου γαστρός, πρὸς τὴν ἄφθαρτον, καὶ ἀΐδιον ζωήν, Θεοτόκε Παρθένε.

Κατῆλθεν ἐν τοῖς κατωτάτοις τῆς γῆς, ὁ λαγόσι σου ἁγνή, κατελθὼν καὶ οἰκήσας, καὶ σαρκωθεὶς ὑπὲρ νοῦν, καὶ συνήγειρεν, ἑαυτῷ τὸν Ἀδάμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Εἱρμὸς ἄλλος.

Βυθῷ ἁμαρτημάτων συνέχομαι ἀεί, ”
καὶ ἐν πελάγει τοῦ βίου βυθίζομαι. ”
ἀλλ' ὥσπερ τὸν Ἰωνᾶν ἐκ τοῦ θηρός, κα- ”
μὲ τῶν παθῶν ἀνάγαγε, καὶ διάσωσόν με. ”

Νεκρός ἐστιν ὁ ᾅδης· θαρσεῖτε γηγενεῖς. ὁ γὰρ Χριστὸς ἐπὶ ξύλου κρεμάμενος, ἀπέρριψε τὴν ῥομφαίαν κατ' αὐτοῦ, καὶ κεῖται νεκρός· οὓς εἶχε γὰρ ἐσκυλεύθη γυμνωθείς.

Ἐσκύλευται ὁ ᾅδης, θαρσεῖτε οἱ νεκροί. καὶ τὰ μνημεῖα ἠνοίχθη, ἐγείρεσθε· βοᾷ ὑμῖν ἐκ τοῦ ᾅδου ὁ Χριστός, ὁ πάντας ἐλθὼν λυτρώσασθαι, ἐκ θανάτου καὶ φθορᾶς.

Νεκροὺς ὥσπερ ἰσχύσας, κατέπιες ποτέ, νῦν ἀπαιτούμενος ᾅδη ἀπόδος μοι, βοᾷ σοι ὁ ζωοδότης καὶ Θεός, ὁ πάντας ἐλθὼν λυτρώσασθαι, τῆς ἀπλήστου σου γαστρός.

Γυναῖκες Μυροφόροι, τί σπεύδετε λοιπόν; τί δὲ τὰ μύρα τῷ ζῶντι κομίζετε; ἀνέστη καθὼς προεῖπεν ὁ Χριστός. παυσάσθω ὑμῶν τὰ δάκρυα, μετελθόντα εἰς χαράν.

Σινδόνι σε εἱλήσας, κατέθετο Χριστέ, Ἰωσὴφ ὁ Εὐσχήμων ἐν μνήματι, μυρίσας δὲ τὸν λυθέντα σου Ναόν, τοῦ σώματος προσεκύλισε, λίθον μέγαν τῇ σορῷ.

Ὁ Κύριος ἀνέστη, σκυλεύσας τὸν ἐχθρόν, καὶ τοὺς δεσμίους ἐκσπάσας ἀνήγαγε, πάντας καὶ τὸν πρωτόπλαστον Ἀδάμ, αὐτὸν ἀνιστῶν ὡς εὔσπλαγχνος, καὶ φιλάνθρωπος Θεός.

Δόξα.

Τριάδα ἐν Μονάδι ὑμνήσωμεν πιστοί, σὺν τῷ Υἱῷ τὸν Πατέρα δοξάζοντες, καὶ Πνεῦμα τὸ ὁμοούσιον Υἱῷ, καὶ ὂν ἐν Πατρὶ συνάναρχον, καὶ ἀΐδιον Θεόν.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Καὶ νῦν. Θεοτοκίον.

Ἄστρει ἀγεωργήτως συνέλαβες Ἁγνὴ, τῆς ἀφθαρσίας τὸν βότρυν ὡς ἄμπελος, ἐξ οὗ τῆς ἀθανασίας οἱ κρουνοὶ, ὡς οἶνον ἡμῖν πηγάζουσι, τὴν αἰώνιον ζωήν.

Καταβασία. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Κοντάκιον Γδιόμελον, ἦχος, β.

Τὸ χαῖρε ταῖς Μυροφόροις φθεγξάμενος, τὸν θρῆνον τῆς Προμήτορος Εὔας κατέπαυσας, τῇ Ἀναστάσει σου, Χριστὲ ὁ Θεός. τοῖς Ἀποστόλοις δὲ τοῖς σοῖς κηρύττειν ἐπέταξας· ὁ Σωτὴρ ἐξανέστη τοῦ μνήματος.

Ὁ Οἶκος.

Ἐπὶ τὸν Τάφον σου Σωτὴρ αἱ Μυροφόροι πορευόμεναι, πρὸς ἑαυτὰς διηπόρουν τῷ νοῒ, καὶ ἐφθέγγοντο· τίς ἡμῖν τὸν λίθον ἀποκυλίσει τοῦ μνήματος; καὶ ἀναβλέψασαι, ὁρῶσιν ὅτι ὁ λίθος ἀποκεκύλισται. τῇ μορφῇ δὲ τοῦ Ἀγγέλου σου τῇ στολῇ ἐθαμβοῦντο, συνείχοντο δὲ τρόμῳ, καὶ φεύγειν ἐνόμιζον. καὶ πρὸς αὐτὰς ὁ νεανίσκος ἐβόησε· μὴ φοβεῖσθε ὑμεῖς· ὃν ζητεῖτε ἀνέστη. δεῦτε ἴδετε τὸν τόπον, ὅπου ἔκειτο τὸ Σῶμα τοῦ Ἰησοῦ. καὶ ταχὺ πορευθεῖσαι, ἀπαγγείλατε τοῖς Μαθηταῖς· Ὁ Σωτὴρ ἐξανέστη τοῦ μνήματος.

Τὸ Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν.

Χριστῷ φέρουσιν αἱ Μαθήτριαι μύρα.
Ἐγὼ δὲ ταύταις ὕμνον ὡς μύρα φέρω.

Τῇ αὐτῇ ἡμέρᾳ Κυριακῇ δευτέρᾳ μετὰ τὸ Πάσχα, τὴν τῶν Ἁγίων γυναικῶν Μυροφόρων Ἑορτὴν ἑορτάζομεν. ἔτι δὲ καὶ μνείαν ποιούμεθα τοῦ ἐξ Ἀριμαθαίας Ἰωσὴφ, ὃς ἦν μαθητὴς κεκρυμμένος, τῶν ἑβδομήκοντα εἷς τυγχάνων. πρὸς δὲ καὶ τοῦ νυκτερινοῦ Μαθητοῦ Νικοδήμου, ὃς ἐκ τῶν Ἀρχόντων, τῷ Χριστῷ προσῆλθε. διότι αἱ μὲν γυναῖκες αὗται, εἰσὶ μάρτυρες ἀψευδεῖς, καὶ πρῶται τῆς Ἀναστάσεως. Ἰωσὴφ δὲ καὶ Νικόδημος τῆς ταφῆς. ἃ δὴ καὶ κυριώτατά εἰσι, καὶ συνεκτικώτατα τοῦ καθ' ἡμᾶς δόγματος. αὐτίκα γὰρ ὁ μὲν Νικόδημος ἀποσυνάγωγος γέγονε, μὴ τοῖς Ἰουδαίοις αἱρούμενος συμφρονεῖν. ὁ δὲ Ἰωσὴφ μετὰ τὸ ἐνταφιάσαι τοῦ Κυρίου τὸ σῶμα, ἐν βόθρῳ παρὰ τῶν Ἰουδαίων βάλλεται· καὶ θείᾳ δυνάμει, ἐκεῖθεν ἁρπάζεται· καὶ εἰς Ἀριμαθαὶμ, τὴν ἰδίαν πατρίδα γίνεται. καὶ ὁ Χριστὸς ἀναστὰς, αὐτῷ ἐμφανίζεται τοῖς δεσμοῖς ἐχομένῳ, καὶ πιστοῖ τοῦτο πλέον τῆς Ἀναστάσεως τὸ μυστήριον. πολλὰ δὲ καὶ πρὸς Ἰουδαίων πάσχων, σιωπῇ τὰ τοῦ μυστηρίου διδόμαι οὐκ ἠνέσχετο, ἀλλὰ παῤῥησίᾳ πᾶσι τὰ γεγενημένα ἐδίδασκε. λέγεται μέντοι, ὡς καὶ Νικόδημος οὗτος λεπτομερῶς τὰ κατὰ τὸ Πάθος τοῦ Χριστοῦ, καὶ τὴν Ἀνάστασιν συντάγμασι διεσάφησε πρῶτος πάντων, ὡς τῆς συναγωγῆς ὢν, καὶ ἀκριβέστερον, καὶ τὰς βουλὰς τῶν Ἰουδαίων, καὶ λόγους, καὶ ἁπλῶς τὰ πάντα εἰδώς. καὶ διὰ ταύτην τὴν αἰτίαν, ὡς εἴπομεν, ὅτι ἀψευδεῖς τῆς ταφῆς μάρτυρες, μετὰ τῶν τὴν Ἀνάστασιν θεασαμένων γυναικῶν ἐτάχθησαν, καὶ μετὰ τὴν πρώτην τοῦ Θωμᾶ πίστωσιν. ἐκείνη γὰρ προετάχθη, ὅτι μεθ' ἡμέρας, φησὶν, ὀκτὼ, ἦλθε, τὸ Εὐαγγέλιον. αἱ γυναῖκες γοῦν αὗται, πρῶται τὴν Ἀνάστασιν εἶδον, καὶ τοῖς Μαθηταῖς ταύτην εὐηγγελίσαντο. ἔπρεπε καὶ γὰρ τὸ πρῶτον πεσὸν φῦλον ὑπὸ τὴν ἁμαρτίαν, καὶ τὴν ἀρὰν κληρωσάμενον, αὐτὸ τοῦτο πρῶτον καὶ τὴν Ἀνάστασιν κατιδεῖν· καὶ τὴν χαρὰν ἐνωτίσασθαι, τὸ πρῶτον ἀκοῦσαν, ἐν λύπαις τέξῃ τέκνα. Μυροφόροι δὲ ἐκλήθησαν, διότι τοῦ Πάσχα ἐνισταμένου, διὰ τὴν Παρασκευὴν, ὅτι μεγάλη ἦν ἡ ἡμέρα τοῦ Σαββάτου ἐκείνου, ἐπεὶ ἔσωθεν θάψαι τὸ σῶμα τοῦ Κυρίου, Ἰωσὴφ καὶ Νικόδημος· οἱ κατὰ τὸ Ἰουδαίων ἔθος μύροις αὐτὸ ἤλειψαν, ἀλλ' οὐχ ὡς ἔδει. Ἀλόην γὰρ καὶ Σμύρναν τὸ πλέον βάλλοντες, καὶ σινδόνι περιελίξαντες, τῷ τάφῳ παραδεδώκασι. τούτου χάριν αὗται ἀγάπην διαπύρως ἔχουσαι πρὸς Χριστὸν ὡς μαθήτριαι, μύρα πολυτελῆ ὠνησάμεναι, νυκτὸς παρεγένοντο. ἅμα μὲν καὶ διὰ τὸν τῶν Ἰουδαίων φόβον, ἅμα δὲ καὶ ὡς ἔθος, ὀρθριώτερον κλαῦσαι καὶ μυρίσαι αὐτό. καὶ τὸ ἔλλειψαν διὰ τὴν ἔπειξιν τοῦ καιροῦ, τότε ἀναπληρῶσαι. ὅτε παραγενόμεναι, διαφόρους ὀπτασίας κατεῖδον· τούς τε ἀστράπτοντας δύω Ἀγγέλους, ἔνδοθεν τοῦ μνήματος, καὶ τὸν ὑπὲρ τοῦ λίθου καθήμενον ἕτερον. μετὰ δὲ ταῦτα, Χριστὸν ὁρῶσι καὶ προσκυνοῦσιν. ἡ δὲ



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Μαγδαληνή, καὶ ὡς κηπουρὸν αὐτὸν περὶ αὐτοῦ ἐπηρώτα. πολλαὶ μὲν οὖν ἦσαν αἱ Μυροφόροι, ἀλλ᾽ οἱ Εὐαγγελισταί, τῶν ἐπισήμων μόνον ποιησάμενοι μνείαν, τὰς ἄλλας παρεῖκαν. ἦσαν δὲ αὗται. πρώτη πασῶν, ἡ Μαγδαληνὴ Μαρία, ἀφ᾽ ἧς καὶ δαιμόνια ἑπτὰ ὁ Χριστὸς ἐξέβαλεν. ἥτις καὶ μετὰ τὴν Ἀνάληψιν τοῦ Χριστοῦ εἰς Ῥώμην παραγενομένη, ὡς λόγος, καιρῷ θανάτῳ τὸν Πιλάτον καὶ τοὺς Ἀρχιερεῖς παραδίδωσι, τὰ κατὰ τὸν Χριστὸν πρὸς τὸν Καίσαρα Τιβέριον ἀνενέγκασα· ἐσύστερον δὲ ἐν Ἐφέσῳ θνήσκει, καὶ παρὰ τοῦ Θεολόγου Ἰωάννου θάπτεται. ὑπὸ δὲ τοῦ σοφωτάτου Λέοντος, εἰς τὴν Κωνσταντινούπολιν διαβιβάζεται. δευτέρα δὲ ἡ Σαλώμη, ἥτις ἐστὶ τοῦ Μνήστορος Ἰωσὴφ θυγάτηρ αὐτοῦ. οὕτω γὰρ καὶ ἄμφω κατωνομάζοντο. ἥτις θυγάτηρ αὐτοῦ τὸν Ζεβεδαῖον ἔσχεν ἄνδρα, ἀφ᾽ ἧς ὁ Εὐαγγελιστὴς Ἰωάννης, καὶ ὁ Ἰάκωβος ἐγεννήθησαν. τέσσαρας μὲν Υἱοὺς ἄρρενας ἐγέννησεν ὁ Ἰωσήφ. Ἰάκωβον τὸν λεγόμενον μικρόν, καὶ Ἰωσῆν, Σίμωνα, καὶ Ἰούδαν. καὶ θυγατέρας τρεῖς· τὴν Ἐσθήρ, τὴν Θάμαρ, καὶ τὴν Σαλώμην τὴν τοῦ Ζεβεδαίου· ὥστε ὅταν ἀκούσῃς ἐν τῷ Εὐαγγελίῳ Μαρίαν Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆ μητέρα, τὴν Θεοτόκον νόμιζε εἶναι, ὡς Μήτηρ τῶν τοῦ Ἰωσὴφ παίδων, ἡ Θεοτόκος κατελογίζετο. ὡς συμβαίνειν ἐντεῦθεν, ἀνεψιὸν εἶναι τοῦ Χριστοῦ τὸν Εὐαγγελιστὴν Ἰωάννην, ὡς ἀδελφόπαιδα. τρίτη δὲ τῶν Μυροφόρων ἐστὶν Ἰωάννα ἡ γυνὴ τοῦ Χουζᾶ, ὃς ἦν Ἐπίτροπος καὶ οἰκονόμος τῆς οἰκίας τοῦ βασιλέως Ἡρώδου. τετάρτη δὲ καὶ πέμπτη, Μαρία καὶ Μάρθα, ἀδελφαὶ τοῦ Λαζάρου. ἕκτη ἡ τοῦ Κλοπᾶ Μαρία. Κλοπᾶν δέ τινες, τὸν Κλεόπαν λέγουσιν. ἑβδόμη ἡ Σωσάννα, καὶ ἄλλαι δὲ πλεῖσται ἦσαν, ὡς ὁ θεῖος Λουκᾶς ἱστορεῖ· αἵτινες ἦσαν φησί, διακονοῦσαι τῷ Χριστῷ, καὶ τοῖς Μαθηταῖς αὐτοῦ, ἀπὸ τῶν ὑπαρχόντων αὐτῶν. ὅτι γοῦν αὗται τὴν Ἀνάστασιν ἐκήρυξαν, καὶ πολλὰ τὰ καθ᾽ ἡμᾶς δόγματα συνεβάλλοντο, εἰς πίστωσιν καὶ πληροφορίαν ἀκραιφνῆ τῆς Χριστοῦ Ἀναστάσεως μετὰ τὸν Θωμᾶν, καὶ ταύτας παρέλαβεν ἑορτάζειν ἡ τοῦ Θεοῦ Ἐκκλησία, ὡς ἰδούσας πρώτας Χριστὸν ἐκ νεκρῶν, καὶ τοῖς πᾶσι καταγγειλάσας τὸ σωτήριον κήρυγμα, καὶ τὴν κατὰ Χριστὸν πολιτείαν μετελθούσας ἀρίστως, καὶ ὡς ἐχρῆν γυναιξὶ μαθητευθείσαις Χριστῷ. Ταῖς τῶν ἁγίων Μυροφόρων πρεσβείαις ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενό-
μενος ἄνθρωπος, πάσχει ὡς θνητός, ”
καὶ διὰ πάθους τὸ θνητὸν ἀφθαρσίας ἐνδύει ”
εὐπρέπειαν· ὁ μόνος εὐλογητὸς τῶν Πα- ”
τέρων, Θεὸς καὶ ὑπερένδοξος. ”

Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω ”
σου ἔδραμον· ὃν δὲ ὡς θνητὸν μετὰ δακρύων ἐζήτουν προσεκύνησαν, χαίρουσαι ζῶντα Θεόν· καὶ Πάσχα τὸ μυστικόν, σοῖς Χριστὲ Μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν, ᾅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς, τῆς αἰωνίου ἀπαρχήν, καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος νὺξ καὶ φωταυγής, τῆς λαμπροφόρου ἡμέρας τῆς ἐγέρσεως, οὖσα προάγγελος· ἐν ᾗ τὸ ἄχρονον φῶς, ἐκ τάφου σωματικῶς, πᾶσιν ἐπέλαμψεν.

Τῆς Θεοτόκου, ὁ αὐτός.

Νεκρώσας ὁ Υἱός σου τὸν θάνατον, Πανάμωμε σήμερον, πᾶσι τοῖς θνητοῖς, τὴν διαμένουσαν ζωήν, εἰς αἰῶνας αἰώνων δεδώρηται· ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὁ Πάσης βασιλεύων τῆς Κτίσεως, γενόμενος ἄνθρωπος, ᾤκησε τὴν σήν, Θεοχαρίτωτε νηδύν, καὶ Σταυρὸν ὑπομείνας καὶ θάνατον, ἀνέστη θεοπρεπῶς, συνεγείρας ἡμᾶς, ὡς Παντοδύναμος.

Εἱρμὸς ἄλλος.

Τὰ Χερουβὶμ μιμούμενοι, Παῖδες ἐν τῇ
καμίνῳ, ἐχόρευον βοῶντες· εὐλογη- ”
τὸς εἶ ὁ Θεός, ὅτι ἐν ἀληθείᾳ, καὶ κρίσει ”
ἐπήγαγες, ταῦτα πάντα διὰ τὰς ἁμαρ- ”
τίας ἡμῶν· ὁ ὑπερύμνητος, καὶ δεδοξασ- ”
μένος εἰς πάντας τοὺς αἰῶνας. ”

Σὺ ὡς φιλάνθρωπος θέλων, πάντας ”
σῶσαι ἐκ πλάνης, οὓς ἔπλασας, ἠνέ-

χου, προσηλωθῆναι τῷ Σταυρῷ· ἵνα τὴν συγχωσθεῖσαν εἰκόνα τοῖς πάθεσι, ταύτην τῇ σαρκί σου ἀναμορφώσῃς Σωτήρ. καὶ ᾅδην καθελὼν, συνεξανέστησας, καὶ τοὺς θανόντας σεαυτῷ.

Ἐν τῷ Σταυρῷ ὑψούμενος, πάντας προσεκαλέσω, πρὸς ἑαυτὸν Οἰκτίρμων, ὡς ἐπηγγείλω ἀγαθέ· ὅτι ἐν ἀληθείᾳ ταῦτα πάντα διὰ τὰς ἁμαρτίας ἡμῶν, παθεῖν ηὐδόκησας. ὅθεν καὶ τῷ λῃστῇ, τὰς τοῦ Παραδείσου πύλας ἠνέῳξας Σωτήρ.

Ἐγείρας τὸν ναὸν τοῦ σώματος, ἤγειρας τὸν λυθέντα, τριήμερον ἐκ τάφου, ὡς ἐπηγγείλω ἀγαθέ· ἵνα ἐν ἀληθείᾳ γνωρίσῃς τὴν δόξαν σου, ἣν ἡμῖν πηγάζεις διὰ τῆς πίστεως, δεσμίους ἀφελὼν, οὓς κατεῖχε πάλαι ᾅδης πεπεδημένους.

Ὢ Ἰουδαίων ἄνοια, ὢ μανία ἀνόμων· τί ἄπιστον ἰδόντες, οὐκ ἐπιστώσατε Χριστῷ; ὅτι τοὺς ἀσθενοῦντας ἐν λόγῳ οὐκ ἤγειρεν; ἢ ὅτι πάντα Κόσμον αὐτὸς οὐκ ἔσωσε; πεισάτωσαν ὑμᾶς κἂν οἱ στρατιῶται, οἱ ἀναστάντες ἐκ νεκρῶν.

Οἱ νεκρωθέντες φύλακες, νῦν λεγέτωσαν, ὅπως ἐκλάπη ὃν οὐκ εἶδον, οἱ ἀγνώμονες πάντῃ. εἰ γὰρ ἐξαναστάντα οὐκ εἶδον, οὐκ ᾔσθοντο, πῶς κλαπέντα τοῦτον μηνῦσαι εἶχον ποτέ; πεισάτωσαν ὑμᾶς, κἂν ὁ λίθος οὗτος, καὶ τὰ ἐντάφια Χριστοῦ.

Τί ὡς νεκρὸν φυλάττετε; τί σφραγῖδας τῷ λίθῳ τεθείκατε Ἑβραῖοι, φόβον φοβούμενοι κλοπῆς; ἰδοὺ ἐν ἀληθείᾳ, ὁ τάφος ἐσφράγισται. πῶς οὖν ἐξανέστη, εἰ μὴ Θεὸς ἦν ὁ Χριστός; πεισάτωσαν ὑμᾶς οἱ ἐξαναστάντες, καὶ ὀραθέντες τοῖς πολλοῖς.

Δόξα.

Ἐν τῷ Πατρὶ δοξάζομεν, τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, τὸ ἅγιον βοῶντες, ἀκαταπαύστῳ τῇ φωνῇ· Τριὰς μοναδικὴ οὐσία, ἐλέησον, σῶσον πάντας, ἡ ἐν τρισὶ προσώποις μονάς, οἰκτείρησον ἡμᾶς, ὁ δεδοξασμένος Θεὸς εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Ἐν τῇ γαστρί σου Ἄχραντε, πῶς ἐχώρησας Βρέφος, ὃν τρέμουσι Δυνάμεις, αἱ τῶν Ἀγγέλων ὡς Θεόν; εἰ μὴ ὡς ἠβουλήθη, ὡς οἶδεν, ἐσκήνωσε πάντας θέλων, σῶσαι τοὺς ἐξ Ἀδὰμ γηγενεῖς, λύσας τὴν Ἀδὰμ τῆς ἀρᾶς ἐκείνης, τῆς διὰ βρώσεως πικρᾶς.

Καταβασία. Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, Ἑορτῶν Ἑορτὴ, καὶ πανήγυρίς ἐστι πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος, τῆς θείας εὐφροσύνης, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, Βασιλείας τοῦ Χριστοῦ κοινωνήσωμεν, ὑμνοῦντες αὐτὸν ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν, καὶ ἴδε. ἰδοὺ γὰρ ἥκασί σοι, θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ Δυσμῶν, καὶ Βορρᾶ, καὶ Θαλάσσης, καὶ Ἑῴας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ Παντοκράτορ, καὶ Λόγε, καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη, ἐν ὑποστάσεσι φύσις, Ὑπερούσιε, καὶ Ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Θεοτόκου, ὁ αὐτός.

Ἦλθε διὰ σοῦ εἰς τὸν Κόσμον ὁ Κύριος, Παρθένε Θεοτόκε, καὶ τὴν γαστέρα τοῦ ᾅδου, διαρρήξας θνητοῖς, τὴν Ἀνάστασιν ἡμῖν ἐδωρήσατο. διὸ εὐλογοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὅλον καθελὼν τοῦ θανάτου τὸ κράτος, ὁ Υἱός σου Παρθένε, ἐν τῇ αὐτοῦ Ἀναστάσει, ὡς Θεὸς κραταιὸς, συνανύψωσεν ἡμᾶς καὶ ἐθέωσε. διὸ ἀνυμνοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἱρμὸς Ἄλλος.

Τὸν ἐν τῇ βάτῳ Μωσεῖ, τῆς Παρθένου τὸ θαῦμα, ἐν Σιναίῳ τῷ ὄρει προτυπώσαντα ποτὲ, ὑμνεῖτε εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Αἱ τοῦ ἡλίου αὐγαὶ, συνεστέλλοντο φόβῳ, τῶν Χριστοῦ παθημάτων, καὶ ἀνίσταντο νεκροὶ, καὶ ὄρη ἐκλονεῖτο, καὶ ἐδονεῖτο ἡ γῆ, καὶ ᾅδης ἐγυμνοῦτο.

Οἱ ἐν καμίνῳ ποτὲ, τρισμακάριοι παῖδες, ἀνυψοῦντες τὰς χεῖρας, προετύπουν

ἀγα-

Δημόσιες Βιβλιοθήκες

ἀγαθὲ, τὸν ἄχραντον Σταυρόν σου. δι' οὗ καθεῖλες Χριστὲ, ἐχθροῦ τὴν δυναστείαν.

Ἰουδαῖοι τυφλοὶ, πλάνοι, καὶ παραβάται, οἱ Χριστοῦ τῇ ἐγέρσει, ἀπειθοῦντες ὡς ψάδει· τί ἄπιστον ὁρᾶτε; ὅτι ἀνέστη Χριστὸς, ὁ τοὺς νεκροὺς ἐγείρας;

Ἰουδαῖοι ἐχθροὶ, κἂν ὑμεῖς ἀπιστεῖτε, τοὺς ὑμῶν στρατιώτας, ἐρωτήσατε ὑμεῖς, τί ἔπαθον ἐκεῖνοι; τίς ὁ κυλίσας χερσὶ, τὸν λίθον τοῦ Μνημείου;

Τίς ὁ ξηράνας συκῆν; τίς δὲ τὴν ξηρανθεῖσαν, ἰασάμενος χεῖρα; τίς ὁ χορτάσας ποτὲ, τὰ πλήθη ἐν ἐρήμῳ; εἰμὴ Χριστὸς ὁ Θεὸς, ὁ τοὺς νεκροὺς ἐγείρας.

Τίς ὁ φωτίσας τυφλοὺς, καὶ λεπροὺς ἐκκαθάρας, καὶ χωλοὺς ἀνορθώσας, καὶ πεζώσας ὡς ξηρὰν, τὴν θάλασσαν ἀβρόχως, εἰμὴ Χριστὸς ὁ Θεὸς, ὁ τοὺς νεκροὺς ἐγείρας.

Τίς ὁ ἐγείρας νεκρὸν, τεταρταῖον ἐκ τάφου, καὶ τῆς χήρας τὸν Υἱόν; τίς ὁ σφίγξας ὡς Θεὸς, παράλυτον ἐν κλίνῃ; εἰμὴ Χριστὸς ὁ Θεὸς, ὁ τοὺς νεκροὺς ἐγείρας.

Κράζει ὁ λίθος αὐτὸς, αἱ σφραγῖδες βοῶσιν, ἃς ὑμεῖς ἐπιθέντες, κατεστήσατε φρουροὺς, φυλάσσοντας τὸ Μνῆμα. ὄντως ἀνέστη Χριστὸς, καὶ ζῇ εἰς τοὺς αἰῶνας.

Ὄντως ἀνέστη Χριστὸς, ἐσκυλεύθη ὁ ᾅδης, ἐνεκρώθη ὁ ὄφις, ἐλυτρώθη ὁ Ἀδὰμ, ἐσώθησαν οἱ κάτω. τί ἀπιστεῖτε λοιπὸν, ἐχθροὶ καὶ παραβάται; Δόξα.

Σὺν τῷ Πατρὶ τὸν Υἱὸν, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα, ἐν Θεότητι μιᾷ, δοξάζομεν βοῶντες· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Ἐν τῇ γαστρί σου Ἁγνὴ, τὸν ἀείζωον ἄρτον, φυραθέντα ἀφράστως, ἐν φυράματι ἡμῶν, ἐγέννησας ἀτρέπτως, ἕνα Χριστὸν τὸν Θεὸν, ἐν δυσὶ ταῖς οὐσίαις.

Καταβασία. Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Φωτίζου φωτίζου, ἡ Νέα Ἱερουσαλήμ. ἡ γὰρ δόξα Κυρίου, ἐπὶ σὲ ἀνέτειλε. χόρευε νῦν, καὶ ἀγάλλου Σιών. σὺ δὲ Ἁγνὴ τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὢ θείας, ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς. μεθ' ἡμῶν ἀψευδῶς γὰρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστέ. ἣν οἱ Πιστοὶ, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Ὢ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστέ. ὢ σοφία καὶ Λόγε, τοῦ Θεοῦ καὶ δύναμις, δίδου ἡμῖν ἐκτυπώτερον, σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ, ἡμέρᾳ τῆς Βασιλείας σου.

Τῆς Θεοτόκου, Ὁ αὐτός.

Συμφώνως Παρθένε, σὲ μακαρίζομεν Πιστοί. Χαῖρε πύλη Κυρίου· χαῖρε πόλις ἔμψυχε· χαῖρε δι' ἧς ἡμῖν ἔλαμψε, σήμερον φῶς, τοῦ ἐκ σοῦ τεχθέντος, τῆς ἐκ νεκρῶν Ἀναστάσεως.

Εὐφραίνου ἀγάλλου, ἡ θεία πύλη τοῦ φωτός. ὁ γὰρ δύνας ἐν τάφῳ, Ἰησοῦς ἀνέτειλε, λάμψας ἡλίου φαιδρότερον, καὶ τοὺς Πιστοὺς, πάντας καταυγάσας, Θεοχαρίτωτε Δέσποινα.

Εἱρμὸς ἄλλος.

Σὲ τὴν ὑπερφυῶς σαρκὶ, συλλαβοῦσαν ἐν γαστρὶ, τὸν ἐκ Πατρὸς ἀχρόνως, προεκλάμψαντα Λόγον, ἐν ὕμνοις ἀσιγήτοις, μεγαλύνομεν Πιστοί.

Τὸν ἐν τῷ Σταυρῷ λῃστὴν, ἐπιγνόντα σε Θεὸν, κληρονόμον εἰργάσω, νοητοῦ Παραδείσου, τὸ μνήσθητι βοῶντα, Παντοδύναμε Σωτήρ.

Ἐρραπίσθης δι' ἡμᾶς, ἐνεπτύσθης Ἰησοῦ, ὑπὸ τῶν παρανόμων, ὁ τὰς πλάκας τοῦ νόμου, χαράξας ἐν Σιναίῳ, τῷ θεράποντι Μωσεῖ.

Ὄξος καὶ χολὴν Σωτὴρ, ἐποτίσθης δι' ἡμᾶς, ὁ δοὺς ἡμῖν τὸ Σῶμα, καὶ τὸ τίμιον Αἷμα, εἰς βρῶσίν τε καὶ πόσιν, αἰωνίου σου ζωῆς.

Τὴν ζωοποιὸν πλευρὰν, λόγχῃ κεντηθεὶς Χριστὲ, τὸ ἄχραντόν σου Αἷμα, καὶ τὸ τίμιον ὕδωρ, ἐπήγασας τῷ Κόσμῳ, ὡς ἀείζωον πηγήν.

Ἐλογίσθης ἐν νεκροῖς, ὁ ζωώσας τοὺς νεκρούς. ἐν τάφῳ κατετέθης, ὁ κενώσας τοὺς τάφους. ἐσκύλευσας τὸν ᾅδην, ἀναστήσας τὸν Ἀδάμ.

Ἐξανέστης Ἰησοῦ, ἐδεσμεύθη ὁ ἐχθρὸς, ἐσκυλεύθη ὁ ᾅδης. ἐγυμνώθησαν τάφοι, ἠγέρθησαν οἱ κάτω, προσκυνοῦντές σε Χριστέ.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΣΕΡΡΩΝ
Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών "Μανούσεια"

Τίς ὁ κλέψας τὸν νεκρόν; μάλιστα δὲ καὶ γυμνόν; τί πλανᾶσθε Ἑβραῖοι; ὁ Χριστὸς ἐξανέστη, καὶ λέλυνται τοῦ ᾅδου, τὰ δεσμὰ καὶ οἱ μοχλοί.

Δόξα σοι Χριστὲ Σωτὴρ, ὁ πηγάσας τὴν ζωὴν, καὶ τὸ φῶς ἀνατείλας, τοῖς ἐν σκότει ἀγνοίας, καὶ πᾶσαν καταλάμψας, τῇ ἐγέρσει σου τὴν γῆν.

Ὁ Εὐσχήμων βουλευτὴς, ἀνυμνείσθω Ἰωσὴφ, μετὰ τῶν Μυροφόρων, καὶ τῶν θείων Μαθητῶν, ὡς κήρυξ ὢν καὶ οὗτος, τῆς ἐγέρσεως Χριστοῦ.

Ἰωσὴφ τὸν θαυμαστὸν, ἀνυμνήσωμεν πιστοὶ, σὺν ἅμα Νικοδήμῳ, καὶ πισταῖς Μυροφόροις, ὁ Κύριος ἀνέστη, ἐκβοῶντες ἀληθῶς.

Δόξα.

Ἄναρχος εἶ ὁ Πατὴρ, ἄκτιστος εἶ ὁ Υἱὸς, σύνθρονον καὶ τὸ Πνεῦμα, ἓν τὰ τρία τῇ φύσει, καὶ τρία τοῖς προσώποις, εἷς Θεὸς ἀληθινός.

Καὶ νῦν. Θεοτοκίον.

Εὐφραινέσθω Ἰεσσαὶ, χορευέτω καὶ Δαβίδ. ἰδοὺ γὰρ ἡ Παρθένος, ἡ Θεόφυτος ῥάβδος, ἐβλάστησε τὸ ἄνθος, τὸν ἀείζωον Χριστόν.

Καταβασία. Φωτίζου, φωτίζου, ἡ νέα.

Ἐξαποστειλάριον.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.

Σαρκὶ ὑπνώσας ὡς θνητὸς, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον. Πάσχα τῆς ἀφθαρσίας, τοῦ Κόσμου σωτήριον.

Ἕτερον τῆς παρούσης Κυριακῆς. Αὐτόμελ.

Γυναῖκες ἀκουτίσθητε, φωνὴν ἀγαλλιάσεως· τύραννον ᾅδην πατήσας, φθορᾶς ἐξήγειρα Κόσμον· δράμετε φίλοις εἴπατε, τοῖς ἐμοῖς εὐαγγέλια. βούλομαι γὰρ τὸ πλάσμα μου, χαρὰν ἐκεῖθεν αὐγάσαι, ἐξ ἧς προῆλθεν ἡ λύπη. Δίς.

Εἰς τοὺς αἴνους. Πᾶσα πνοὴ, ἱστῶμεν στ. η΄. καὶ ψάλλομεν στ. Ἀναστάσιμα, δ΄. καὶ Ἀνατολικὰ, δ΄. ἦχος, β΄.

Πᾶσα πνοὴ καὶ πᾶσα κτίσις, σὲ δοξάζει Κύριε, ὅτι διὰ τοῦ Σταυροῦ τὸν θάνατον κατήργησας, ἵνα δείξῃς τοῖς Λαοῖς, τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν, ὡς μόνος φιλάνθρωπος.

Εἰπάτωσαν Ἰουδαῖοι, πῶς οἱ στρατιῶται ἀπώλεσαν, τηροῦντες τὸν Βασιλέα; διατί γὰρ ὁ λίθος οὐκ ἐφύλαξε τὴν πέτραν τῆς ζωῆς; ἢ τὸν ταφέντα δότωσαν, ἢ ἀναστάντα προσκυνείτωσαν, λέγοντες σὺν ἡμῖν· δόξα τῷ πλήθει τῶν οἰκτιρμῶν σου, Σωτὴρ ἡμῶν δόξα σοι.

Χαίρετε Λαοὶ καὶ ἀγαλλιᾶσθε, Ἄγγελος ἐκάθισεν εἰς τὸν λίθον τοῦ Μνήματος· αὐτὸς ἡμᾶς εὐηγγελίσατο εἰπών· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ὁ Σωτὴρ τοῦ Κόσμου, καὶ ἐπλήρωσε τὰ σύμπαντα εὐωδίας· χαίρετε Λαοὶ καὶ ἀγαλλιᾶσθε.

Ἄγγελος μὲν τὸ Χαῖρε, πρὸ τῆς σῆς συλλήψεως Κύριε, τῇ Κεχαριτωμένῃ ἐκόμισεν. Ἄγγελος δὲ τὸν λίθον τοῦ ἐνδόξου σου Μνήματος, ἐν τῇ σῇ Ἀναστάσει ἐκύλισεν. ὁ μὲν ἀντὶ τῆς λύπης, εὐφροσύνης σύμβολα μηνύων. ὁ δὲ ἀντὶ θανάτου, Δεσπότην ζωοδότην κηρύττων ἡμῖν. διὸ βοῶμέν σοι· εὐεργέτα τῶν ἁπάντων, Κύριε δόξα σοι.

Ἕτερα δ΄. Ἀνατολικὰ, ἦχος ὁ αὐτός.

Ἔρραναν μύρα μετὰ δακρύων, ἐπὶ τὸ Μνῆμά σου αἱ γυναῖκες, καὶ ἐπλήσθη χαρᾶς τὸ στόμα αὐτῶν, ἐν τῷ λέγειν, ἀνέστη ὁ Κύριος.

Ἀνυμνησάτωσαν Ἔθνη καὶ Λαοὶ, Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν ἑκουσίως δι' ἡμᾶς Σταυρὸν ὑπομείναντα, καὶ ἐν τῷ ᾅδῃ τριημερεύσαντα. καὶ προσκυνησάτωσαν αὐτοῦ, τὴν ἐκ νεκρῶν Ἀνάστασιν· δι' ἧς πεφώτισται πάντα τοῦ Κόσμου τὰ πέρατα.

Ἐσταυρώθης ἐτάφης Χριστὲ ὡς ἠβουλήθης. ἐσκύλευσας τὸν θάνατον, καὶ ἀνέστης ἐν δόξῃ, ὡς Θεὸς καὶ Δεσπότης, δωρούμενος τῷ Κόσμῳ ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Ὄντως παράνομοι σφραγίσαντες τὸν λίθον, μείζονος ἡμᾶς θαύματος ἠξιώσατε. ἔχουσι τὴν γνῶσιν οἱ φύλακες. σήμερον προῆλθε τοῦ Μνήματος, καὶ ἔλεγον· εἴπατε, ὅτι ὑμῶν κοιμωμένων, ἦλθον οἱ Μαθηταὶ καὶ ἔκλεψαν αὐτόν. καὶ τίς κλέπτει νεκρὸν, μάλιστα δὲ καὶ γυμνόν; αὐτὸς ἀνέστη αὐτεξουσίως ὡς Θεὸς, καταλιπὼν καὶ ἐν τῷ τάφῳ τὰ ἐντάφια αὐτοῦ. δεῦτε ἴδετε Ἰουδαῖοι, πῶς οὐ διέρρηξε τὰς σφραγῖδας,

ὁ τὸν

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

ὁ τὸν θάνατον πατήσας, καὶ τῷ γένει τῶν ἀνθρώπων, τὴν ἀτελεύτητον ζωὴν δωρούμενος, καὶ τὸ μέγα ἔλεος.

Δόξα, τὸ Ἑωθινόν. Ἦχος β'.

Μετὰ μύρων προσελθούσαις, ταῖς περὶ τὴν Μαριὰμ γυναιξί, καὶ διαπορουμέναις πῶς ἔσται αὐταῖς τυχεῖν τοῦ ἐφετοῦ. ὡράθη ὁ λίθος μετηρμένος, καὶ θεῖος νεανίας καταστέλλων τὸν θόρυβον αὐτῶν τῆς ψυχῆς. ἠγέρθη γάρ φησιν Ἰησοῦς ὁ Κύριος. διὸ κηρύξατε τοῖς κήρυξιν αὐτοῦ Μαθηταῖς, εἰς τὴν Γαλιλαίαν δραμεῖν. καὶ ὄψεσθαι αὐτόν, ἀναστάντα ἐκ νεκρῶν, ὡς ζωοδότην καὶ Κύριον.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν.

Οἱ Μακαρισμοὶ τοῦ ἤχου, εἰς δ'. Ἦχος β'.

Μνήσθητι εὔσπλαγχνε καὶ ἡμῶν, καθὼς ἐμνημόνευσας τοῦ Λῃστοῦ, ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν.

Ξύλον ἐξεδίωξε τὸν Ἀδάμ. Σταυρὸς ἀντεισήγαγε τὸν λῃστήν, ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν.

Τάφος ὑπεδέξατό σε Σωτήρ, τὸν τάφους κενώσαντα καὶ νεκροῖς, ζωὴν δωρησάμενον ὡς Θεόν.

Ἀπόστολοι ἔνδοξοι τοῦ Χριστοῦ, αὐτὸν ἱκετεύσατε ἐκτενῶς, ἵνα τῶν κινδύνων σώσῃ ἡμᾶς.

Καὶ ἀπὸ τοῦ Κανόνος τῆς Ἑορτῆς.

Ὠδὴ ς'. εἰς δ'. Ὁ Ἀπόστολος τῆς ἡμέρας.

Εὐαγγέλιον κατὰ Μάρκον.

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας.

Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον.

Τῇ Κυριακῇ Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς Ἑορτῆς, γ'. καὶ τοῦ Μηναίου, γ'. τῆς Ἑορτῆς, ἦχος πλ. α'.

Χαίροις ἀσκητικῶν.

Ὅλοις προσηλωθεὶς τὴν ἀρὰν, τὴν ἐν τῷ ξύλῳ διὰ ξύλου ἐξήλειψας· τεθεὶς δὲ ἐν τῷ Μνημείῳ, τοὺς ἀπ' αἰῶνος νεκροὺς, θεϊκῇ δυνάμει ἐξανέστησας. τὴν σὴν δυναστείαν, μεγαλοφώνως δοξάζομεν, Πάσχα τὸ θεῖον, Ἰησοῦ Παντοδύναμε, ἡ ζωὴ ἡμῶν, τοῦ Πατρὸς τὸ ἀπαύγασμα. ὅθεν τὰ Ἐπουράνια, τῇ γῇ συναγάλλονται, ἐπινικίους ᾠδάς σοι, νικοποιὲ Λόγε ᾄδοντες, Χριστὲ Παντοκράτορ, τῷ παρέχοντι τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Ἄρα μετὰ νεκρῶν ἡ ζωή, ὑπὸ τὴν γῆν τε ὁ ἀνέσπερος Ἥλιος, εἰς ἔτι ναίων ὑπάρχει; τῶν Μυροφόρων χορὸς, θρηνῳδῶν ἐβόα· δεῦτε δράμωμεν, σπουδῇ καὶ ὀψόμεθα, πρὸς τὸ Μνῆμα τὸ ἅγιον. ἔνδον δὲ τούτου, ἐξαστράπτοντα Ἄγγελον, θεασάμεναι, ἀπορῆσαι ἐξίσταντο. ὅς τις μεταβαλὼν αὐτῶν, τὸν θρῆνον ἐβόησεν· ὁ ζωοδότης ἀνέστη, μὴ ἐκθαμβεῖσθε φιλόσεμναι. αὐτὸς Βασιλεύει, ὁ δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Ὄρθρου ὁ τῶν γυναίων χορὸς, τὸν πρὸ Ἡλίου ἐξεζήτησεν Ἥλιον, ἐν τάφῳ δύναντα τότε. ὁ φωταυγὴς δὲ αὐταῖς, προσεφώνει Ἄγγελος· ἐξανέτειλε, τὸ φῶς καταυγάσαν, τοὺς ἐν τῷ σκότει καθεύδοντας. τοῖς ἑωσφόροις, Μαθηταῖς ἀπαγγείλατε. τὴν κατήφειαν, εἰς χαρὰν μεταστρέψατε. Πάσχα δὲ τὸ χαρμόσυνον, καὶ Κόσμου σωτήριον, καὶ ἀδιστάκτῳ καρδίᾳ, περικροτοῦσαι χορεύσατε. Χριστὸς ἀνέστη, ὁ δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Καὶ τοῦ Μηναίου, γ'. Δόξα, καὶ νῦν, ἦχος πλ. α'.

Μυροφόροι γυναῖκες τῷ τάφῳ τί προσήλθετε; τί ζητεῖτε τὸν ζῶντα ἐν νεκροῖς; ἀνέστη ὁ Κύριος, θαρσεῖτε βοᾷ ὁ Ἄγγελος.

Εἰς τὸν στίχ. τὰ Ἀναστάσιμα, ἦχος β'.

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα, τὸν Θεὸν Λόγον σαρκωθέντα, ἐκ Παρθένου Μαρίας, δεῦτε προσκυνήσωμεν, Σταυρὸν γὰρ ὑπομείνας, τῇ ταφῇ παρεδόθη, ὡς αὐτὸς ἠθέλησε, καὶ ἀναστὰς ἐκ νεκρῶν, ἔσωσέ με τὸν πλανώμενον ἄνθρωπον.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς. Κατανυκτικόν.

Ἥμαρτον εἰς σὲ Σωτήρ, ὡς ὁ Ἄσωτος Υἱός, δέξαι με Πάτερ μετανοοῦντα, καὶ ἐλέησόν με ὁ Θεός.

Στίχ. Ἐλέησον ἡμᾶς Κύριε. Μαρτυρικόν.

Οἱ τὴν ἐπίγειον ἀπόλαυσιν μὴ ποθήσαντες Ἀθλοφόροι, Οὐρανίων ἀγαθῶν ἠξιώθησαν, καὶ Ἀγγέλων συμπολῖ-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ται γεγόνασι. Κύριε πρεσβείαις αὐτῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Δόξα, καὶ νῦν, ἦχος α΄.

Μετὰ φόβου ἦλθον αἱ γυναῖκες, ἐπὶ τὸ Μνῆμα, ἀρώμασι τὸ Σῶμά σου μυρίσαι σπουδάζουσαι. καὶ τοῦτο μὴ εὑροῦσαι, διηπόρουν πρὸς ἀλλήλας, ἀγνοοῦσαι τὴν Ἀνάστασιν. ἀλλ᾽ ἐπέστη αὐταῖς Ἄγγελος, καὶ εἶπεν· ἀνέστη Χριστός, δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Τροπάρια. Ὁ εὐσχήμων Ἰωσήφ.
Δόξα. Ὅτε κατῆλθες πρός.
Καὶ νῦν. Ταῖς Μυροφόροις γυναιξί.

Καὶ Ἀπόλυσις.

Τῇ Β΄. τῆς Γ΄. Ἑβδομ. εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολ. λεγόμενα Καθίσματα. Ἀναστ. ἦχος β΄.

Τὸν λίθον τοῦ Μνήματος, σφραγισθῆναι μὴ κωλύσας, τὴν πέτραν τῆς Πίστεως, ἀναστὰς παρέχεις πᾶσι, Κύριε δόξα σοι.

Κατανυκτικόν.

Ὡς κύματα θαλάσσης ἐπ᾽ ἐμέ, ἐπανέστησαν αἱ ἀνομίαι μου· ὡς σκάφος ἐν πελάγει ἐγὼ μόνος χειμάζομαι, ὑπὸ πταισμάτων πολλῶν· ἀλλ᾽ εἰς εὔδιον λιμένα ὁδήγησόν με, Κύριε, τῇ μετανοίᾳ καὶ σῶσόν με.

Μαρτυρικόν.

Σὲ τὸν περιβαλλόμενον τὸν Οὐρανὸν ἐν νεφέλαις, ἔχοντες οἱ Ἅγιοι περιβολὴν ἐν τῷ Κόσμῳ, τὰς βασάνους τῶν ἀνόμων ὑπέμειναν, καὶ τὴν πλάνην τῶν ἀνόμων κατήργησαν· αὐτῶν ταῖς ἱκεσίαις, καὶ ἡμᾶς ἐλευθέρωσον τοῦ ἀοράτου ἐχθροῦ, Σωτὴρ, καὶ σῶσον ἡμᾶς.

Θεοτοκίον.

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή, συμπαθείας ἀξίωσον ἡμᾶς Θεοτόκε, βλέψον εἰς Λαὸν τὸν ἁμαρτήσαντα, δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου, εἰς σὲ γὰρ ἐλπίζοντες, τὸ Χαῖρε βοῶμέν σοι, ὡς ποτὲ ὁ Γαβριήλ, ὁ τῶν Ἀσωμάτων Ἀρχιστράτηγος.

Μετὰ τὴν β΄. στιχολ. Καθίσμ. ἦχος β΄.

Τὰ ἄνω ζητῶν.

Τὰ μῦρα θερμῶς, τῷ τάφῳ προσκομίζουσαι, γυναῖκες Σωτήρ, Ἀγγέλου τῇ λαμπρότητι, τὰς ψυχὰς ἠγάλλοντο, καὶ Θεόν σε τῶν ὅλων ἐκήρυττον. καὶ Μαθηταῖς ἐβόων· ὄντως ἀνέστη ἐκ τάφου, ἡ πάντων ζωή.

Τό, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν΄. Καὶ οἱ Κανόνες τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν, εἰς ή΄. Καὶ τοῦ Μηναίου, εἰς δ΄. Κοντάκιον, τῆς Ἑορτῆς, καὶ Ἐξαποστειλάριον.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν τὰ παρόντα, ἦχος β΄.

Πᾶσα πνοὴ καὶ πᾶσα Κτίσις, σὲ δοξάζει Κύριε, ὅτι διὰ τοῦ Σταυροῦ τὸν θάνατον κατήργησας, ἵνα δείξῃς τοῖς Λαοῖς, τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν, ὡς μόνος φιλάνθρωπος. Δίς.

Τῶν πεπραγμένων μοι δεινῶν ἐννοῶν τὰ ἄτοπα, ἐπὶ τοὺς σοὺς καταφεύγω οἰκτιρμούς. τελώνην μιμούμενος, καὶ πόρνην τὴν δακρύσασαν, καὶ τὸν Ἄσωτον Υἱόν. διὸ καὶ προσπίπτω σοι Ἐλεῆμον, πρὶν με καταδικάσῃς, φεῖσαί μου ὁ Θεός, καὶ ἐλέησόν με.

Μαρτυρικόν.

Ὑπὲρ Χριστοῦ παθόντες μέχρι θανάτου, ὦ Ἀθλοφόροι Μάρτυρες, ψυχὰς μὲν ἔχετε εἰς Οὐρανοὺς ἐν χειρὶ Θεοῦ, καὶ κατὰ Κόσμον ὅλον δορυφορεῖται ὑμῶν τὰ λείψανα. Ἱερεῖς καὶ Βασιλεῖς προσκυνοῦσι, καὶ Λαοὶ πάντες ἐπαγαλλόμενοι. καὶ ἡμεῖς συνήθως βοῶμεν· ὕμνος τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τῶν Ὁσίων αὐτοῦ.

Δόξα, καὶ νῦν. ἦχος α΄.

Ἦλθεν ἐπὶ τὸ Μνημεῖον, ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία, ζητοῦσαι τὸν Κύριον. καὶ τὸν Ἄγγελον εἶδον, ὡσεὶ ἀστραπὴν, καθεζόμενον ἐπὶ τὸν λίθον, καὶ λέγοντα αὐταῖς· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν τεθνεώτων; ἀνέστη καθὼς εἶπεν, ἐν Γαλιλαίᾳ αὐτὸν εὑρήσετε. πρὸς ὃν βοήσωμεν· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν Κύριε δόξα σοι.

Εἰς τὸν στ. Προσόμοια τῆς Ἑορτῆς. ἦχος πλ. β΄.

Τριήμερος ἀνέστης.

Ἐξάρξατε Λαοὶ ψαλμικῶς, ὑμνήσατε Χριστὸν ἐν χαρᾷ. Πάσχα μέγα, ἐξανέτειλεν ἡμῖν, ὁ ἀναστὰς ἐκ τάφου, Χριστὸς ὁ ζωοδότης, καὶ λυτρωτὴς πάσης τῆς Κτίσεως, εὐδόκησας Κύριε τὴν γῆν σου.

Τὸ Χαῖρε Μυροφόροις εἰπών, τῆς Εὔας τὸ κατάκριμα, διαλύσας, εἰς χαρὰν καὶ Μαθηταῖς, ἀναστὰς ἀποστέλλεις, κηρύξαι τὴν ἐκ τάφου, τριήμερόν σου Ἐξανάστασιν.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Στ. Ἔλεος καὶ ἀλήθεια συνηντήσαν.

Πάσχα σεπτὸν καὶ ἅγιον, ἡμῖν Χριστὸς κατηύγασε, δεῦτε πάντες, λαμπρυνθῶμεν τὰς ψυχάς. ἰδοὺ γὰρ νῦν ἡμέρα, ἐπέλαμψεν ἐνταῦθα, ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε.

Δόξα, καὶ νῦν, ἦχος β΄.

Ἔρραναν μύρα μετὰ δακρύων, ἐπὶ τὸ Μνῆμά σου αἱ γυναῖκες, καὶ ἐπλήσθη χαρᾶς τὸ στόμα αὐτῶν, ἐν τῷ λέγειν, ἀνέστη ὁ Κύριος.

Τῇ Β΄ τῆς Γ΄. Ἑβδομάδος Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶ. στ. ϛ΄. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια τῆς Ἑορτῆς, ἦχ. β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε, Μυροφόροι σε Χριστὲ, λίαν τὸ πρωῒ ἐπεζήτουν, τὴν τῶν ἁπάντων ζωήν, μύρα καὶ ἀρώματα, ἔχουσαι ἤρχοντο, καὶ τῷ πόθῳ δακρύουσαι, ἤκουον ἐκ τάφου, Νεανίου λέγοντος, παύσασθε κλαίουσαι. ὅμως, τῇ ὑμῶν σωτηρίᾳ, χαίρουσαι βοήσατε πᾶσιν, ὅτι ἐξεγήγερται ὁ Κύριος.

Ἴσμεν, ὦ εὐσχήμων Ἰωσὴφ, σὲ Χερουβικὸν καθὼς ἅρμα, τὸν Βασιλέα Χριστὸν, ὤμοις σου βαστάζοντα, Σταυροῦ κατάγοντα. μακαρίζομεν χεῖράς σου, καὶ ὄμματα θεῖα, σέβομεν παλάμας σου, δι' ὧν τὸν Ἥλιον, Λόγον καὶ Θεὸν ἐπὶ τάφου, φέρων κατατέθεικας. ὅθεν, καὶ τὴν θείαν μνήμην σου γεραίρομεν.

Ἔφθη ἡ πανήγυρις ἡμῖν, τῶν Θεοπρεπῶν Μυροφόρων, καὶ Ἰωσὴφ τοῦ σεπτοῦ, ἄλλος ὡς Παράδεισος, πηγὴν παρέχων ζωῆς, τὰ τῆς χάριτος νάματα, ὀμβρίζουσα Κόσμῳ. βρύει τῆς ἐγέρσεως, Χριστοῦ τὰ ῥεῖθρα θερμῶς, στίφη τῶν πιστῶν ἑορτάζει, καὶ κραυγάζει· δόξα τῷ δόντι, τὴν αὐτοῦ Ἀνάστασιν τοῖς πέρασι.

Καὶ τοῦ Μηναίου, γ΄.

Δόξα, καὶ νῦν, ἦχος β΄.

Αἱ Μυροφόροι ὄρθριαι γενόμεναι, καὶ τὸ Μνῆμά σου μετὰ σπουδῆς καταλαβοῦσαι, ἐπεζήτουν σε Χριστὲ, πρὸς τὸ μυρίσαι τὸ ἄχραντον σῶμά σου. καὶ τοῦ Ἀγγέλου τοῖς ῥήμασιν ἐνηχηθεῖσαι, χαροποιὰ σύμβολα τοῖς Ἀποστόλοις ἐκήρυττον· ὅτι ἀνέστη ὁ ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν, σκυλεύσας τὸν θάνατον, τῷ δὲ Κόσμῳ δωρούμενος, ζωὴν αἰώνιον καὶ τὸ μέγα ἔλεος.

Εἰς τὸν στ. στ. Ἀναστάσιμον, ἦχος β΄.

Χριστὸς ὁ Σωτὴρ ἡμῶν, τὸ καθ' ἡμῶν χειρόγραφον προσηλώσας, τῷ Σταυρῷ ἐξήλειψε, καὶ τοῦ θανάτου τὸ κράτος κατήργησε, προσκυνοῦμεν αὐτοῦ, τὴν τριήμερον ἔγερσιν.

Στ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς. Κατανυκ.

Κράζω σοι Χριστὲ Σωτὴρ, τοῦ Τελώνου τὴν φωνήν. ἱλάσθητί μοι ὥσπερ ἐκείνῳ, καὶ ἐλέησόν με ὁ Θεός.

Στ. Ἐλέησον ἡμᾶς Κύριε. Μαρτυρ.

Τῶν Ἁγίων Μαρτύρων πρεσβευόντων ὑπὲρ ἡμῶν, καὶ τὸν Χριστὸν ὑμνούντων, πᾶσα πλάνη πέπαυται, καὶ τῶν ἀνθρώπων τὸ γένος πίστει διασώζεται.

Δόξα, καὶ νῦν, ἦχος β΄.

Τί τὰ μύρα τοῖς δάκρυσι μαθήτριαι κιρνᾶτε; ὁ λίθος κεκύλισται. ὁ τάφος κεκένωται. ἴδετε τὴν φθορὰν, τῇ ζωῇ πατηθεῖσαν, τὰς σφραγῖδας μαρτυρούσας τηλαυγῶς. ὑπνοῦντας δεινῶς τοὺς φύλακας τῶν ἀπειθῶν. τὸ θνητὸν σέσωσται σαρκὶ Θεοῦ. ὁ ᾅδης θρηνεῖ. δραμοῦσαι χαρᾷ, εἴπατε τοῖς Ἀποστόλοις· ὁ νεκρώσας Χριστὸς τὸν θάνατον, πρωτότοκος ἐκ νεκρῶν, ὑμᾶς προάγει ἐν τῇ Γαλιλαίᾳ.

Τροπάριον. Ὁ εὐσχήμων Ἰωσήφ.

Δόξα. Ὅτε κατῆλθες.

Καὶ νῦν. Ταῖς Μυροφόροις γυναιξί.

Ἐκτενὴς, καὶ Ἀπόλυσις.

Τῇ Γ΄. τῆς Γ΄. Ἑβδομάδος, εἰς τὸν Ὄρθρον. Μετὰ τὴν α΄. στιχολ. λέγομεν τὰ παρόντα καθίσματα, ἦχος, β΄.

Τὸν κόλπον τὸν ἄχραντον, ἐν ὑψίστοις μὴ κενώσας, ταφὴν καὶ Ἀνάστασιν, ὑπὲρ πάντων κατεδέξω, Κύριε δόξα σοι.

Κατανυκτικόν.

Ἐγὼ ὑπάρχω τὸ δένδρον τὸ ἄκαρπον Κύριε, κατανύξεως καρπὸν μὴ φέρων τὸ σύνολον, καὶ τὴν ἐκκοπὴν πτοοῦμαι, καὶ τὸ πῦρ ἐκεῖνο δειλιῶ τὸ ἀκοίμητον. διὸ σε ἱκετεύω· πρὸ ἐκείνης τῆς ἀνάγκης ἐπίστρεψόν καὶ σῶσόν με.



Δημόσια Βιβλιοθήκη Αμοργού "Μανουσεια"

Μαρτυρικόν.

Οὓς φαιδρύνας τοὺς Ἁγίους σου ὑπὲρ χρυσόν, καὶ δοξάσας τοὺς Ὁσίους σου ὡς ἀγαθός, ὑπ' αὐτῶν δυσωπούμενος Χριστὲ ὁ Θεός, τὴν ζωὴν ἡμῶν εἰρήνευσον ὡς φιλάνθρωπος, καὶ τὴν εὐχὴν κατεύθυνον ὡς θυμίαμα, ὁ μόνος ἐν Ἁγίοις ἀναπαυόμενος. Θτ.

Τοὺς νόμους λαθοῦσα τῆς φύσεως, τῷ θείῳ τόκῳ τὴν παρθενίαν συνήρμοσας. μόνη γὰρ ἔτεκες τὸν πρὸ σοῦ γεννηθέντα ἀχρόνως. διό σε Θεοτόκε μεγαλύνομεν.

Μετὰ δὲ τὴν β΄ Στιχολογίαν, Κάθισμα τῆς Ἑορτῆς.

Ἦχος β΄.

Αἱ Μυροφόροι ὄρθριαι γενόμεναι, καὶ τὸ μνῆμα κενὸν θεασάμεναι, τοῖς Ἀποστόλοις ἔλεγον· τὴν φθορὰν καθεῖλεν ὁ κραταιός, καὶ τοὺς ἐν ᾅδῃ ἥρπασε τῶν δεσμῶν. κηρύξατε παῤῥησίᾳ, ὅτι ἀνέστη Χριστὸς ὁ Κύριος, δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος. Δίς.

Τό, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν΄. Οἱ Κανόνες τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν, εἰς η΄. Καὶ τοῦ Μηναίου, εἰς δ΄. Κοντάκιον, καὶ Ἐξαποστειλάριον τῆς Ἑορτῆς. Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχους δ΄. καὶ ψάλλομεν τὰ Στιχηρὰ τῆς Ὀκτωήχου, Ἦχος β΄. Δίς.

Εἰπάτωσαν Ἰουδαῖοι, πῶς οἱ στρατιῶται ἀπώλεσαν, τηροῦντες τὸν Βασιλέα. διατί γὰρ ὁ λίθος οὐκ ἐφύλαξε τὴν πέτραν τῆς ζωῆς; ἢ τὸν ταφέντα δότωσαν, ἢ ἀναστάντα προσκυνείτωσαν, λέγοντες σὺν ἡμῖν· δόξα τῷ πλήθει τῶν οἰκτιρμῶν σου, Σωτὴρ ἡμῶν δόξα σοι. Κατανυκτικόν.

Ἀσωμίας μου πάριδε Κύριε, ὁ ἐκ Παρθένου τεχθείς, καὶ τὴν καρδίαν μου καθάρισον, Ναὸν αὐτὴν ποιῶν τοῦ Ἁγίου σου Πνεύματος· μή με ἐξουδενώσῃς ἀπὸ τοῦ σοῦ προσώπου, ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος.

Μαρτυρικόν.

Τὸν Σταυρὸν τοῦ Χριστοῦ λαβόντες οἱ ἅγιοι Μάρτυρες, ὅπλον ἀκαταγώνιστον, πᾶσαν τοῦ διαβόλου τὴν ἰσχὺν κατήργησαν, καὶ λαβόντες στέφος οὐράνιον, τεῖχος ἡμῖν γεγόνασιν, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύοντες.

Καὶ τοῦ Μηναίου, γ΄.

Δόξα, καὶ νῦν, Ἦχος β΄.

Αἱ Μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἀρώματα λαβοῦσαι, τοῦ Κυρίου τὸν τάφον κατέλαβον· ἅπερ δὲ οὐκ ἤλπιζον ἀθροῦσαι, διελογίζοντο τὸ εὐλαβούμεναι τοῦ λίθου τὴν μετάθεσιν, καὶ πρὸς ἀλλήλας διελέγοντο· ποῦ εἰσιν αἱ σφραγῖδες τοῦ Μνήματος; ποῦ ἐστιν ἡ τοῦ Πιλάτου κουστωδία, καὶ ἀκριβὴς ἀσφάλεια; γέγονε δὲ μήνυμα τῆς τῶν ἀπορουσῶν γυναικῶν, ἐξαστράπτων Ἄγγελος, καὶ φάσκων πρὸς αὐτάς· τί μετὰ θρήνων ζητεῖτε τὸν ζῶντα, καὶ ζωοποιήσαντα τὸ γένος τῶν βροτῶν; ἐξηγέρθη Χριστὸς ὁ Θεὸς ἡμῶν, ἐκ νεκρῶν ὡς Παντοδύναμος, παρέχων πᾶσιν ἡμῖν, ἀφθαρσίαν καὶ ζωήν, φωτισμὸν καὶ τὸ μέγα ἔλεος.

Εἰς τὸν Στ. Στ. τῆς Ἑορτῆς, Ἦχος β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ἔλαμψε, τὸ τρισήλιον ἐν γῇ, σήμερον φαιδρῶς ἐξαστράπτει, καὶ ζόφον αἴρει παθῶν. φαίνει ἡ Ἀνάστασις, Χριστοῦ φρουροῦσα πιστούς· Ἀποστόλων χορεύουσι, τὰ τάγματα πόθῳ· Ἰωσὴφ εὐφραίνεται, καὶ Μυροφόρων σεπτῶν, μνήμη, τῇ φαιδρᾷ καταστέφει, τοὺς αὐτὸν πιστῶς εὐφημοῦντας, καὶ τὴν θείαν ἔγερσιν δοξάζοντας.

Στίχ. Εὐδόκησας Κύριε τὴν γῆν σου.

Ἤρας ἐπὶ ὤμων Ἰωσήφ, τὸν ἐν δεξιᾷ τῇ πατρῴᾳ, Υἱὸν καθήμενον, μύρον τὸ ἀκένωτον, μύροις ἐκήδευσας, τὴν τοῦ Κόσμου Ἀνάστασιν, προτέθεικας τάφῳ, τὸν ἀναβαλλόμενον, φῶς ὡς ἱμάτιον, λίθῳ συγκαλύπτεις ἀφράστως. ὅθεν τοῦτον μέλπομεν ὕμνοις, τὰ φωσφόρα πάθη καὶ τὴν ἔγερσιν.

Στίχ. Ἔλεος καὶ ἀλήθεια συνήντησαν.

Φρίττει τῶν Ἀγγέλων ἡ πληθύς, καὶ σὲ Ἰωσὴφ καθορῶσα, Χριστὸν κηδεύοντα, Κόσμος μακαρίζει σε, πιστοὶ θαυμάζομεν, τὴν σεπτήν τε Ἀνάστασιν, τιμῶντες ἐνθέως, καὶ σὺν Μυροφόροις σε, θερμῶς γεραίρομεν. ὅθεν καὶ βοῶμεν ἀπαύστως· πρέσβευε σὺν ταύταις σωθῆναι, καὶ ἡμᾶς κινδύνων τε καὶ θλίψεων.

Δόξα, καὶ νῦν, Ἦχος πλ. α΄.

Μετὰ φόβου ἦλθον αἱ γυναῖκες, ἐπὶ τὸ μνῆμα, ἀρώμασι τὸ σῶμά σου μυρίσαι σπουδάζουσαι· καὶ τοῦτο μὴ εὑροῦσαι, διηπόρουν πρὸς ἀλλήλας, ἀγνοοῦσαι τὴν Ἀνάστασιν. ἀλλ' ἐπέστη αὐταῖς Ἄγγελος καὶ εἶπεν· ἀνέστη Χριστὸς δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών "Εμμανουήλ Μανουσείου"

Τῇ Γ΄. τῆς Γ΄. Ἑβδομάδος, Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ς΄. καὶ ψάλλομεν τὰ παρόντα στ. τῆς Ἑορτῆς, γ΄. καὶ τοῦ Μηναίου, γ΄. τῆς Ἑορτῆς, Ἦχος, β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Χαίρουσι Μαθήτριαι Χριστοῦ, τῶν ἐκ τοῦ Ἀγγέλου ῥημάτων, ἐπακροώμεναι. ὅθεν τὴν Ἀνάστασιν, τοῦ δι' ἡμᾶς ἐν νεκροῖς, λογισθέντος πιστούμεναι, κἂν πρὶν Μυροφόροι, τάφῳ παρεστήκεισαν, καὶ θρηνῳδοῦσαι Χριστὸν, λίθον, ἀναβλέψασαι τοῦτον, ἀποκυλισθέντα ἀθρόον, οὗ διηπόρουν τὴν μετάθεσιν.

Ἄληκτον καὶ θείαν χαρμονὴν, ἐπιχορηγοῦσαι τοῖς θείοις, καὶ Ἱεροῖς Μαθηταῖς, ὤφθησαν Μαθήτριαι, αἱ Μυροφόροι Χριστοῦ, ἐκπληροῦσαι τὸ κέλευσμα, τοῦ θείου Ἀγγέλου, οὗ ἐξεθαμβήθησαν, τὴν λαμπροφόρον στολὴν, λέγουσαι ἐσκύλευται ᾅδης, τῇ παμσωστικῇ Ἀναστάσει, τοῦ ὑπὲρ ἡμῶν θανέντος Ἄνακτος.

Ῥεῖθρα δακρυρρόου ἐκ πηγῆς, θρῆνον ἀναστείλασαι θεῖαι, Χριστοῦ Μαθήτριαι, ῥήματα χαρμόσυνα, διαπορθμεύουσι νῦν, τοῖς αὐτόπταις τῆς χάριτος, μηνύουσαι τούτοις, τὴν τοῦ Λόγου ἔγερσιν, καὶ τὴν ἐκ τάφου χαράν. ὅθεν, τὴν ἀντίθετον λύπης, ἤκουον φωνὴν παραδόξως, ταύταις τὴν τὸ Χαίρετε προστάττουσαν.

Καὶ τοῦ Μηναίου, γ΄.

Δόξα, καὶ νῦν, Ἦχος, πλ. β΄.

Αἱ Μυροφόροι γυναῖκες, τὸν τάφον σου καταλαβοῦσαι, καὶ τὰς σφραγῖδας τοῦ Μνήματος ἰδοῦσαι, μὴ εὑροῦσαι δὲ τὸ ἄχραντον Σῶμά σου, ὀδυρόμεναι μετὰ σπουδῆς ἦλθον λέγουσαι· τίς ἔκλεψεν ἡμῶν τὴν ἐλπίδα; τίς εἴληφε νεκρὸν γυμνὸν, ἐσμυρνισμένον, τῆς Μητρὸς μόνης παραμύθιον; ὢ πῶς ὁ νεκροὺς ζωώσας τεθανάτωται; ὁ τὸν ᾅδην σκυλεύσας, πῶς τέθαπται; ἀλλ' ἀνάστηθι Σωτὴρ αὐτεξουσίως, καθὼς εἶπας τριήμερος, σῴζων τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στ. στ. Σταυρώσιμον, Ἦχος, β΄.

Σῶσόν με Χριστὲ Σωτὴρ, τῇ δυνάμει τοῦ Σταυροῦ, ὁ σώσας Πέτρον ἐν τῇ θαλάσσῃ, καὶ ἐλέησόν με ὁ Θεός.

στ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς. Ἀναστάσ.

Τὴν Ἀρχαγγέλοις ὑμνήσωμεν, Χριστοῦ τὴν Ἀνάστασιν. αὐτὸς γὰρ λυτρωτής ἐστι, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ ἐν δόξῃ φοβερᾷ, καὶ κραταιᾷ δυνάμει, πάλιν ἔρχεται, κρῖναι Κόσμον ὃν ἔπλασεν.

στ. Ἐλέησον ἡμᾶς Κύριε. Μαρτυρ.

Χοροὶ Μαρτύρων ἀντέστησαν, τοῖς τυράννοις λέγοντες· ἡμεῖς στρατευόμεθα τῷ Βασιλεῖ τῶν Δυνάμεων· εἰ καὶ πυρὶ καὶ βασάνοις παραδώσετε ἡμᾶς, οὐκ ἀρνούμεθα τῆς Τριάδος τὴν δύναμιν.

Δόξα, καὶ νῦν, Ἦχος, πλ. β΄.

Ἠτήσατο Ἰωσὴφ τὸ Σῶμα τοῦ Ἰησοῦ, καὶ ἀπέθετο ἐν τῷ καινῷ αὐτοῦ Μνημείῳ. ἔδει γὰρ αὐτὸν ἐκ τάφου ὡς ἐκ παστάδος προελθεῖν· ὁ συντρίψας κράτος θανάτου, καὶ ἀνοίξας πύλας Παραδείσου, ἀνθρώποις δόξα σοι.

Τροπάρια, τὰ συνήθη.

Τῇ Δ΄. τῆς Γ΄. Ἑβδομάδος, εἰς τὸν Ὄρθρον. Μετὰ τὴν α΄. στιχολ. καθ. Ἦχος, β΄.

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς Χριστὲ ὁ Θεὸς, ἐπὶ Σταυροῦ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας, ἐπισυνάγων πάντα τὰ Ἔθνη κράζοντα· Κύριε δόξα σοι.

Ἀναστὰς ἐκ τοῦ Μνήματος, καὶ τὰ δεσμὰ διαρρήξας τοῦ ᾅδου, ἔλυσας τὸ κατάκριμα, τοῦ θανάτου Κύριε, πάντας ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ ῥυσάμενος, ἐμφανίσας ἑαυτὸν τοῖς Ἀποστόλοις σου, ἐξαπέστειλας αὐτοὺς ἐπὶ τὸ κήρυγμα· καὶ δι' αὐτῶν τὴν εἰρήνην σου παρέχεις πάσῃ τῇ Οἰκουμένῃ, μόνε πολυέλεε. Μαρτυρικόν.

Ἀθλοφόροι Κυρίου, μακαρία ἡ γῆ ἡ πιανθεῖσα τοῖς αἵμασιν ὑμῶν, καὶ ἅγιαι αἱ σκηναὶ αἱ δεξάμεναι τὰ σώματα ὑμῶν. ἐν σταδίῳ γὰρ τὸν ἐχθρὸν ἐθριαμβεύσατε, καὶ Χριστὸν μετὰ παρρησίας ἐκηρύξατε. αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν. Σταυροθεοτ.

Παρεστῶσα τῷ Σταυρῷ σου ἡ ἀσπόρως τεκοῦσά σε, καὶ μὴ φέρουσα ὁρᾶν ἀδίκως πάσχοντα, ὠλοφύρετο κλαυθμῷ καὶ ἀνεβόα σοι· πῶς πάσχεις ὁ τῇ φύσει ἀπαθὴς γλυκύτατε Υἱέ; ὑμνῶ σου τὴν ἄκραν ἀγαθότητα.

Μετὰ τὴν β΄. Στιχολ. Κάθισμα. Ἦχος, β΄.

Εὐσπλαγχνίας.

Πρὸς τὸ μνῆμά σου Σῶτερ, αἱ σεπταὶ Μυροφόροι ἐλθοῦσαι, τὸν Δεσπότην ἀλεῖψασαι μύροις, ὡς βροτόν σε κατηπείγοντο. Ἄγγελος δὲ αὐταῖς χαρὰν ἐμήνυσεν, ἀνέστη ὁ Κύριος. διὸ καὶ κηρύξατε Ἀποστόλοις, τὴν ἐκ τάφου ὄντως φρικτὴν, τούτου Ἐξανάστασιν.

Τό, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν΄. Οἱ Κανόνες τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν, εἰς η΄. Καὶ τοῦ Μηναίου, εἰς δ΄. Κοντάκιον, καὶ Ἐξαποστειλάριον, τῆς Ἑορτῆς. Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν τὰ παρόντα, ἦχος, β΄. Σταυρώσιμον.

Ἑκουσίως πτωχεύσας, τὴν πτωχείαν τοῦ Ἀδὰμ Χριστὲ ὁ Θεός, ἦλθες ἐπὶ γῆς ἐκ Παρθένου σαρκωθείς. καὶ Σταυρὸν κατεδέξω, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῆς δουλείας τοῦ ἐχθροῦ, Κύριε δόξα σοι.

Ἀναστάσιμον. Δίς.

Χαίρετε Λαοὶ καὶ ἀγαλλιᾶσθε, Ἄγγελος ἐκάθισεν εἰς τὸν λίθον τοῦ Μνήματος. αὐτὸς ἡμᾶς εὐηγγελίσατο εἰπών. Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ὁ Σωτὴρ τοῦ Κόσμου, καὶ ἐπλήρωσε τὰ σύμπαντα εὐωδίας. χαίρετε Λαοὶ καὶ ἀγαλλιᾶσθε.

Μαρτυρικόν.

Τῶν Ἁγίων σου τὰ πλήθη δυσωποῦσί σε Χριστέ, ἐλέησον ἡμᾶς ὡς φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Ἦχος, α΄.

Μετὰ φόβου ἦλθον αἱ γυναῖκες, ἐπὶ τὸ Μνῆμα, ἀρώματα τὸ Σῶμά σου μυρίσαι σπουδάζουσαι. καὶ τοῦτο μὴ εὑροῦσαι, διηπόρουν πρὸς ἀλλήλας, ἀγνοοῦσαι τὴν Ἀνάστασιν. ἀλλ' ἐπέστη αὐταῖς Ἄγγελος, καὶ εἶπεν· ἀνέστη Χριστός, δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχ. Στιχ. Προσόμοια, ἦχος, β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ἆρα, ἐν νεκροῖς ὁ λυτρωτής, θρηνώδοις Μυροφόροι ἐβόων, Χριστοῦ Μαθήτριαι. Ἥλιος δ' ὁ μέγιστος, μέχρι καὶ νῦν ὑπὸ γῆν, ἢ ἀνέστη ὡς ἔφησε; καὶ οὕτω κλαιούσαις, ἐκ τοῦ τάφου Ἄγγελος, τὴν θείαν ὄντως χαρὰν, ἔφη, ὁ Χριστὸς ἐξανέστη, δράμετε κηρύξατε πᾶσι, τούτου τὴν ἐκ τάφου θείαν ἔγερσιν.

Στίχ. Εὐδόκησας Κύριε τὴν γῆν σου.

Μύρα, ἑτοιμάσασαι σεπτά, ἔτι τῆς σκοτίας ἐνούσης, τῇ τῶν Σαββάτων μιᾷ, ἦλθον πρὸς τὸ Μνῆμά σου, αἱ Μυροφόροι Χριστέ, τοῦ μυρίσαι τὸ ἄχραντον, καὶ θεῖόν σου Σῶμα. ὅθεν τὴν Ἀνάστασιν, καταμαθοῦσαι τὴν σήν, ἔσπευδον μηνῦσαι καὶ Μύσταις. αἷς προϋπαντήσας ἐκ τάφου, χαίρετε βοᾷς φιλανθρωπότερον.

Στίχ. Ἔλεος καὶ ἀλήθεια συνηντήσαν.

Ὕψιστον Θεὸν ἐπὶ τῆς γῆς, ἐνταφιασθέντα ὡς νεκρόν, μυρίσειν σπουδῇ, τούτου αἱ Μαθήτριαι, δι' ἀρωμάτων σεπτῶν καὶ ἐν τάφῳ καθήμενον, καινὸν νεανίαν, βλέψασαι ἐξέστησαν, ἐν ἀστραπτούσῃ μορφῇ. ὅθεν, τὴν ἐκ τάφου τοῦ Λόγου, ἔγερσιν τριήμερον γνοῦσαι, καὶ τοῖς Ἀποστόλοις κατεμήνυον.

Δόξα, καὶ νῦν. Ἦχος, πλ. α΄.

Σὲ τὸν ἀναβαλλόμενον τὸ φῶς ὥσπερ ἱμάτιον, καθελὼν Ἰωσὴφ ἀπὸ τοῦ ξύλου σὺν Νικοδήμῳ, καὶ θεωρήσας νεκρόν, γυμνὸν ἄταφον, εὐσυμπάθητον θρῆνον ἀναλαβών, ὀδυρόμενος ἔλεγεν· οἴμοι, γλυκύτατε Ἰησοῦ, ὃν πρὸ μικροῦ ὁ Ἥλιος ἐν Σταυρῷ κρεμάμενον θεασάμενος, ζόφον περιεβάλλετο, καὶ ἡ γῆ τῷ φόβῳ ἐκυμαίνετο, καὶ διερρήγνυτο Ναοῦ τὸ καταπέτασμα. ἀλλ' ἰδοὺ νῦν βλέπω σε, δι' ἐμὲ ἑκουσίως ὑπελθόντα θάνατον. πῶς σε κηδεύσω Θεέ μου; ἢ πῶς σινδόσιν εἱλήσω; ποίαις χερσὶ δὲ προσψαύσω τὸ σὸν ἀκήρατον Σῶμα; ἢ ποῖα ᾄσματα μέλψω τῇ σῇ ἐξόδῳ Οἰκτίρμον, μεγαλύνω τὰ πάθη σου, ὑμνολογῶ καὶ τὴν ταφήν σου, σὺν τῇ Ἀναστάσει κραυγάζων, Κύριε δόξα σοι.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου. καὶ Ἀπόλυσις.

Τῇ Δ΄. τῆς Γ΄. Ἑβδομάδος, Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, στίχ. τῆς Ἑορτῆς, γ΄. καὶ τοῦ Μηναίου, γ΄. τῆς Ἑορτῆς, ἦχος, β.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ῥήματα ἀκούσασαι χαρᾶς, ἐκ τοῦ ἐν τῷ Μνήματι Λόγου, προσκαθημένων Νοῶν, δρόμον ἐπεδείξαντο, σπουδαιοτέρας ὁρμῆς, καὶ τὴν τάξιν ἀφέμεναι, τῶν πεν



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσειος"

Μυροφόρων, ὡς εὐαγγελίστριαι, ἐθεωρήθησαν, ἔγερσιν ἐξ ᾅδου καθμώμων, εὐαγγελιζόμεναι Μύσταις, τοῦ ὑπὲρ ἡμῶν ἐνανθρωπήσαντος.

Ὄρθρον προλαβοῦσαι τὸν βαθύν, φόβῳ Μυροφόροι γυναῖκες, τάφῳ παρέστησαν, μύρα προσκομίζουσαι, τῷ ζωοδότῃ Χριστῷ, ἐν νεκροῖς λογιζόμεναι, τὸν ᾅδην νεκροῦντα. ἀλλὰ θεῖος Ἄγγελος, ἐπέστη ταύταις βοῶν· τί τὸν ζωηφόρον καὶ ζῶντα, μετὰ τῶν νεκρῶν ἐκζητεῖτε; ἄπιτε τὴν ἔγερσιν κηρύττουσαι.

Φέρεις τὸν ἐπ᾽ ὤμων Χερουβὶμ, ἐπαναπαυόμενον τούτων, μακαριστὲ Ἰωσήφ, ἄλλον ὥσπερ ὄχημα, ἐπὶ τῶν ὤμων τῶν σῶν, σαρκωθέντα τὸ πρότερον, καὶ νῦν νεκρωθέντα, ὃς ἐζωοποίησε, τοὺς νεκρωθέντας ἡμᾶς, οὗ τὴν ἐξανάστασιν βλέπων, χαίροις σὺν σεπταῖς Μυροφόροις, κἂν προεθρήνει τούτου νέκρωσιν.

Δόξα, καὶ νῦν. ἦχος, α΄.

Ἦλθον ἐπὶ τὸ Μνημεῖον, ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία, ζητοῦσαι τὸν Κύριον, καὶ τὸν Ἄγγελον εἶδον ἀστραπήν, καθεζόμενον ἐπὶ τὸν λίθον, καὶ λέγοντα αὐταῖς· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν τεθνεώτων; ἀνέστη καθὼς εἶπεν, ἐν Γαλιλαίᾳ αὐτὸν εὑρήσετε· πρὸς ὃν βοήσωμεν. ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Εἰς τὸν π. στιχηρὸν Ἀναστάσιμον τῆς Ὀκτωήχου, ἦχος, β΄.

Ἡ Ἀνάστασίς σου Χριστὲ Σωτήρ, ἅπασαν ἐφώτισε τὴν Οἰκουμένην, καὶ ἀνεκαλέσω τὸ ἴδιον πλάσμα, Παντοδύναμε Κύριε δόξα σοι.

Ἀποστολικόν.

Ἐμεγάλυνας Σωτήρ, ἐν τῇ Οἰκουμένῃ τῶν κορυφαίων Ἀποστόλων τὰ ὀνόματα. ἔμαθον τῶν Οὐρανῶν τὰ ἄρρητα, ἔδωκαν τοῖς ἐπὶ γῆς ἰάματα, καὶ αἱ σκιαὶ αὐτῶν μόναι τὰ πάθη ἐθεράπευον. ὁ ἐξ ἁλιέων ἐθαυματούργει, καὶ ὁ ἐξ Ἰουδαίων ἐθεολόγει, τῆς χάριτος τὰ δόγματα. δι᾽ ὧν Εὔσπλαγχνε, δὸς ἡμῖν τὸ μέγα σου ἔλεος.

Μαρτυρικόν.

Μεγάλη ἡ δόξα, ἣν ἐκτήσασθε Ἅγιοι διὰ τῆς Πίστεως. οὐ μόνον γὰρ ἐν τῷ πάσχειν τὸν ἐχθρὸν ἐνικήσατε, ἀλλὰ καὶ μετὰ θάνατον πνεύματα ἀπελαύνετε, ἀσθενοῦντας θεραπεύετε, ψυχῶν καὶ σωμάτων ἰατροί. πρεσβεύσατε πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν, ἦχος, β΄.

Ἔρραναν μύρα μετὰ δακρύων, ἐπὶ τὸ Μνῆμά σου αἱ γυναῖκες, καὶ ἐπλήσθη χαρᾶς τὸ στόμα αὐτῶν, ἐν τῷ λέγειν, ἀνέστη ὁ Κύριος.

Τὰ συνήθη Τροπάρια, καὶ Ἀπόλυσις.

## Τῇ Ε΄. τῆς Γ΄. Ἑβδομάδος, εἰς τὸν Ὄρθρον.

Μετὰ τὴν α΄. στιχολ. λέγομεν καθ. ἦχος, β΄.

Ὑπερευλογημένη.

Τὰ μύρα τῆς ταφῆς σου, αἱ γυναῖκες κομίσασαι, λαθραίως πρὸς τὸ Μνῆμα παρεγένοντο ὄρθριαι, τῶν Ἰουδαίων δειλιῶσαι τὴν αὐθάδειαν, καὶ στρατιωτῶν προορῶσαι τὴν ἀσφάλειαν. ἀλλὰ φύσις ἀσθενοῦς τὴν ἀνδρείαν ἐνίκησεν, ὅτι γνώμη συμπαθὴς τῷ Θεῷ εὐηρέστησε. προσφόρως οὖν ἐκραύγαζον· ἀνάστα Κύριε βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου.

Ὁ σοφίσας ὑπὲρ ῥήτορας τοὺς ἁλιεῖς, καὶ ἐκπέμψας ὥσπερ κήρυκας πάσῃ τῇ γῇ, τῇ ἀφάτῳ φιλανθρωπίᾳ σου, Χριστὲ ὁ Θεός, δι᾽ αὐτῶν κραταίωσον τὴν Ἐκκλησίαν σου, καὶ τοῖς Πιστοῖς κατάπεμψον τὴν εὐλογίαν σου, ὁ μόνος ἐλεήμων καὶ φιλάνθρωπος.

Μαρτυρικόν.

Ἀπόστολοι, Μάρτυρες, καὶ Προφῆται, Ἱεράρχαι, Ὅσιοι, καὶ Δίκαιοι, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ τὴν Πίστιν τηρήσαντες, παῤῥησίαν ἔχοντες πρὸς τὸν Σωτῆρα, ὑπὲρ ἡμῶν αὐτὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Θείας γεγόναμεν κοινωνοὶ φύσεως, διὰ σοῦ Θεοτόκε Παρθένε. Θεὸν γὰρ ἡμῖν σεσαρκωμένον ἔτεκες. διὸ κατὰ χρέος σε πάντες, εὐσεβῶς μεγαλύνομεν.

Μετὰ τὴν β΄. στιχολ. καθ. ἦχος, β΄.

Τὰ ἄνω ζητῶν.

Τὰ μύρα Σωτήρ, γυναῖκες προσφέρουσαι, ἐζήτουν σπουδῇ, μυρίσαι σε φιλάνθρωπε. ἐκ τοῦ τάφου δὲ Ἄγγελος, πρὸς αὐτὰς ἐβόα· ἐγήγερται, ὁ ζωοδότης καὶ Κύριος, πατήσας τὸν ᾅδην καὶ τὸν θάνατον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δίς.

Το, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν'. Ψάλλομεν δὲ τὸν Κανόνα τῆς Ἑορτῆς, καὶ τὴν λοιπὴν Ἀκολουθίαν, ὡς προεγράφη.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχ. δ'. καὶ ψάλλομεν τὰ παρόντα, Ἦχος, β'.

Ἄγγελος μὲν τὸ Χαῖρε, πρὸ τῆς σῆς συλλήψεως Κύριε, τῇ Κεχαριτωμένῃ ἐκόμισεν. Ἄγγελος δὲ τὸν λίθον τοῦ ἐνδόξου σου Μνήματος, ἐν τῇ σῇ Ἀναστάσει ἐκύλισεν. ὁ μὲν ἀντὶ τῆς λύπης, εὐφροσύνης σύμβολα μηνύων· ὁ δὲ ἀντὶ θανάτου, Δεσπότην ζωοδότην κηρύττων ἡμῖν. διὸ βοῶμέν σοι· εὐεργέτα τῶν ἁπάντων, Κύριε δόξα σοι. Δίς.

Ἀποστολικόν.

Οἱ ἐξ ἀδίκων πράξεων πάντοθεν πολεμούμενοι, καὶ πρὸς σὲ καταφεύγοντες, τὸν ὄντως ὄντα Θεόν, τὴν φωνὴν τῶν σῶν Μαθητῶν προσφέρομέν σοι λέγοντες· σῶσον ἡμᾶς, Ἐπιστάτα, ἀπολλύμεθα. δεῖξον καὶ νῦν τοῖς ἐχθροῖς ἡμῶν δεόμεθα, ὅτι σκέπεις Λαόν, καὶ σώζεις ἐκ κινδύνων, τῇ πρεσβείᾳ τῶν Ἀποστόλων, παρορῶν ἁμαρτίας διὰ πολλὴν ἀγαθότητα Κύριε.

Μαρτυρικόν.

Πᾶσα πόλις καὶ χώρα, τιμᾷ ὑμῶν τὰ λείψανα, ὦ ἀθλοφόροι Μάρτυρες. ὑμεῖς γὰρ νομίμως ἀθλήσαντες, στέφανον οὐράνιον ἐλάβετε. καὶ διὰ τοῦτο Ἱερέων ἐστὲ τὸ καύχημα, Βασιλέων τὸ νῖκος, Ἐκκλησιῶν ἡ εὐπρέπεια.

Δόξα, καὶ νῦν, Ἦχος, β'.

Αἱ Μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἀρώματα λαβοῦσαι, τοῦ Κυρίου τὸν τάφον κατέλαβον, ἅπερ δὲ οὐκ ἤλπιζον εὑροῦσαι, διελογίζοντο εὐλαβούμεναι τοῦ λίθου τὴν μετάθεσιν, καὶ πρὸς ἀλλήλας διελέγοντο· ποῦ εἰσιν αἱ σφραγῖδες τοῦ μνήματος; ποῦ ἐστιν ἡ τοῦ Πιλάτου κουστωδία, καὶ ἀκριβὴς ἀσφάλεια; γέγονε δὲ μηνυτὴς τῶν ἀγνοουσῶν γυναικῶν, ἐξαστράπτων Ἄγγελος, καὶ λέγων πρὸς αὐτάς. τί μετὰ θρήνων ζητεῖτε τὸν ζῶντα, καὶ ζωοποιήσαντα τὸ γένος τῶν βροτῶν; ἐξηγέρθη Χριστὸς ὁ Θεὸς ἡμῶν ἐκ νεκρῶν ὡς παντοδύναμος, παρέχων πᾶσιν ἡμῖν ἀφθαρσίαν καὶ ζωὴν, φωτισμὸν καὶ τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχ. Στιχ. Προσόμοια, Ἦχος, β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε, ἐξανέστης ὡς Θεός, τότε χαίρειν δέδωκας Λόγε, ταῖς Μυροφόροις εἰπών· οὔπω ἀναβέβηκα πρὸς τὸν Πατέρα μου, καὶ λοιπὸν μή μου ἅπτεσθε. πορεύεσθε μόνον, εἴπατε τοῖς φίλοις μου, ἰδοὺ προάγει ὑμᾶς. ὅθεν, μετὰ ταῦτα ὡράθης, καὶ δι' ἐμφυσήματος τούτοις, δέδωκας Σωτὴρ Πνεῦμα τὸ ἅγιον. Στίχ. Εὐδόκησας Κύριε.

Ρήσεις, Μυροφόρων γυναικῶν, τὰς ἐκ τῶν νεκρῶν κηρυττούσας, Χριστοῦ Ἀνάστασιν, Μύσται μὴ πιστεύσαντες, ἔσπευσαν Μνῆμα ἰδεῖν. καὶ σινδόνα καὶ σουδάριον, ὁρᾶται τῷ τάφῳ, ὁ δ' αὐτὸς ζητούμενος, οὐχὶ τεθέαται. ὅθεν, τὴν Ἀνάστασιν γνόντες, κήρυκες ὁρῶνται ἐν Κόσμῳ, ταύτην καὶ τοῖς Ἔθνεσι μηνύοντες.

Στίχ. Ἔλεος καὶ ἀλήθεια.

Ὤφθη, φῶς ἀπρόσιτον ἡμῖν, λάμπων ἀπὸ τάφου ὡραῖος, Χριστὸς ὁ Κύριος. ᾅδης ᾐχμαλώτισται, Σατὰν ἠφάνισται. χαίρει Κόσμου τὰ πέρατα, χορεύει ἡ Κτίσις· μέλπει ἑορτάζουσα, ἡ Ἐκκλησία Χριστοῦ, μνήμην Ἰωσὴφ τοῦ πανσόφου, καὶ τῶν Μυροφόρων σὺν τούτῳ, γυναικῶν γεραίρει τὴν πανήγυριν.

Δόξα, καὶ νῦν, Ἦχος, β'.

Τί τὰ μύρα τοῖς δάκρυσι μαθήτριαι κιρνᾶτε; ὁ λίθος κεκύλισται, ὁ τάφος κεκένωται. ἴδετε τὴν φθορὰν τῇ ζωῇ πατηθεῖσαν. τὰς σφραγῖδας μαρτυρούσας τηλαυγῶς. ὑπνοῦντας δεινῶς τοὺς φύλακας τῶν ἀπειθῶν. τὸ θνητὸν σέσωσται σαρκὶ Θεοῦ. ὁ ᾅδης θρηνεῖ. δραμοῦσαι χαρᾷ, εἴπατε τοῖς Ἀποστόλοις· ὁ νεκρώσας Χριστὸς τὸν θάνατον, πρωτότοκος ἐκ νεκρῶν, ὑμᾶς προάγει ἐν τῇ Γαλιλαίᾳ.

Τῇ Ε'. τῆς Γ'. Ἑβδομάδος. Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχ. ς'. καὶ ψάλλομεν Στιχηρὰ τῆς Ἑορτῆς, γ'. καὶ τοῦ Μηναίου γ'. τῆς Ἑορτῆς, Ἦχος, πλ. δ'.

Ὢ τοῦ παραδόξου θαύματος.

Χριστοῦ φανέντος τοῖς ἴχνεσιν, ἀκολουθοῦσαι σεμναί, καὶ αὐτὸν θεραπεῦσαι, γνώμης προθυμότατα, Μυροφόροι ἀ-



Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας

θύτητι, οὐδὲ θανόντα τοῦτον ἐλίπετε. ἀλλ' ἀπελθοῦσαι μύρα σὺν δάκρυσιν, ἀπεκομίσατε, συμπαθῶς κινούμεναι. ὅθεν ὑμῶν, μνήμην τὴν πανίερον, πανηγυρίζομεν.

Εἴων γυναικῶν κατάλογος, βλέψαι ποθῶν τὴν ζωὴν, νεκρωθεῖσαν ἐν μνήματι, νυκτὸς παρεγένετο, καὶ Ἀγγέλων ἀκήκοε· καθὼς προέφη, Χριστὸς ἐγήγερται· σπουδῇ τοῖς τούτου Μαθηταῖς εἴπατε. καὶ τὴν κατήφειαν, ἐκ ψυχῆς ἀπώσασθε, ἀντὶ κλαυθμοῦ, χαρὰν ἀνεκλάλητον, ἀναλαβόμεναι.

Ἡμέρον Πιστοὶ χορεύσωμεν, ἐπὶ τῇ μνήμῃ ὑμῶν, Μυροφόροι δοξάζοντες, τὸν ὑμᾶς δοξάσαντα, ὑπεράγαθον Κύριον. ὃν δυσωπεῖτε ἀπαύστως πάνσεμνοι, αἰωνιζούσης δόξης τυχεῖν ἡμᾶς, καὶ τῆς λαμπρότητος, τῶν Ἁγίων ἔχουσαι, τὴν πρὸς αὐτὸν, παρρησίαν πάντοτε, Θεομακάριστοι.

Δόξα, καὶ νῦν, Ἦχος, β.

Αἱ Μυροφόροι ὄρθριαι γενόμεναι, καὶ τὸ μνῆμά σου μετὰ σπουδῆς καταλαβοῦσαι, ἐπεζήτουν σε Χριστὲ, πρὸς τὸ μυρίσαι τὸ ἄχραντον Σῶμά σου, καὶ τοῦ Ἀγγέλου τοῖς ῥήμασιν ἐνηχηθεῖσαι, χαροποιὰ σύμβολα τοῖς Ἀποστόλοις ἐκήρυττον· ὅτι ἀνέστη ὁ ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν, σκυλεύσας τὸν θάνατον, τῷ δὲ Κόσμῳ δωρούμενος, ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Εἰς τὸν ἀ. Κ. Σταυρώσιμον. Ἦχος, β.

Σταυρωθήτω ἔκραζον, οἱ τῶν σῶν χαρισμάτων ἀεὶ ἐντρυφῶντες· καὶ κακοῦργον ἀντ' εὐεργέτου, ᾐτοῦντο λαβεῖν οἱ τῶν δικαίων φονευταί. ἐσιώπας δὲ Χριστὲ, φέρων αὐτῶν τὴν προπέτειαν, παθεῖν θέλων, καὶ σῶσαι ἡμᾶς, ὡς φιλάνθρωπος.

Ἀναστάσιμον.

Ὃν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα, τὸν Θεὸν Λόγον σαρκωθέντα ἐκ Παρθένου Μαρίας, δεῦτε προσκυνήσωμεν. Σταυρὸν γὰρ ὑπομείνας, τῇ ταφῇ παρεδόθη, ὡς αὐτὸς ἠθέλησε. καὶ ἀναστὰς ἐκ νεκρῶν, ἔσωσέ με τὸν πλανώμενον ἄνθρωπον.

Μαρτυρικόν.

Αἱ τὴν ἐπίγειον ἀπόλαυσιν μὴ ποθήσαντες, Ἀθλοφόροι, οὐρανίων ἀγαθῶν ἠξιώθησαν, καὶ Ἀγγέλων συμπολῖται γεγόνασι. Κύριε πρεσβείαις αὐτῶν ἐλέησον καὶ σῶσον ἡμᾶς.

Δόξα, καὶ νῦν, Ἦχος, πλ. β'.

Ἠτήσατο Ἰωσὴφ τὸ Σῶμα τοῦ Ἰησοῦ, καὶ ἀπέθετο ἐν τῷ καινῷ αὐτοῦ Μνημείῳ. ἔδει γὰρ αὐτὸν ἐκ τάφου, ὡς ἐκ παστάδος προελθεῖν· ὁ συντρίψας κράτος θανάτου, καὶ ἀνοίξας πύλας Παραδείσου, ἀνθρώποις δόξα σοι.

Τὰ συνήθη Τροπάρια, καὶ Ἀπόλυσις.

Τῇ Παρασκευῇ εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. Στιχολ. Κάθισμα, Ἦχος, β.

Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν ἀγαθὲ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός. βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας, ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ. ὅθεν εὐχαρίστως βοῶμέν σοι· χαρᾶς ἐπλήρωσας τὰ πάντα ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν Κόσμον.

Ἀναστάσιμον.

Ὃν λίθον τοῦ μνήματος, σφραγισθῆναι μὴ κωλύσας, τὴν πέτραν τῆς πίστεως, ἀναστὰς παρέσχες πᾶσι, Κύριε δόξα σοι.

Μαρτυρικόν.

Ὅτε ἐν τοῖς ἄθλοις ἠγωνίσαντο τοῦ Κυρίου οἱ Μάρτυρες, τότε τὸ θράσος ἠμαύρωται τῶν ἀσεβῶν διὰ Πίστεως. ὅτε δὲ τὴν πλάνην τῶν εἰδώλων ἐνθέως κατήργησαν, τότε τοὺς στεφάνους τῆς νίκης ἐδέξαντο ἄνωθεν, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Σταυροθεοτοκίον.

Ἡ Παρθένος καὶ Μήτηρ σου Χριστὲ, ἐπὶ ξύλου ὁρῶσά σε νεκρὸν ἡπλωμένον, κλαίουσα πικρῶς, Υἱέ μου ἔλεγε· τί τὸ φοβερὸν τοῦτο μυστήριον; ὁ πᾶσι δωρούμενος ζωὴν τὴν αἰώνιον, ἑκουσίως ἐν Σταυρῷ, πῶς θνήσκεις θάνατον ἐπονείδιστον;

Μετὰ τὴν β'. Στιχολ. Κάθισμα τῆς Ἑορτῆς, Ἦχ. β.

Τὰ ἄνω ζητῶν.

Τὰ μύρα θερμῶς, τῷ τάφῳ προσκομίζουσαι, γυναῖκες Σωτὴρ, Ἀγγέλου τῇ λαμπρότητι, τὰς ψυχὰς ἠγάλλοντο, καὶ Θεόν σε τῶν ὅλων ἐκήρυττον, καὶ Μαθηταῖς ἐβόων· ὄντως ἀνέστη ἐκ τάφου ἡ πάντων ζωή.

Τὸ,

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ... "Μανθώσεις"

Τό, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν΄. Καὶ οἱ Κανόνες τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν εἰς η΄. καὶ τοῦ Μηναίου, εἰς δ΄. Κοντάκιον, καὶ Ἐξαποστειλάριον, τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν τὰ παρόντα στιχηρά. Ἦχος, β΄.

Τοῦ Σταυροῦ σου τὸ ξύλον προσκυνοῦμεν, Χριστὲ ὁ Θεὸς, ξύλον ζωῆς ἀνέδειξας ἡμῖν τοῖς πιστεύουσιν εἰς σέ. καὶ δι' αὐτοῦ καταργήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, ἐζωοποίησας ἡμᾶς νεκρωθέντας τῇ ἁμαρτίᾳ. διὸ βοῶμέν σοι· Εὐεργέτα τῶν ἁπάντων, Κύριε δόξα σοι.

Ἀναστάσιμον. Δίς.

Πᾶσα πνοὴ, καὶ πᾶσα Κτίσις, σὲ δοξάζει Κύριε, ὅτι διὰ τοῦ Σταυροῦ τὸν θάνατον κατήργησας, ἵνα δείξῃς τοῖς Λαοῖς, τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν, ὡς μόνος φιλάνθρωπος. Μαρτυρικόν.

Ὑπὲρ Χριστοῦ παθόντες μέχρι θανάτου, ὦ Ἀθλοφόροι Μάρτυρες, ψυχὰς μὲν ἔχετε εἰς Οὐρανοὺς ἐν χειρὶ Θεοῦ, καὶ κατὰ Κόσμον ὅλον δορυφορεῖται ὑμῶν τὸ λείψανα. Ἱερεῖς καὶ Βασιλεῖς προσκυνοῦσι, καὶ Λαοὶ πάντες ἐπαγαλλόμενοι, καὶ ἡμεῖς συνήθως βοῶμεν· ὕμνος τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τῶν Ὁσίων αὐτοῦ.

Δόξα, καὶ νῦν, ἦχος, α΄.

Μυροφόροι γυναῖκες, τῷ τάφῳ τί προσήλθετε, τί ζητεῖτε τὸν ζῶντα ἐν νεκροῖς; ἀνέστη ὁ Κύριος, θαρσεῖτε βοᾷ ὁ Ἄγγελος.

Εἰς τὸν στίχ. στιχηρὰ τῆς Ἑορτῆς, ἦχος, β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Χαίρουσι Μαθήτριαι Χριστοῦ, τῶν ἐκ τοῦ Ἀγγέλου ῥημάτων, ἐπακροώμεναι. ὅθεν τὴν Ἀνάστασιν, τοῦ δι' ἡμᾶς ἐν νεκροῖς, λογισθέντος πιστούμεναι· κἂν πρὶν Μυροφόροι, τάφῳ παρεστήκεισαν, καὶ θρηνοῦσαι Χριστόν. λίθον, ἀναβλέψασαι τούτου, ἀποκυλισθέντα ἀθρόον, οὗ διηπόρουν τὴν μετάθεσιν.

Στίχ. Εὐδόκησας Κύριε τὴν γῆν σου.

Ἄληκτον καὶ θείαν χαρμονὴν, ἐπιχορηγοῦσαι τοῖς θείοις, καὶ ἱεροῖς Μαθηταῖς, ὤφθησαν Μαθήτριαι, αἱ Μυροφόροι Χριστοῦ, ἐκπληροῦσαι τὸ κέλασμα τοῦ θείου Ἀγγέλου. οὐκ ἐξεθαμβήθησαν, τὴν λαμπαδοφόρον στολήν. λέγουσαι, ἐσκύλευται ᾅδης, τῇ πανσωστικῇ Ἀναστάσει, τοῦ ὑπὲρ ἡμῶν θανέντος Ἄνακτος.

Στίχ. Ἔλεος καὶ ἀλήθεια συνήντησαν.

Ῥεῖθρα δακρυρρόου ἐκ πηγῆς, θρῆνον ἀναστείλασαι θεῖαι, Χριστοῦ Μαθήτριαι, ῥήματα χαρμόσυνα, διαπορθμεύουσι νῦν, τοῖς Αὐτόπταις τῆς χάριτος, μηνύουσαι τούτοις, τὴν τοῦ Λόγου ἔγερσιν, καὶ τὴν ἐκ τάφου χαράν. ὅθεν τὴν ἀντίθετον λύπης, ἤκουον φωνὴν παραδόξως, ταύταις τὴν τὸ Χαίρετε προστάττουσαν.

Δόξα, καὶ νῦν, ἦχος, α΄.

Μετὰ φόβου ἦλθον αἱ γυναῖκες, ἐπὶ τὸ Μνῆμα, ἀρώμασι τὸ Σῶμά σου μυρίσαι σπουδάζουσαι, καὶ τοῦτο μὴ εὑροῦσαι, διηπόρουν πρὸς ἀλλήλας, ἀγνοοῦσαι τὴν Ἀνάστασιν· ἀλλ' ἐπέστη αὐταῖς Ἄγγελος, καὶ εἶπεν· ἀνέστη Χριστὸς, δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Τῇ Παρασκευῇ τῆς Γ΄. Ἑβδομάδος Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμ. στίχ. ς΄. καὶ ψάλλομεν τὰ παρόντα Ἰδιόμελα, γ΄. καὶ τοῦ Μηναίου γ΄. τῆς Ἑορτῆς, ἦχος, β΄.

Αἱ Μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἀρώματα λαβοῦσαι, τοῦ Κυρίου τὸν τάφον κατέλαβον· ἅπερ δὲ οὐκ ἤλπιζον εὑροῦσαι, διελογίζοντο εὐλαβούμεναι, τοῦ λίθου τὴν μετάθεσιν, καὶ πρὸς ἀλλήλας διελέγοντο· ποῦ εἰσιν αἱ σφραγῖδες τοῦ Μνήματος; ποῦ ἐστιν ἡ τοῦ Πιλάτου κουστωδία, καὶ ἀκριβὴς ἀσφάλεια; γέγονε δὲ μηνυτὴς τῶν ἀγνοουσῶν γυναικῶν, ἐξαστράπτων Ἄγγελος, καὶ φάσκων πρὸς αὐτάς· τί μετὰ θρήνων ζητεῖτε τὸν ζῶντα, καὶ ζωοποιήσαντα τὸ γένος τῶν βροτῶν; ἐξηγέρθη Χριστὸς ὁ Θεὸς ἡμῶν, ἐκ νεκρῶν ὡς Παντοδύναμος, παρέχων πᾶσιν ἡμῖν, ἀφθαρσίαν καὶ ζωὴν, φωτισμὸν καὶ τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Τί τὰ μύρα τοῖς δάκρυσι Μαθήτριαι κιρνᾶτε; ὁ λίθος κεκύλισται, ὁ τάφος κεκένωται. ἴδετε τὴν φθορὰν τῇ ζωῇ παντηθεῖσαν. τὰς σφραγῖδας μαρτυρούσας τηλαυγῶς. ὑπνοῦντας δεινῶς τοὺς φύλακας τῶν ἀπειθῶν. τὸ θνητὸν σέσωσται σαρκὶ

Θεοῦ,

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Θεοῦ· ὁ ᾅδης θρηνεῖ. δραμοῦσαι χαρᾷ, εἴπατε τοῖς Ἀποστόλοις· ὁ νεκρώσας Χριστὸς τὸν θάνατον, πρωτότοκος ἐκ νεκρῶν, ὑμᾶς προάγει ἐν τῇ Γαλιλαίᾳ.

Ὁ αὐτός.

Αἱ Μυροφόροι ὄρθριαι γενόμεναι, καὶ τὸ Μνῆμά σου μετὰ σπουδῆς καταλαβοῦσαι, ἐπεζήτουν σε Χριστέ, πρὸς τὸ μυρίσαι τὸ ἄχραντον Σῶμά σου, καὶ τοῦ Ἀγγέλου τοῖς ῥήμασιν ἐνηχηθεῖσαι, χαροποιὰ σύμβολα τοῖς Ἀποστόλοις ἐκήρυττον· ὅτι ἀνέστη ὁ ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν, σκυλεύσας τὸν θάνατον, τῷ δὲ Κόσμῳ δωρούμενος, ζωὴν αἰώνιον καὶ τὸ μέγα ἔλεος.

Καὶ τοῦ Μηναίου γ΄. Δόξα, ἦχος, πλ. β΄.

Αἱ Μυροφόροι γυναῖκες, τὸν τάφον σου καταλαβοῦσαι, καὶ τὰς σφραγῖδας τοῦ Μνήματος ἰδοῦσαι, μὴ εὑροῦσαι δὲ τὸ ἄχραντον Σῶμά σου, ὀδυρόμεναι μετὰ σπουδῆς, ἦλθον λέγουσαι· τίς ἔκλεψεν ἡμῶν τὴν ἐλπίδα; τίς εἴληφε νεκρόν, γυμνόν, ἐσμυρνισμένον, τῆς Μητρὸς μόνης παραμύθιον; ὢ πῶς ὁ νεκροὺς ζωώσας τεθανάτωται; ὁ τὸν ᾅδην σκυλεύσας, πῶς τέθαπται; ἀλλ᾽ ἀνάστηθι Σωτὴρ αὐτεξουσίως, καθὼς εἶπας τριήμερος, σῴζων τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν Θεοτοκίον, ἦχος, β΄.

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης. ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔτεκες, καὶ Παρθένος ἔμεινας. ἀντὶ στύλου πυρός, Δικαιοσύνης ἀνέτειλεν Ἥλιος. ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Ἀναστάσιμα, ἦχος, β΄.

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα, τὸν Θεὸν λόγον σαρκωθέντα, ἐκ Παρθένου Μαρίας, δεῦτε προσκυνήσωμεν. Σταυρὸν γὰρ ὑπομείνας, τῇ ταφῇ παρεδόθη, ὡς αὐτὸς ἠθέλησε. καὶ ἀναστὰς ἐκ νεκρῶν, ἔσωσέ με τὸν πλανώμενον ἄνθρωπον.

Στ. Ὁ Κύριος ἐβασίλευσεν.

Χριστὸς ὁ Σωτὴρ ἡμῶν, τὸ καθ᾽ ἡμῶν χειρόγραφον προσηλώσας, τῷ Σταυρῷ ἐξήλειψε, καὶ τοῦ θανάτου τὸ κράτος κατήργησε. προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν.

Στ. Καὶ γὰρ ἐστερέωσε.

Σὺν Ἀρχαγγέλοις ὑμνήσωμεν, Χριστοῦ τὴν Ἀνάστασιν. αὐτὸς γὰρ λυτρωτὴς ἐστι, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν. καὶ ἐν δόξῃ φοβερᾷ καὶ κραταιᾷ δυνάμει, πάλιν ἔρχεται, κρῖναι Κόσμον ὃν ἔπλασεν.

Στ. Τῷ οἴκῳ σου πρέπει.

Ἡ Ἀνάστασίς σου Χριστὲ Σωτήρ, ἅπασαν ἐφώτισε τὴν Οἰκουμένην, καὶ ἀνεκαλέσω τὸ ἴδιον πλάσμα, Παντοδύναμε Κύριε, δόξα σοι.

Δόξα, καὶ νῦν, ἦχος, πλ. α΄.

Σὲ τὸν ἀναβαλλόμενον τὸ φῶς ὥσπερ ἱμάτιον, καθελὼν Ἰωσὴφ ἀπὸ τοῦ ξύλου σὺν Νικοδήμῳ, καὶ θεωρήσας νεκρόν, γυμνόν, ἄταφον, εὐσυμπάθητον θρῆνον ἀναλαβών, ὀδυρόμενος ἔλεγεν· οἴμοι, γλυκύτατε Ἰησοῦ, ὃν πρὸ μικροῦ ὁ Ἥλιος, ἐν Σταυρῷ κρεμάμενον θεασάμενος, ζόφον περιεβάλλετο, καὶ ἡ γῆ τῷ φόβῳ ἐκυμαίνετο, καὶ διερρήγνυτο Ναοῦ τὸ καταπέτασμα. ἀλλ᾽ ἰδοὺ νῦν βλέπω σε, δι᾽ ἐμὲ ἑκουσίως ὑπελθόντα θάνατον. πῶς σε κηδεύσω Θεέ μου; ἢ πῶς σινδόσιν εἱλήσω; ποίαις χερσὶ δὲ προσψαύσω τὸ σὸν ἀκήρατον Σῶμα; ἢ ποῖα ᾄσματα μέλψω τῇ σῇ ἐξόδῳ Οἰκτίρμον; μεγαλύνω τὰ πάθη σου, ὑμνολογῶ καὶ τὴν ταφήν σου, σὺν τῇ Ἀναστάσει κραυγάζων, Κύριε δόξα σοι.

Τροπάριον. Ὁ εὐσχήμων Ἰωσήφ.

Δόξα. Ὅτε κατῆλθες πρός.

Καὶ νῦν. Ταῖς Μυροφόροις γυναιξί.

Τῷ Σαββάτῳ τῆς Γ΄. Ἑβδομάδος, εἰς τὸν Ὄρθρον, ἐν τῇ α΄. στιχολ. λέγομεν Καθίσματα Ἀναστάσιμα. ἦχος, β΄.

Τὸν λίθον τοῦ Μνήματος, σφραγισθῆναι μὴ κωλύσας, τὴν πέτραν τῆς Πίστεως, ἀναστὰς παρέσχες πᾶσι, Κύριε δόξα σοι.

Τὸν κόλπον τὸν ἄχραντον ἐν ὑψίστοις μὴ κενώσας, ταφὴν καὶ ἀνάστασιν, ὑπὲρ πάντων κατεδέξω, Κύριε δόξα σοι.

Θεοτοκίον.

Ἅπαντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα, τὰ σὰ Θεοτόκε μυστήρια, τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ Παρθενίᾳ φυλαττομένη, Μήτηρ ἐγνώσθης ἀψευδής, Θεὸν τεκοῦσα ἀληθινόν· αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς

Δημοτική Βιβλιοθήκη

Εἰς τὴν β΄. στιχ. καί. ἦχος, β΄.

Ταῖς Μυροφόροις.

ΣΩ͂ν Μαθητῶν σου ὁ χορὸς, σὺν Μυροφόροις γυναιξὶν, ἀγάλλεται συμφώνως. κοινὴν γὰρ ἑορτὴν σὺν αὐτοῖς ἑορτάζομεν, εἰς δόξαν καὶ τιμὴν τῆς σῆς ἀναστάσεως, καὶ δι᾽ αὐτῶν βοῶμέν σοι· φιλάνθρωπε Κύριε, τῷ Λαῷ σου παράσχου τὸ μέγα ἔλεος. Δίς.

Τὸ, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν΄. Ὁ Κανὼν τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν εἰς ς΄. τοῦ Ἁγίου τῆς Μονῆς, εἰς δ΄. Καὶ τοῦ Μηναίου, εἰς δ΄. Κοντάκιον, καὶ Ἐξαποστειλάριον, τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στ. δ΄. καὶ ψάλλομεν τὰ παρόντα στ. ἦχος, β΄.

ΠΑ͂σα πνοὴ καὶ πᾶσα Κτίσις, σὲ δοξάζει Κύριε, ὅτι διὰ τοῦ Σταυροῦ τὸν θάνατον κατήργησας, ἵνα δείξῃς τοῖς Λαοῖς, τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν, ὡς μόνος φιλάνθρωπος.

ΕἸπάτωσαν Ἰουδαῖοι, πῶς οἱ στρατιῶται ἀπώλεσαν, τηροῦντες τὸν Βασιλέα; διατί γὰρ ὁ λίθος οὐκ ἐφύλαξε τὴν πέτραν τῆς ζωῆς; ἢ τὸν ταφέντα δότωσαν, ἢ ἀναστάντα προσκυνείτωσαν, λέγοντες σὺν ἡμῖν· δόξα τῷ πλήθει τῶν οἰκτιρμῶν σου, Σωτὴρ ἡμῶν δόξα σοι.

ΧΑίρετε Λαοὶ καὶ ἀγαλλιᾶσθε. Ἄγγελος ἐκάθισεν εἰς τὸν λίθον τοῦ Μνήματος. αὐτὸς ἡμᾶς εὐηγγελίσατο εἰπών· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ὁ Σωτὴρ τοῦ Κόσμου, καὶ ἐπλήρωσε τὰ σύμπαντα εὐωδίας. Χαίρετε Λαοὶ καὶ ἀγαλλιᾶσθε.

ἌΓγελος μὲν τὸ Χαῖρε, πρὸ τῆς σῆς συλλήψεως Κύριε, τῇ Κεχαριτωμένῃ ἐκόμισεν. Ἄγγελος δὲ τὸν λίθον τοῦ ἐνδόξου σου Μνήματος, ἐν τῇ σῇ Ἀναστάσει ἐκύλισεν. ὁ μὲν ἀντὶ τῆς λύπης, εὐφροσύνης σύμβολα μηνύων. ὁ δὲ ἀντὶ θανάτου, Δεσπότην ζωοδότην κηρύττων ἡμῖν. διὸ βοῶμέν σοι· εὐεργέτα τῶν ἁπάντων, Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν, ἦχος, α΄.

ἙΩ͂ρον τὸν λίθον ἀποκεκυλισμένον? 

Τῷ σῷ Σταυρῷ Χριστὲ Σωτήρ.

Πεφώτισται τὰ σύμπαντα.

Δοξάζω τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ τὴν δύναμιν.

Τὸν Σταυρόν σου τὸν τίμιον.

Δόξα, ἦχος, πλ. α.

Ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα.

Ζήτει εἰς τὸν μέγαν Ἑσπερινόν.

Καὶ νῦν, Θεοτ. τὸ Δογματικὸν, ἦχος, γ.

Μέγιστον θαῦμα, Παρθένος τεκοῦσα, καὶ τὸ τεχθὲν, Θεὸς πρὸ αἰώνων. προφανὴς ὁ τόκος, καὶ τὸ τελούμενον ὑπὲρ φύσιν. ὢ μυστηρίου φρικώδους. ὃ καὶ νοούμενον ἄφραστον μένει, καὶ θεωρούμενον οὐ καταλαμβάνεται. Μακαρία σὺ εἶ Ἄχραντε Κόρη, Ἀδὰμ τοῦ γηγενοῦς Θυγάτηρ, καὶ Θεοῦ τοῦ Ὑψίστου φανεῖσα Μήτηρ. αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στ. τὸ στιχηρὸν Ἀναστάσιμον.

Εἶτα τῆς Θεοτόκου, ἦχος, γ.

Μεγάλη τοῦ Σταυροῦ σου.

Στ. Ἄκουσον θύγατερ καὶ ἴδε.

Μεγάλης διὰ σοῦ εὐεργεσίας Ἄχραντε, τυχόντες σὺν Ἀγγέλοις, τὸν τόκον σου δοξάζομεν, τὸν καταξιώσαντα, ἐν μήτρᾳ σου τεχθῆναι, δι' ἄκραν εὐσπλαγχνίαν, καὶ ἀναπλάσαντα, τῶν ἀνθρώπων τὸ γένος.

Στ. Μνησθήσομαι τοῦ ὀνόματός σου.

Σὲ πάντες καταφύγιον, καὶ θείαν σκέπην ἁγνὴ, ἁμαρτωλοὶ ἐν βίῳ, κεκτήμεθα Παρθένε. ἱκετεύομεν οὖν πάντες, σὴν εὐσπλαγχνίαν, μὴ ἀποστῇς ἀφ' ἡμῶν δεόμεθα, ἀλλ' ἐλέει καὶ σῶζε.

Στ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Τὸ Χαῖρε Θεοτόκε Μήτηρ Ἀειπάρθενε, οἱ χοϊκοί σου δοῦλοι, προσφέρομεν ἀξίως, σὺν τῷ Γαβριὴλ τῷ θείῳ Ταξιάρχῃ. καὶ γὰρ χαρᾶς πρόξενος, καὶ ἀγαλλίαμα, σὺ ἐγένου τῷ Κόσμῳ.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ.

Ἐν τῇ Στοᾷ τοῦ Σολομῶντος.

Ζήτει εἰς τὸν μέγαν Ἑσπερινὸν, καὶ τὰ λοιπὰ, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ι. καὶ ψάλλομεν γ. Ἀναστάσιμα τῆς Ὀκτωήχου, γ. καὶ Ἀνατολικὰ, δ. καὶ τοῦ Παραλύτου δύο.

Δευτεροῦντες τὸ, α. στ. Ἀναστάσιμα. ἦχος, γ.

Τῷ σῷ Σταυρῷ Χριστὲ Σωτὴρ, θανάτου κράτος λέλυται, καὶ διαβόλου ἡ πλάνη κατήργηται. γένος δὲ ἀνθρώπων πίστει σωζόμενον, ὕμνον σοι καθ' ἑκάστην προσφέρει.

Πεφώτισται τὰ σύμπαντα, τῇ ἀναστάσει σου Κύριε, καὶ ὁ Παράδεισος πάλιν ἠνέῳκται. πᾶσα δὲ ἡ Κτίσις ἀνευφημοῦσά σε, ὕμνον σοι καθ' ἑκάστην προσφέρει.

Δοξάζω τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ τὴν δύναμιν, καὶ Πνεύματος Ἁγίου, ὑμνῶ τὴν ἐξουσίαν, ἀδιαίρετον, ἄκτιστον Θεότητα, Τριάδα ὁμοούσιον, τὴν βασιλεύουσαν εἰς αἰῶνας αἰώνων.

Ἕτερα Ἀνατολικά. Ὁ αὐτός.

Τὸν Σταυρόν σου τὸν τίμιον, προσκυνοῦντες Χριστὲ, καὶ τὴν ἀνάστασίν σου, ὑμνοῦμεν καὶ δοξάζομεν· τῷ γὰρ μώλωπί σου, ἡμεῖς οἱ πάντες ἰάθημεν.

Ὑμνοῦμεν τὸν Σωτῆρα, τὸν ἐκ τῆς Παρθένου σαρκωθέντα. δι' ἡμᾶς γὰρ ἐσταυρώθη, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη, δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Τοῖς ἐν ᾅδῃ καταβὰς, Χριστὸς εὐηγγελίσατο· θαρσεῖτε λέγων, νῦν νενίκηκα· ἐγώ εἰμι ἡ Ἀνάστασις, ἐγὼ ὑμᾶς ἀνάξω, λύσας θανάτου τὰς πύλας.

Οἱ ἀναξίως ἑστῶτες, ἐν τῷ ἀχράντῳ σου οἴκῳ, ἑσπερινὸν ὕμνον ἀναμέλπομεν, ἐκ βαθέων κραυγάζοντες, Χριστὲ ὁ Θεὸς, ὁ φωτίσας τὸν Κόσμον, τῇ τριημέρῳ Ἀναστάσει σου, ἐξελοῦ τὸν Λαόν σου, ἐκ χειρὸς τῶν ἐχθρῶν σου φιλάνθρωπε.

Ἕτερα στ. Ἰδιόμ. τοῦ Παραλύτου, ἦχος, α.

Τῇ παλάμῃ τῇ ἀχράντῳ πλαστουργήσας τὸν ἄνθρωπον, ἦλθες εὔσπλαγχνε, τοὺς νοσοῦντας ἰάσασθαι Χριστέ. τὸν Παράλυτον ἐν τῇ προβατικῇ κολυμβήθρᾳ, διὰ τοῦ λόγου σου ἀνέστησας. Αἱμόρρουν δὲ τὸ ἄλγος ἐθεράπευσας. τῆς Χαναναίας τὴν παῖδα ἐνοχλουμένην ἠλέησας· καὶ τὴν αἴτησιν τοῦ Ἑκατοντάρχου οὐ παρεῖδες. διὰ τοῦτο κράζομεν· Παντοδύναμε Κύριε δόξα σοι.

Δίς. Ὁ αὐτός.

Τάφος νεκρὸς ὑπάρχων ὁ Παράλυτος, ἰδών σε ἐβόησεν· ἐλέησόν με Κύριε, ὅτι ἡ κλίνη μου τύμβος μοι ἐγένετο. τί μοι κέρδος ζωῆς; οὐ χρήζω τῆς προβατι-



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη

κῆς κολυμβήθρας. οὐ γὰρ ἔστι μοι τίς ὁ ἐμβάλλων με, ταραττομένων τῶν ὑδάτων. ἀλλὰ σοὶ τῇ πηγῇ προσέρχομαι τῶν ἰαμάτων, ἵνα κἀγὼ μετὰ πάντων κράζω· Παντοδύναμε Κύριε δόξα σοι.

Δευτεροῦντες τό, α´. Δόξα, ἦχος, πλ. α´.

Ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, ἐπὶ τῇ προβατικῇ κολυμβήθρᾳ, τῇ λεγομένῃ κατὰ Ἰουδαίους Βηθεσδά, πέντε στοὰς ἐχούσῃ. ἐν ταύταις γὰρ κατέκειτο πλῆθος τῶν ἀσθενούντων. Ἄγγελος γὰρ τοῦ Θεοῦ κατὰ καιρὸν ἐπιφοιτῶν, διετάραττεν αὐτήν, καὶ ῥῶσιν ἐχαρίζετο τοῖς προσιοῦσιν ἐν πίστει. καὶ ἰδὼν ὁ Κύριος χρονίζοντα ἄνθρωπον, λέγει πρὸς αὐτόν· θέλεις ὑγιὴς γενέσθαι; ὁ ἀσθενῶν ἀπεκρίνατο· Κύριε ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν. ἰατροῖς κατηνάλωσα τὸν ἅπαντά μου βίον, καὶ ἔλεους τυχεῖν οὐκ ἠξιώθην, ἀλλ' ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων λέγει πρὸς αὐτόν· ἆρόν σου τὸν κράββατον καὶ περιπάτει, κηρύττων μου τὴν δύναμιν, καὶ τὸ μέγα ἔλεος ἐν τοῖς πέρασιν.

Καὶ νῦν. Θεοτοκίον, ἦχος, γ´.

Πῶς μὴ θαυμάσωμεν, τὸν θεανδρικόν σου τόκον πανσεβάσμιε; πεῖραν γὰρ ἀνδρὸς μὴ δεξαμένη πανάμωμε, ἔτεκες ἀπάτορα Υἱὸν ἐν σαρκί, τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα ἀμήτορα. μηδαμῶς ὑπομείναντα τροπήν, ἢ φυρμόν, ἢ διαίρεσιν. ἀλλ' ἑκατέρας οὐσίας τὴν ἰδιότητα σώαν φυλάξαντα. διὸ Μητροπάρθενε Δέσποινα, αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς τῶν ὀρθοδόξως, Θεοτόκον ὁμολογούντων σε.

Εἰς τὴν Λιτὴν τὸ ἰδ. τοῦ Ἁγίου τῆς Μονῆς.

Δόξα, ἦχος, πλ. α´.

Ἐπὶ τῇ Προβατικῇ κολυμβήθρᾳ, ἄνθρωπος κατέκειτο ἐν ἀσθενείᾳ. καὶ ἰδών σε Κύριε ἐβόα· ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ βάλῃ με ἐν αὐτῷ. ἐν ᾧ δὲ πορεύομαι, ἄλλος προλαμβάνει με, καὶ λαμβάνει τὴν ἴασιν, ἐγὼ δὲ ἀσθενῶν κατάκειμαι. καὶ εὐθὺς σπλαγχνισθεὶς ὁ Σωτήρ, λέγει πρὸς αὐτόν· διὰ σὲ ἄνθρωπος γέγονα, διὰ σὲ σάρκα περιβέβλημαι, καὶ λέγεις ἄνθρωπον οὐκ ἔχω; ἆρόν σου τὸν κράββατον καὶ περιπάτει. πάντα σοι δυνατά, πάντα ὑπακούει, πάντα ὑποτέτακται, πάντων ἡμῶν μνήσθητι, καὶ ἐλέησον Ἅγιε, ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον, καὶ θρόνος τοῦ Βασιλέως Παρθένε πάνσεμνε· δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων Δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε κατ' εἰκόνα ἰδίαν, χειρὶ τῇ ἑαυτοῦ. διὸ Πανύμνητε, ὡς μητρικὴν παρρησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στ. τὰ Ἀναστάσιμα.

Ἰστέον δὲ κατὰ τὸν παρακολουθήσαντα Τύπον, μετὰ τὸ εἰπεῖν τὸ πρῶτον Ἀναστάσιμον στιχηρόν, λέγομεν τὰ στ. τοῦ Πάσχα μετὰ τῶν στ. αὐτῶν.

Δόξα, ἦχος, πλ. δ´. Ἐν τῇ Στοᾷ.

Καὶ νῦν. Ἀναστάσεως ἡμέρα.

Ἦχος, γ´.

Ὁ τῷ πάθει σου Χριστέ, ἀμαυρώσας τὸν Ἥλιον, καὶ τῷ φωτὶ τῆς σῆς Ἀναστάσεως, φαιδρύνας τὰ σύμπαντα, πρόσδεξαι ἡμῶν, τὸν ἑσπερινὸν ὕμνον φιλάνθρωπε.

Δόξα, ἦχος, πλ. δ´.

Ἐν τῇ Στοᾷ τοῦ Σολομῶντος, ἐκεῖ κατέκειτο πλῆθος τῶν ἀσθενούντων. καὶ μεσούσης τῆς Ἑορτῆς, εὗρεν ὁ Χριστὸς ὀκτὼ καὶ τριάκοντα ἔτη Παράλυτον κείμενον. δεσποτικῇ φωνῇ λέγει πρὸς αὐτόν· θέλεις ὑγιὴς γενέσθαι; ὁ ἀσθενῶν ἀπεκρίνατο· Κύριε ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν. ὁ δὲ λέγει πρὸς αὐτόν· ἆρόν σου τὴν κλίνην. ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε. Ταῖς Θεοτόκου πρεσβείαις Κύριε κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν, ἦχος, πλ. α´.

Ἀναστάσεως ἡμέρα.

Ἀπολυτίκιον, ἦχος, γ´.

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ. ὁ Κύριος ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον. πρωτότοκος τῶν νεκρῶν ἐγένετο, ἐκ κοιλίας ᾅδου ἐρρύσατο ἡμᾶς, καὶ παρέσχε τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Σὲ τὴν μεσιτεύσασαν, τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

θρέ. ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ, προσληφθείσῃ ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Κανὼν Τριαδικός, ψαλλόμενος ἐν τῷ Μεσονυκτικῷ. οὗ ἡ ἀκροστιχίς.

Αἰνῶ Τριάς σε τὴν μίαν Θεαρχίαν.

Μητροφάνους. Ὠδὴ α΄. Ἦχος γ΄.

Ὁ τὰ ὕδατα πάλαι.

Ἀκατάληπτε μόνη Κυριαρχία, καὶ μία Τριαδικὴ Θεαρχία, τριλαμποῦς αἴγλης με, τῆς σῆς ἀξίωσον νῦν, ὅπως μεγαλύνω σε, τὴν ὑμνουμένην ἀπαύστως, Τρισαγίοις ᾄσμασιν, Ἀγγέλων στόμασιν.

Ἔρως τῶν ἀΰλων, πᾶσαι αἱ τάξεις ὑμνοῦσι, ποιητικὴν ὡς αἰτίαν, ἑνικὴν τρίφωτον, ἀρχικωτάτην σαφῶς, αἷς συμφώνως μέλψωμεν, τῶν ἀνθρώπων τὰ πλήθη, καὶ πιστῶς δοξάσωμεν, πηλίνοις στόμασι.

Νοῦν καὶ Λόγον καὶ Πνεῦμα, οἱ Θεολόγοι προσφόρως, συμβολικῶς σε καλοῦσιν, ἀπαθῆ γέννησιν, ἐξ ἀγεννήτου Πατρός, τοῦ Υἱοῦ σημαίνοντος, Θεὲ μονάρχα τῶν ὅλων, ἅμα καὶ τοῦ Πνεύματος θείαν ἐκπόρευσιν.

Θεοτοκίον.

Ὡς φιλάνθρωπος φύσει, τὴν τῶν ἀνθρώπων οὐσίαν, προσειληφὼς Θεοῦ Λόγε, τὸ τρισσὸν ἔλαμψας, μοναρχικώτατον φῶς, τῆς μιᾶς Θεότητος, δεδοξασμένην τοῖς πᾶσι, δείξας τὴν τεκοῦσάν σε Παρθένον Ἄχραντον.

Ὠδὴ γ΄. Ὁ ἐκ μὴ ὄντων τὰ πάντα.

Ῥιοσεῦσαι πάλαι τὸ ὕδωρ, προστακτικῶς, Ἠλίας ταῖς σχίδαξι, τυπικῶς παρενέφηνε, τὴν τριττὴν ὑπόστασιν, τῆς ἑνιαίας Θεοῦ Κυριαρχίας.

Ὀώδης φύσις ὑμνεῖ σε τῶν γηγενῶν, τὸν ἕνα καὶ τρίφωτον, πλαστουργὸν ἀναλλοίωτον, καὶ βοᾷ σοι Δέσποτα· παντοδαπῆς με τροπῆς ῥῦσαι καὶ σῶσόν με.

Συνηγοροῦντες τοῖς λόγοις τῶν Προφητῶν, κλεινῶν Ἀποστόλων τε, καὶ Κηρύκων τῆς Πίστεως, ἰσουργὸν Τριάδα σε, δοξολογοῦμεν πιστῶς, Θεὲ τῶν ὅλων.

Θεοτοκίον.

Ἀπὸ τοῦ θρόνου κατῆλθε τοῦ ὑψηλοῦ, ὁ Χριστὸς τὸν ἄνθρωπον, ἀνυψῶν ὡς φιλάνθρωπος, διὰ σοῦ Πανάχραντε, καὶ τὸ τρισήλιον φῶς ἔλαμψε πᾶσι.

Κάθισμα, Ἦχος γ΄.

Ὑπερούσιος, καὶ μόνος Κύριος, Χριστός, καὶ γέννημα τοῦ προανάρχου Πατρός, καὶ Πνεῦμα τὸ Θειότατον, ἐλέησον τοὺς δούλους σου· πάντες γὰρ ἡμάρτομεν, ἀλλὰ σοῦ οὐκ ἀπέστημεν. ὅθεν δυσωποῦμέν σε, Τρισυπόστατε Κύριε, ὡς ἔχων ἐξουσίαν τὸ πλάσμα σου, σῶσον ἐκ πάσης περιστάσεως.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὑπερούσιος Θεὸς καὶ Κύριος, ἐκ σοῦ σεσάρκωται δι' ἀγαθότητα, τὸ καθ' ἡμᾶς οὐσιωθείς, καὶ μείνας ὅπερ πέφυκεν· ὅθεν καὶ Θεάνθρωπον, τοῦτον σέβοντες Πάναγνε, σὲ τὴν ἀπειρόγαμον, Θεοτόκον κηρύττομεν, δοξάζοντες τὸ μέγιστον θαῦμα, τῆς σῆς ἀπόρου κυήσεως.

Ὠδὴ δ΄. Ἔθου πρὸς ἡμᾶς.

Τέλεχος διττόν, ἐκ Πατρὸς ὡς ῥίζης ἐβλάστησεν, ὁ Υἱός, καὶ Πνεῦμα τὸ θεῖον, οἱ συμφυεῖς βλαστοὶ καὶ Θεόφυτοι, καὶ ἄνθη συνάναρχα, ὡς τρία εἶναι φῶτα τῆς Θεότητος. Δίς.

Στίφη Νοερῶν, οὐσιῶν ἀπαύστως ὑμνοῦσί σε, τὸν ἀπερινόητον Θεόν, μεθ' ὧν ἡμεῖς δοξάζομεν λέγοντες· Τριὰς ὑπερούσιε, τοὺς σοὺς οἰκέτας, σῶσον ὡς φιλάνθρωπος.

Θεοτοκίον.

Ἔθελξας ἡμᾶς, εἰς ἀγάπην σὴν πολυέλεε, Λόγε τοῦ Θεοῦ, ὁ δι' ἡμᾶς σωματωθεὶς ἀτρέπτως καὶ τρίφωτον, τὴν μίαν Θεότητα, μυσταγωγήσας· ὅθεν σε δοξάζομεν.

Ὠδὴ ε΄. Ὡς εἶδεν Ἠσαΐας.

Τὸν ἕνα Κυριάρχην εἰκονικῶς, ὡς εἶδεν Ἠσαΐας Θεόν, ἐν τρισὶ προσώποις δοξολογούμενον, ἀχράντοις φωναῖς Σεραφίμ, ἀπεστάλη τοῦ κηρύξαι παρευθύς, τρίφωτον οὐσίαν, καὶ μονάδα τρισήλιον.

Πάντων ἀοράτων καὶ ὁρατῶν, τὴν φύσιν ἐξ οὐκ ὄντων τὸ πρίν, ὑποστησαμένη μονὰς τρισήλιε, τοὺς ἕνα Θεόν σε πιστῶς, ἀνυμνοῦντας, ἐκ παντοίων πειρασμῶν ἐκλυτρωσαμένη, τῆς σῆς δόξης ἀξίωσον.

Θεοτοκίον.

Νυμφῶνα φωτοφόρον καὶ καθαρόν, Παρθένε γεγονυῖαν Θεοῦ, ἀνυμνοῦμέν πόθῳ καὶ μακαρίζομεν· ἐκ σοῦ γὰρ ἐτέχθη Χρι-

στός, ἐν οὐσίαις καὶ θελήσεσι διτταῖς, ὁ εἷς τῆς Τριάδος, καὶ τῆς δόξης ὢν Κύριος.

Ὠδὴ ϛ΄. Ἄβυσσος ἐσχάτη.

Μέτοικος ὑπάρχων ὁ Ἀβραάμ, κατηξιώθη τυπικῶς ὑποδέξασθαι, ἑνικὸν μὲν Κύριον, ἐν τρισὶν ὑποστάσεσιν, ὑπερούσιον, ἀνδρικαῖς δὲ μορφώσεσιν. Δίς.

Ἴθυνον καρδίας σῶν οἰκετῶν, πρὸς φῶς τὸ ἀπρόσιτον, ὦ τρισήλιε Κύριε, καὶ σῆς δόξης ἔλλαμψιν, παράσχου ταῖς ψυχαῖς ἡμῶν, τοῦ φαντάζεσθαι τὸ σὸν κάλλος τὸ ἄρρητον.

Θεοτοκίον.

Ἄνοιξον τὰς πύλας μοι τοῦ φωτός, τοῦ κυηθέντος ἐκ νηδύος σου Ἄχραντε, ἵνα βλέπω τρίφωτον, ἀκτῖνα τῆς Θεότητος, καὶ δοξάζω σε τὴν ὁλόφωτον Δέσποιναν.

[illegible] ἦχος γ΄. Θείας πίστεως.

Θείας φύσεως ὁμοουσίου, τὸ τρισήλιον ὑμνοῦμεν κράτος, καὶ Τρισαγίαις φωναῖς ἐκβοήσωμεν· Ἅγιος εἶ ὁ Πατὴρ ὁ προάναρχος. Ἅγιος εἶ ὁ Υἱὸς ὁ συνάναρχος. Πνεῦμα Ἅγιον, ὁ εἷς ἀμερὴς Θεὸς ἡμῶν, καὶ πάντων ποιητής, καὶ φιλάνθρωπος.

Δόξα, καὶ νῦν, Θεοτοκίον. Ὅμοιον.

Θαῦμα μέγιστον πῶς συνεχέθη, ὁ ἀχώρητος ἐν τῇ γαστρί σου, καὶ ἐσαρκώθη καὶ ἐφάνη ὡς ἄνθρωπος, μὴ ὑπομείνας φυρμὸν ἢ διαίρεσιν, τῆς θεϊκῆς, καὶ ἀτρέπτου Θεότητος, Κόρη πάναγνε. διὸ Θεοτόκον σε πιστῶς, κηρύττομεν ἀεί, καὶ δοξάζομεν.

Ὠδὴ ζ΄. Ὡς πάλαι τοὺς ἀσεβεῖς.

Νάόν με δεῖξον τῆς σῆς, Θεότητος Δέσποτα, τῆς τριλαμποῦς ὅλον φωτεινόν, ἁμαρτητικῆς ἀμαυρώσεως δεινῆς, καὶ παθῶν ἀνώτερον, ταῖς φωτουργαῖς σου λάμψεσιν, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Θεότητος τὴν μορφήν, μίαν καταγγέλλομεν, ἐν τρισὶν ὑποστατικαῖς, καὶ διαιρεταῖς ἰδιότησι, Πατρός, καὶ Υἱοῦ, καὶ Πνεύματος, εὐλογητὸς εἶ κράζοντες, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ἐφάνη τῷ Ἀβραάμ, Θεὸς τρισυπόστατος, ἐν τῇ δρυῒ πάλαι τῇ Μαμβρῇ, τῆς φιλοξενίας μισθὸν τὸν Ἰσαάκ, ἀντιδοὺς δι' ἔλεον. ὅνπερ καὶ νῦν δοξάζομεν, ὡς Θεὸν τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἐφάνη ἐπὶ τῆς γῆς, γενόμενος ἄνθρωπος, ὁ παντουργὸς ἀγαθοπρεπῶς, ἐκ Παρθενικῆς καὶ ἀχράντου σου Γαστρός, καὶ ἡμᾶς ἐθέωσεν, εὐλογημένη πάναγνε, Θεοτόκε Παμάκαριστε.

Ὠδὴ η΄. Ἀστέκτῳ πυρί.

Ἄναρχος Πατρὸς ὡς ἐκ ῥίζης, Λόγος, καὶ τὸ Πνεῦμα συνανάρχως πεφυκότες, ὡς βλαστοὶ τῆς ὑπερουσίου Θεαρχίας, ἔδειξαν τῆς Τριάδος, δόξαν μίαν τε καὶ δύναμιν. ὧν ὑμνοῦμεν πάντες πιστοὶ εἰς τοὺς αἰῶνας. Δίς.

Ὑμνίζεις ταῖς σαῖς φρυκτωρίαις, τάξεις οὐρανίους ἀναμέλπειν ἀσιγήτως, τρισαγίοις ᾄσμασι θείοις, Πάτερ, Λόγε σύμμορφε, καὶ τὸ Πνεῦμα τρίφωτον, κράτος καὶ ἰσόρροπον. ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Χρησμοὶ Προφητῶν τὸν σὸν τόκον, πόρρωθεν ἰδόντες, Θεοτόκε ἀνυφήμνουν, ὡς ἀσπόρως καὶ ὑπὲρ φύσιν, γεννηθέντα Δέσποινα, καὶ συμφώνως τοῦτον, ὑμνοῦμεν ὡς Κύριον, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν.

Ἀστέκτῳ πυρὶ ἑνωθέντες, οἱ Θεοσεβείας προεστῶτες Νεανίαι, τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον· εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον. „

Ὠδὴ θ΄.

Καινὸν τὸ θαῦμα καὶ θεοπρεπές. τῆς Παρθένου γὰρ τὴν κεκλεισμένην πύλην σαφῶς, διοδεύει Κύριος, γυμνὸς τῇ εἰσόδῳ, καὶ σαρκοφόρος ὤφθη ἐν ἐξόδῳ Θεός, καὶ μένει ἡ πύλη κεκλεισμένη, ταύτην ἀφράστως, ὡς Θεομήτορα μεγαλύνομεν.

Ἰδεῖν τὴν δόξαν τὴν τρισολαμπῆ, αἱ θεοειδεῖς τῶν Ἀσωμάτων τάξεις σαφῶς, ἀνιέμεναι πτέρυξιν, ἐφίενται ἄνω. ἀλλ' εὐλαβοῦνται σφόδρα τὸ ἀπρόσιτον φῶς, καὶ ὕμνον ἀπαύστως ἐκβοῶσι. ταύταις συμφώνως, μοναδικὴ Τριὰς σε δοξάζομεν.

Ἰπλέτω πόθῳ καὶ οἱ ἐπὶ γῆς, νοερὰν ψυχὴν ἐκ σοῦ λαβόντες καὶ λογικήν, σὲ ὑμνοῦμεν Δέσποτα, Θεὲ τῶν ἁπάντων, τὴν ἐνιαίαν φύσιν ἀληθῶς, καὶ τριττὴν προσώποις ἐξ ὅλης τῆς καρδίας. διὸ οἰκτίρμων, ὡς πολυέλεος ἡμᾶς οἴκτειρον.

Ναόν με δεῖξον τῆς μοναρχικῆς, καὶ τριφεγγοῦς σου Θεαρχίας φωτοειδῆ, καθα-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

θαρῶς λατρεύειν σοι, τῷ Κτίσῃ τῶν ὅλων, καὶ τῆς ἀφράστου δόξης νοερὸν θεωρόν, πρεσβείαις τῆς μόνης Θεοτόκου· ἣν ἐπαξίως ὡς ὑπερένδοξον μεγαλύνομεν.

Τὸ, Ἄξιον ἐστίν.

Καὶ τὰ λοιπὰ ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. Στιχολογίαν Κάθισμα.

Ἀναστάσιμον, ἦχος, γ΄.

Χριστὸς ἐκ νεκρῶν ἐγήγερται, ἡ ἀπαρχὴ τῶν κεκοιμημένων, ὁ πρωτότοκος τῆς Κτίσεως, καὶ δημιουργὸς πάντων τῶν γεγονότων, τὴν καταφθαρεῖσαν φύσιν τοῦ γένους ἡμῶν, ἐν ἑαυτῷ ἀνεκαίνισεν. οὐκ ἔτι θάνατε κυριεύεις· ὁ γὰρ τῶν ὅλων Δεσπότης, τὸ κράτος σου κατέλυσε.

Σαρκὶ τοῦ θανάτου γευσάμενος Κύριε, τὸ πικρὸν τοῦ θανάτου ἐξέτεμες τῇ ἐγέρσει σου, καὶ τὸν ἄνθρωπον κατ᾽ αὐτοῦ ἐνισχύσας, τῆς ἀρχαίας κατάρας τὴν ἧτταν ἀνακαλούμενος, ὁ ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τὴν ὡραιότητα, τῆς Παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον, τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι Θεοτόκε· ποῖόν σοι ἐγκώμιον προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι. διὸ ὡς προσετάγην βοῶ σοι, χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὴν β΄. Στιχ. Κάθ. ἦχος, γ΄.

Τὴν ὡραιότητα.

Πάντα ἀνθρώπινα, καταδεξάμενος, πάντα ἡμέτερα, οἰκειωσάμενος, ἐν τῷ Σταυρῷ προσηλωθῆναι εὐδόκησας Ποιητά μου, θάνατον ἑλόμενος, ὑπομεῖναι ὡς ἄνθρωπος, ἵνα τὸ ἀνθρώπινον, ἐκ θανάτου λυτρώσῃς ὡς Θεός. διὸ ὡς ζωοδότῃ βοῶμέν σοι· δόξα Χριστὲ τῇ εὐσπλαγχνίᾳ σου.

Τὸ ἀκατάληπτον, τὸ τῆς Σταυρώσεως, καὶ ἀνερμήνευτον, τὸ τῆς ἐγέρσεως, θεολογοῦμεν οἱ πιστοί, μυστήριον ἀπόρρητον· σήμερον γὰρ θάνατος, καὶ ὁ ᾅδης ἐσκύλευται. γένος δὲ ἀνθρώπινον, ἀφθαρσίαν ἐνδέδυται. διὸ εὐχαριστοῦντες βοῶμέν σοι· δόξα Χριστὲ τῇ ἐγέρσει σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τὰ ἐπουράνια, πόθῳ ἠγάλλοντο, καὶ τὰ ἐπίγεια, τρόμῳ ἐξίσταντο, ὅτε ἡ ἄχραντος φωνή, ἐπῆλθέ σοι Θεοτόκε. μία γὰρ πανήγυρις, ἀμφοτέροις ἐπέλαμψεν, ὅτι τὸν πρωτόπλαστον, ἐκ θανάτου ἐρρύσατο. διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι· χαῖρε Ἁγνὴ Παρθενομήτωρ.

Μετὰ τὸν Ἄμωμον, τὰ Εὐλογητάρια.

Εἶτα ἡ Ὑπακοή, ἦχος, γ΄.

Ἐκπλήττων τῇ ὁράσει, δροσίζων τοῖς ῥήμασιν, ὁ ἀστράπτων Ἄγγελος, ταῖς Μυροφόροις ἔλεγε· τὸν ζῶντα τί ζητεῖτε ἐν μνήματι; ἠγέρθη κενώσας τὰ μνήματα. τῆς φθορᾶς ἀλλοιωτήν, γνῶτε τὸν ἀναλλοίωτον. εἴπατε τῷ Θεῷ· ὡς φοβερὰ τὰ ἔργα σου, ὅτι τὸ γένος ἔσωσας τῶν ἀνθρώπων.

Οἱ Ἀναβαθμοί. Ἀντίφωνον Α΄. ἦχος, γ΄.

Τὴν αἰχμαλωσίαν Σιών, σὺ ἐξείλου ἐκ Βαβυλῶνος. κἀμὲ ἐκ τῶν παθῶν, πρὸς ζωὴν ἕλκυσον Λόγε.

Ἐν τῷ νότῳ οἱ σπείροντες, δάκρυσιν ἐνθέοις, θερίσουσι στάχυας, ἐν χαρᾷ ἀειζωΐας. Δόξα.

Ἁγίῳ Πνεύματι, πᾶσα ἀγαθοδωρία, ὡς Πατρὶ καὶ Υἱῷ συναστράπτει, ἐν ᾧ τὰ πάντα ζῇ καὶ κινεῖται.

Καὶ νῦν, τὸ αὐτό. Ἀντίφωνον, Β΄.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον τῶν ἀρετῶν, μάτην κοπιῶμεν. τὴν δὲ ψυχὴν σκέποντος, οὐδεὶς ἡμῶν πορθεῖται τὴν πόλιν.

Τοῦ καρποῦ τῆς γαστρὸς, τῷ Πνεύματι υἱοποιητῶς σοι τῷ Χριστῷ, ὡς Πατρί, οἱ Ἅγιοι πάντοτε εἰσίν. Δόξα.

Ἁγίῳ Πνεύματι, ἐνθεωρεῖται πᾶσα ἁγιότης, σοφία. οὐσιοῖ πᾶσαν γὰρ Κτίσιν. αὐτῷ λατρεύσωμεν. Θεὸς γάρ, ὡς Πατρί τε καὶ Λόγῳ.

Καὶ νῦν, τὸ αὐτό. Ἀντίφωνον Γ΄.

Οἱ φοβούμενοι τὸν Κύριον, μακάριοι τρίβους βαδιοῦνται, τῶν ἐντολῶν φάγονται, ζωηρὰν γὰρ παγκαρπίαν.

Κύκλῳ τῆς τραπέζης σου, εὐφράνθητι καθορῶν σου ποιμενάρχα, τὰ ἔγγονα φέροντα, κλάδους ἀγαθοεργίας. Δόξα.

Ἁγίῳ Πνεύματι, ὁ πᾶς πλοῦτος τῆς δόξης, ἐξ οὗ χάρις καὶ ζωὴ πάσῃ τῇ

Κτίσει. σὺν Πατρὶ γὰρ ἀνυμνεῖται, καὶ τῷ Λόγῳ.

Καὶ νῦν, τὸ αὐτό. Προκείμενον, ἦχος γ΄.

Εἴπατε ἐν τοῖς Ἔθνεσιν, ὅτι Κύριος.

Στ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Εὐαγγέλιον κατὰ Λουκᾶν. Ἑωθινὸν ε΄.

Τό, Ἀνάστασιν Χριστοῦ θεασάμενοι.

Ὁ Ν΄. Καὶ οἱ Κανόνες τῆς Λαμπρᾶς μετὰ τῶν Εἱρμῶν, καὶ τῶν Θεοτοκίων εἰς η΄. καὶ τοῦ Παραλύτου εἰς ς΄.

Ὠδὴ α΄. ἦχος α΄. Ὁ Εἱρμός.

„ Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν
„ Λαοί, Πάσχα Κυρίου Πάσχα. ἐκ
„ γὰρ θανάτου πρὸς ζωήν, καὶ ἐκ γῆς πρὸς
„ Οὐρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβα-
„ σεν, ἐπινίκιον ᾄδοντας.

Καθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψόμεθα, τῷ ἀπροσίτῳ φωτὶ τῆς Ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καὶ χαίρετε φάσκοντα, τρανῶς ἀκουσώμεθα, ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ Κόσμος, ὁρατός τε ἅπας καὶ ἀόρατος. Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

Ἕτερος Κανὼν τῆς Θεοτόκου. Ὅμοιος.

Θανατώσεως τὸν ὅρον ἀνεμόχλευσας, τὴν αἰωνίαν ζωήν, κυοφορήσασα Χριστόν, τὸν ἐκ τάφου ἀναλάμψαντα σήμερον, Παρθένε Πανάμωμε, καὶ τὸν Κόσμον φωτίσαντα.

Ἀναστάντα κατιδοῦσα σὸν Υἱὸν καὶ Θεόν, χαίροις σὺν Ἀποστόλοις, Θεοχαρίτωτε Ἁγνή, καὶ τὸ χαῖρε πρωτουργῶς, ὡς πάντων χαρᾶς, αἰτίαν εἰσδέδεξαι, Θεομῆτορ Πανάμωμε.

Ἕτερος Κανὼν τοῦ Παραλύτου.

Ὠδὴ α΄. ἦχος γ΄. Ὁ Εἱρμός.

„ Θαυμαστὸς ἐνδόξως, ποιῶν τέρατα, σὺ εἶ
„ ὁ Θεός, ὁ ἄβυσσον γεώσας, καὶ ἅρμα-
„ τα καλύψας, καὶ Λαὸν διασώσας, ᾄδοντά
„ σοι, ὡς λυτρωτῇ ἡμῶν Θεῷ.

Ἐνεργῶν σημεῖα, ποιῶν τέρατα, μόνε Βασιλεῦ, Σταυρὸν ἐθελουσίως, ὑπέστης ὡς οἰκτίρμων. καὶ θάνατον θανάτῳ θανατώσας, ἐζωοποίησας ἡμᾶς.

Ἡ Χριστοῦ ἐγέρσει, Λαοὶ σήμερον, χορεύσωμεν πιστῶς, ἐσκύλευται ὁ ᾅδης, δεσμίους οὓς κατεῖχεν, ἀπέδωκε σπουδαίως, ἀνυμνοῦντας τὰ μεγαλεῖα τοῦ Θεοῦ.

Δυνάμει θείᾳ, ποτὲ Παράλυτον, λόγῳ σου Χριστέ, συσφίγξας καὶ προστάξας, αὐτῷ τὴν κλίνην ἆραι, χρονίως ἀσθενοῦντι· τὴν ψυχήν μου νοσοῦσαν ἴασαι δεινῶς.

Ἐν τῇ κολυμβήθρᾳ ποτὲ Ἄγγελος, τῇ προβατικῇ, κατήρχετο, καὶ ἕνα ἰᾶτο κατὰ χρόνον. Βαπτίσματι δὲ θείῳ νῦν καθαίρει, ἄπειρα πλήθη ὁ Χριστός.

Ἀρχηγὲ Ἀγγέλων, Ἀρχιστράτηγε τῶν ἄνω Λειτουργῶν, τοὺς συναθροιζομένους, ἐν τῷ σεπτῷ Ναῷ σου, καὶ τὸν Θεὸν ἀνυμνοῦντας, σκέπε φρουρεῖ, ἀπὸ παντοίων πειρασμῶν. Δόξα.

Ἐν τρισὶ προσώποις, μιᾷ φύσει δέ, ἄναρχον Θεόν, ὑμνήσωμεν ἀπαύστως, μετὰ τῶν Ἀσωμάτων, Πατέρα Λόγον Πνεῦμα, Βασιλείαν ἔχουσαν, καὶ κράτος ἀμερές.

Καὶ νῦν. Θεοτοκίον.

Ἣν τιμῶσαν ταύτην, Ἁγνὴ Πόλιν σου πάντοτε πιστῶς, περίσωζε κινδύνων, ἁλώσεως βαρβάρων, πολέμου ἐμφυλίου, καὶ μαχαίρας, καὶ πάσης ἄλλης ἀπειλῆς.

Καταβασία. Ἀναστάσεως ἡμέρα.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ „
πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' „
ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος „
Χριστοῦ, ἐν ᾧ στερεούμεθα. „

Νῦν πάντα πεπλήρωται φωτός, Οὐρανός τε, καὶ γῆ, καὶ τὰ καταχθόνια. ἑορταζέτω γοῦν πᾶσα Κτίσις, τὴν ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

Χθὲς συνεθαπτόμην σοι Χριστέ, συνεγείρομαι σήμερον ἀναστάντι σοι, συνεσταυρούμην σοι χθές, αὐτός με συνδόξασον Σωτήρ, ἐν τῇ Βασιλείᾳ σου.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἐπὶ τὴν ἀκήρατον ζωήν, ἐπανέρχομαι σήμερον ἀγαθότητι, τοῦ γεννηθέντος ἐκ σοῦ, καὶ πᾶσι τοῖς πέρασιν Ἁγνή, τὸ φέγγος ἀστράψαντος.

Θεὸν ὃν ἐκύησας σαρκί, ἐκ νεκρῶν καθὼς εἶπεν ἐξεγειρόμενον, θεασαμένη Ἁγνή, χόρευε, καὶ τοῦτον ὡς Θεόν, Ἄχραντε μεγάλυνε.

Ἐγ-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λάρισας Μανούσεια

Εἱρμὸς Ἄλλος.

" Στεῖρα ψυχὴ καὶ ἄγονε, κτῆσαι καρπὸν εὐκλεῆ, εὐφραινομένη βόησον, ἐστερεώθη ἡ καρδία μου. οὐκ ἔστιν ἅγιος, οὐκ ἔστι δίκαιος, πλὴν σοῦ Κύριε.

Ὁρῶν σε πάλαι Ἥλιος, ξύλῳ κρεμάμενον, Λόγε τὸ φῶς συνέστειλε. καὶ ἐδονεῖτο ἡ γῆ ἅπασα. νεκροὶ ἐξανίσταντο, νεκροῦ γενομένου σου, Παντοδύναμε.

Μετὰ ψυχῆς ἐλθόντος σου, ἐν τῇ κοιλίᾳ τῆς γῆς, ψυχὰς ἅσπερ ἐκέκτητο, ἐναπεδίδου ᾅδης σπουδῇ, βοώσας τῷ κράτει σου, ᾠδὴν χαριστήριον μόνε Κύριε.

Ἣν ἐν ζωῇ χρόνους πλείονας, ἐξασθενοῦσαν δεινῶς, ψυχήν μου ὑπεράγαθε, ὡς τὸν Παράλυτον πρὶν ὑγίωσον· ὡς ἂν βηματίζω σου, τὰς τρίβους, ἃς ἔδειξας τοῖς ποθοῦσί σε.

Μετὰ τῶν ἄνω τάξεων, Θεοῦ Ἀρχάγγελε, ἱκετηρίαν ποίησον, ὑπὲρ τῶν πίστει ἀνυμνούντων σε, φρουρῶν σωτηρίαν ἡμᾶς, τοῦ βίου τοῖς πάθεσι περιπίπτοντας.

Δόξα.

Δόξα Πατρὶ βοήσωμεν, Υἱῷ, καὶ Πνεύματι. εἷς γὰρ ὑπάρχει φύσει Θεός, ὃν αἱ Δυνάμεις πᾶσαι τῶν Οὐρανῶν, ἐν φόβῳ δοξάζουσι, τό, Ἅγιος, Ἅγιος, Ἅγιος κράζουσαι.

Καὶ νῦν. Θεοτοκίον.

Ἄσπορον ἔσχες σύλληψιν, καὶ ὑπὲρ νοῦν τοκετόν, Παρθενομῆτορ ἄχραντε, ἔργον θεϊκῶδες, θαῦμα μέγιστον, Ἀγγέλοις τιμώμενον, βροτοῖς δοξαζόμενον, Κόρη Δέσποινα.

Καταβασία. Δεῦτε πόμα πίωμεν καινόν.

Κάθισμα. Ἦχος ... Τὴν ὡραιότητα.

Ῥῆμα Παράλυτον, μόνον συνέσφιγξεν, ὡς ὁ παγκόσμιος, λόγος ἐφθέγγετο, τοῦ δι' ἡμᾶς ζωὴ τῆς γῆς, ὀφθέντος δι' εὐσπλαγχνίαν. ὅθεν καὶ τὸν κράββατον, ἐπιφέρων διήρχετο. κἂν οἱ Γραμματεῖς ὁρᾶν, τὸ πραχθὲν οὐχ ὑπέφερον, κακίας κατεχόμενοι φθόνῳ, τῷ τὰς ψυχὰς παραλύοντι.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν ὡραιότητα τῆς Παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι Θεοτόκε· ποῖον σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε, ἀπορῶ καὶ ἐξίσταμαι; διὸ ὡς προσετάγην βοῶ σοι· χαῖρε ἡ Κεχαριτωμένη.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

" Ἐπὶ τῆς θείας φυλακῆς, ὁ Θεηγόρος Ἀββακούμ, στήτω μεθ' ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα· σήμερον σωτηρία τῷ Κόσμῳ, ὅτι ἀνέστη Χριστὸς ὡς Παντοδύναμος.

Ἄρσεν μὲν ὡς διανοῖξαν, τὴν παρθενεύουσαν νηδύν, πέφηνε Χριστός, ὡς βροτὸς δὲ ἀμνὸς προσηγόρευται. ἄμωμος δὲ ὡς ἄγευστος, κηλῖδος τὸ ἡμέτερον Πάσχα· καὶ ὡς Θεὸς ἀληθής, τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνός, ὁ εὐλογούμενος ἡμῖν, στέφανος Χριστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ καθαρτήριον· καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, Δικαιοσύνης ἡμῖν ἔλαμψεν Ἥλιος.

Ὁ θεοπάτωρ μὲν Δαβίδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν· ὁ Λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν, ὁρῶντες εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστὸς ὡς Παντοδύναμος.

Τῆς Θεοτόκου. Ὁ Αὐτός.

Ὁ διαπλάσας τὸν Ἀδάμ, τὸν σὸν προπάτορα Ἁγνή, πλάττεται ἐκ σοῦ καὶ θανάτῳ, τῷ οἰκείῳ ἔλυσε, τὸν δι' ἐκείνου θάνατον, σήμερον καὶ κατηύγασε πάντας, ταῖς θεϊκαῖς ἀστραπαῖς τῆς Ἀναστάσεως.

Ὃν ἀπεκύησας Χριστόν, ὡραιότατος ἐκ νεκρῶν, λάμψαντα Ἁγνὴ καθορῶσα, ἡ καλὴ καὶ ἄμωμος, ἐν γυναιξὶν ὡραία τε, σήμερον εἰς πάντων σωτηρίαν, σὺν Ἀποστόλοις αὐτὸν χαίρουσα δόξαζε.

Εἱρμὸς Ἄλλος.

" Τὸ κατάσκιον ὄρος, Ἀββακοὺμ προεώρα, τὴν ἄχραντόν σου μήτραν ἁγνή. διὸ καὶ ἀνεκραύγαζεν· ἀπὸ Θαιμὰν ἥξει ὁ Θεός, καὶ ὁ Ἅγιος ἐξ ὄρους, κατασκίου δασέος.

Τῶν Ἑβραίων ὁ δῆμος, φθόνῳ τηκόμενος, ξύλῳ ἐσταύρωσέ σε Κύριε, καὶ λύσας τὸ κατάκριμα, τὸ τοῦ θανάτου ὡς κραταιός, ἐξεγήγερσαι τὸν Κόσμον, σεαυτῷ συνεγείρας.

Μετὰ μύρων γυναῖκες, τί τὸν ἀκένωτον μύρον, ζητεῖτε; ἐξεγήγερται· ταῖς Μυροφόροις ἔφησεν, ὁ καθεζόμενος



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

ἐν λάκκοις, τὴν ὑφήλιον πληρώσας, μονῆς τῆς ἀωδίας.

Δούλου φέρων εἰκόνα, ὑπερβολῇ εὐσπλαγχνίας, βαδίζων παραγέγονας, καὶ ὑγιῆ ἀπέδειξας, τὸν ἐπὶ χρόνοις Λόγε πολλοῖς, κατακείμενον κελεύσας, καὶ τὸν κράββατον ἆραι.

Ἄγγελος μὲν Κυρίου, κατὰ καιρὸν καταβαίνων, τὸ ὕδωρ ἐν τῇ προβατικῇ, ἐτάρασσε τελῶν, ὑγιῆ ἕνα καὶ μόνον· ὁ δὲ Χριστὸς πλήθη ἄπειρα, τῷ Θείῳ Βαπτισμῷ διασώζει.

Ἀρχηγὲ τῶν Ἀγγέλων, καὶ ὁδηγὲ πλανωμένων, Κυρίου Ἀρχιστράτηγε, τῇ ὥρᾳ ταύτῃ, μέσον ἡμῶν παραγενοῦ, καὶ τὰς προσευχὰς πάντων προσάγαγε, τῷ μόνῳ ποιητῇ καὶ Δεσπότῃ.

Δόξα.

Ἑνουμένη τῇ φύσει, διαιρουμένη προσώποις, ὑπάρχει ἡ ἁγία Τριάς, Πατὴρ ὁ ὑπερούσιος, ὁ συναΐδιός τε Υἱός, καὶ τὸ Ἅγιον καὶ μόνον, Παντοδύναμον Πνεῦμα.

Καὶ νῦν. Θεοτοκίον.

Ἁγνὴ πῶς θηλάζεις; πῶς δὲ ἐγέννησας βρέφος, τοῦ Ἀδὰμ ἀρχαιότερον; πῶς ἐν ἀγκάλαις φέρεις Υἱόν, τὸν ἐπὶ ὤμων Χερουβικῶν; ὡς ἐπίσταται, ὡς οἶδεν, ὁ τὸ πᾶν οὐσιώσας.

Καταβασία. Ἐπὶ τῆς θείας φυλακῆς.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, Δικαιοσύνης Ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

Τὴν ἀμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ Ἅδου σειραῖς, συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο Χριστέ, ἀγαλλομένῳ ποδί, Πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ Μνήματος, ὡς Νυμφίῳ, καὶ συνεορτάσωμεν, ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεοῦ τὸ σωτήριον.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Φωτίζεται θείαις ἀκτῖσι, καὶ ζωηφόροις, ταῖς τῆς Ἀναστάσεως τοῦ Υἱοῦ σου, Θεομῆτορ ἄχραντε, καὶ χαρμονῆς ἐμπίπλαται, τῶν εὐσεβῶν ἡ ὁμήγυρις.

Οὐκ ἤνοιξας πύλας Παρθενίας, ἐν τῷ σαρκοῦσθαι, Μνήματος οὐκ ἔλυσας τὰς σφραγῖδας, Βασιλεῦ τῆς Κτίσεως. ὅθεν ἐξαναστάντα σε, θεασαμένη ἠγάλλετο.

Εἱρμὸς ἄλλος.

Φωτί σου τῷ ἀνεσπέρῳ Χριστέ, καταύγασον τὴν ταπεινήν μου ψυχήν, καὶ ὁδήγησον εἰς τὸν φόβον σου, διότι φῶς τὰ προστάγματά σου.

Ὑψώθης ἐπὶ ξύλου τοῦ Σταυροῦ, καὶ συναμφύψωσας τὸν Κόσμον ἅπαντα, καὶ γενόμενος ἐν νεκροῖς ὁ Θεός, τοὺς ἀπ' αἰῶνος νεκροὺς ἤγειρας.

Ἀνέστη καθὼς εἶπεν ὁ Χριστός, κενώσας ἅπαντα Ἅδου τὰ βασίλεια, καὶ ὀπτάνεται Ἀποστόλοις, χαρᾶς μεταδιδοὺς διαιωνιζούσης.

Λευχείμων καθωράθη γυναιξίν, ἐξαστράπτων Ἄγγελος· μηκέτι κλαίετε. ἡ ζωὴ ὑμῶν ἐξεγήγερται, τοὺς ἐν τοῖς τάφοις νεκροὺς ζωώσας.

Παράλυτον ὡς ἤγειρας Χριστέ, τὴν παρειμένην μου ψυχὴν ὑγίωσον, παραβάσεσι, καὶ βαδίζειν με τὰς σὰς ὀρθὰς εὐόδωσον τρίβους.

Ἀγγέλων Ἀρχηγέτα Μιχαήλ, τὸν ἀθροιζόμενον ἐν τῷ Τεμένει σου Λαὸν σήμερον, καὶ κηρύττοντα τὰ τοῦ Θεοῦ, σῶζε μεγαλεῖα.

Δόξα.

Ἰσότιμος Τρισάριθμος Μονάς, διαιρουμένη μὲν πιστῶς ταῖς ὑποστάσεσιν, ἑνουμένη δὲ φύσει πέφυκε, Πατήρ, Υἱός, καὶ τὸ Θεῖον Πνεῦμα.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν ἄπορον λοχείαν σου Ἁγνή, τὴν ἀκατάληπτον ὑμνοῦμεν γέννησιν, μακαρίζοντες ὡς Μητέρα σε, τοῦ Ποιητοῦ πάντων καὶ Δεσπότου.

Καταβασία.

Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς, αἰωνίους κατόχους, πεπεδημένων Χριστέ, καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.

Φυλάξας τὰ σήμαντρα σῶα Χριστέ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς Παρθένου, μὴ λυμηνάμενος, ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν, Παραδείσου τὰς πύλας.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη "Μανούσεια"

Ὁ Σωτὴρ μου, τὸ ζῶν τε καὶ ἄθυτον, ἱερεῖον ὡς Θεὸς, σεαυτὸν ἑκουσίως, προσαγαγὼν τῷ Πατρὶ, συνανέστησας, παγγενῆ τὸν Ἀδὰμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Τῆς Θεοτόκου, Ὁ αὐτός.

Ἀνῄρηται τὸ πάλαι κρατούμενον, τῷ θανάτῳ καὶ φθορᾷ, διὰ τοῦ σαρκωθέντος ἐκ σῆς ἀχράντου γαστρὸς, πρὸς τὴν ἄφθαρτον, καὶ ἀΐδιον ζωὴν, Θεοτόκε Παρθένε.

Κατῆλθεν ἐν τοῖς κατωτάτοις τῆς γῆς, ὁ λαγόσι σου Ἁγνὴ, κατελθὼν καὶ οἰκήσας, καὶ σαρκωθεὶς ὑπὲρ νοῦν, καὶ συνήγειρεν, ἑαυτῷ τὸν Ἀδὰμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Εἱρμὸς Ἄλλος.

Βυθός μοι τῶν παθῶν ἐπανέστη, καὶ ζάλη ἐναντίων ἀνέμων. ἀλλὰ προφθάσας με σὺ, σῶσον Σωτὴρ, καὶ ῥῦσαι φθορᾶς, ὡς ἔσωσας τοῦ θηρὸς τὸν Προφήτην.

Ὑψώθης ἑκουσίως ἐν ξύλῳ, ἐτέθης ὡς νεκρὸς ἐν Μνημείῳ, καὶ τοὺς ἐν Ἅδῃ νεκροὺς, πάντας ὁμοῦ ζωώσας Χριστὲ, ἀνέστησας θεϊκῇ δυναστείᾳ.

Ὁ Ἅδης συναντήσας σοι κάτω, Οἰκτίρμων ἐπικράνθη δεσμώτας, ἀποδιδοὺς ἐν σπουδῇ, σοῦ τὴν φρικτὴν ὑμνοῦντας Σωτὴρ Ἀνάστασιν, ἐν φωναῖς ἀσιγήτοις.

Οἱ Θεῖοι Μαθηταὶ κατιδόντες, ἐκ τάφου τὴν ζωὴν τῶν ἁπάντων, ἐγηγερμένον Χριστὸν, πόθῳ πολλῷ, καὶ γνώμῃ ὀρθῇ, καὶ θυμηδίᾳ ψυχῆς προσεκύνουν.

Ὁ πάλαι ἐπὶ κλίνης ὀδύνης, ἐν χρόνοις κατακείμενος πλείστοις, τῇ σῇ προστάξει Χριστὲ, ἀρτιωθεὶς δοξάζει ὑμνῶν τὴν ἀσπλαγχνίαν, τὴν σὴν Ζωοδότα,

Ἀγγέλων Μιχαὴλ ἀρχηγέτα, τῷ Θρόνῳ παρεστὼς τοῦ Δεσπότου, πάρεσο μέσον ἡμῶν, καθοδηγῶν πρὸς τρίβους ζωῆς, τοὺς σὲ προστάτην, θερμὸν κεκτημένους.

Δόξα.

Τριάδα τοῖς προσώποις σε σέβω, Μονάδα τῇ οὐσίᾳ κηρύττω, ἄναρχε Πάτερ, Υἱὲ, Πνεῦμα ἀγαθὲς, Θεὲ τοῦ παντὸς, μετὰ τῶν ἄνω φρικτῶν στρατευμάτων.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ πάντα θείῳ νεύματι φέρων, κρατεῖται Θεοτόκε Παρθένε, ἐν ταῖς ἀγκάλαις ταῖς σαῖς· πάντας ἡμᾶς ἁρπάζων χειρὸς, δουλείας τοῦ πονηροῦ, ὡς Οἰκτίρμων.

Καταβασ. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Κοντάκ. Ἦχος γ. Ἡ Παρθένος σήμερον.

Τὴν ψυχήν μου Κύριε, ἐν ἁμαρτίαις παντοίαις, καὶ ἀτόποις πράξεσι, δεινῶς παραλελυμένην, ἔγειρον τῇ θεϊκῇ σου ἐπιστασίᾳ, ὥσπερ καὶ τὸν Παράλυτον, ἤγειρας πάλαι, ἵνα κράζω σεσωσμένος· Οἰκτίρμων δόξα, Χριστὲ τῷ κράτει σου.

Ὁ Οἶκος.

Ὁ χειρί σου δρακὶ περικρατῶν τὰ πέρατα, Ἰησοῦ ὁ Θεὸς, ὁ τῷ Πατρὶ συνάναρχος, καὶ Πνεύματι Ἁγίῳ συνδιαπόζων ἁπάντων· σαρκὶ ἐφάνης νόσους ἰώμενος, καὶ πάθη ἀπήλασας, τυφλοὺς ἐφώτισας, καὶ τὸν Παράλυτον λόγῳ Θεϊκῷ σου ἐξανέστησας, περιπατεῖν ἀθρόως προστάξας, καὶ τὴν βαστάσασαν αὐτὸν κλίνην ἐπὶ τῶν ὤμων ἆραι. ὅθεν πάντες σὺν τούτῳ ἀνυμνοῦμεν καὶ ἐκβοῶμεν· Οἰκτίρμων δόξα, Χριστὲ τῷ κράτει σου.

Ἀναγινώσκηται τὸ Συναξάριον τοῦ Μηναίου. ἔπειτα τὸ παρόν.

Στίχοι.

Τὸ ῥῆμα Χριστοῦ σφίγμα τῷ παρειμένῳ.
Οὕτως ἴαμα τοῦτο ῥῆμα καὶ μόνον.

Τῇ αὐτῇ ἡμέρᾳ Κυριακῇ τετάρτῃ ἀπὸ τοῦ Πάσχα, τοῦ Παραλύτου μνείαν ποιούμεθα, καὶ ὡς εἰκὸς τὸ τοιοῦτον ἑορτάζομεν θαῦμα. τέθειται οὖν ἐνταῦθα καὶ τοῦτο, ὅτι κατὰ τὸν καιρὸν τῆς παρ' Ἑβραίοις Πεντηκοστῆς, ὁ Χριστὸς διεπράξατο τοῦτο. ἀναβὰς γὰρ εἰς Ἱεροσόλυμα, εἰς τὴν Ἑορτὴν, καὶ ἐν τῇ πενταστόῳ Κολυμβήθρᾳ γενόμενος, ἣν Σολομὼν ᾠκοδόμησεν, ἥτις δὴ καὶ Προβατικὴ ἐπεκέκλητο, ὅτι τῶν ἐν τῷ Ἱερῷ σφαζομένων εἰς θυσίαν προβάτων, ἐκεῖσε τὰ ἐντόσθια ἔπλυνον. ἢ καὶ διὰ τὸ, τὸν πρώτως ἐκεῖσε βαίνοντα, ἡνίκα ὑπὸ τοῦ Ἀγγέλου εἰσάπαξ τοῦ ἔτους, τὸ ὕδωρ ἐταράττετο, ὑγιῆ ἀναδείκνυσθαι. εὑρίσκει οὖν ἐκεῖ ἄνθρωπον, τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχοντα, καὶ ἀπορίᾳ τοῦ εἰσβάλλοντος αὐτὸν ἐν τῷ ὕδατι, κατακείμενον. ἐξ οὗ δὴ μανθάνομεν, πόσον ἡ καρτερία καὶ ἡ ὑπομονὴ ἀγαθόν. καὶ ὅτι ἐπεὶ τὸ Βάπτισμα δοθῆναι ἔμελλε ῥυπτικὸν ἁμαρτίας ἁπάσης, ᾠκονόμησεν ὁ Θεὸς, ἐν τῇ παλαιᾷ δι' ὕδατος ἐνεργεῖσθαι τεράστια, ἵνα ὅταν ἐκεῖνο



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

γένηται, ἀνόλως παραδεχθείη. Ἐπεὶ τοῦτον δὴ τὸν Παράλυτον Ἄπορον οὕτω πως ὀνομαζόμενον, ἔρχεται ὁ Ἰησοῦς, καὶ ἐρωτᾷ αὐτόν· ὁ δὲ τὴν ἀπορίαν τὴν τοῦ συνεργήσοντος προβάλλεται. καὶ ὁ Χριστὸς τὸ ἐπὶ τοσοῦτον ἐκτακῆναι τοῦτον τῇ ἀσθενείᾳ εἰδώς, λέγει· ἆρον σου τὸν κράββατον καὶ περιπάτει. καὶ αὐτίκα ὑγιὴς ἀναδείκνυται, καὶ τὴν κλίνην ἐπ' ὤμων ἀράμενος, ἵνα μὴ φαντασία τὸ πρᾶγμα δόξῃ, τὴν εἰς τὸν οἶκον ἐβάδιζε. Σαββάτου δὲ ὄντος, ἐκωλύετο παρὰ τῶν Ἰουδαίων περιπατεῖν. ὁ δὲ τὸν ὑγιάσαντα προεβάλλετο, ὡς εἰπόντα ἐν Σαββάτῳ περιπατεῖν, μὴ εἰδὼς ὁποῖος ἐστίν. ὁ γὰρ Ἰησοῦς, φησίν, ὄχλου ἐκεῖσε συναθροισθέντος, ἐξέκλινεν ἀποκρυβείς. μετὰ δὲ ταῦτα εὕρεν αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ Ἱερῷ, καὶ λέγει αὐτῷ· ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τι σοι γένηται. τοῦτο δέ φασί τινες εἰπεῖν τὸν Χριστόν, οὐκ ὀρθῶς λέγοντες, ἐπειδὴ αὐτὸς ἔμελλε διδόναι τῷ Ἰησοῦ ῥάπισμα ὕστερον, ὅτε τῷ Ἀρχιερεῖ Καϊάφα παρίστατο, καὶ χείρονα τῆς παραλύσεως πειρασμὸν ἐντεῦθεν κληρώσασθαι τῷ αἰωνίῳ πυρί, οὐχὶ τριάκοντα ἔτη καὶ ὀκτὼ μόνον, ἀλλ' ἐς ἀεὶ βασανίζεσθαι. μᾶλλον γὰρ ἔδειξεν ὁ Κύριος ἐξ ἁμαρτιῶν αὐτῷ τὴν τῆς παραλύσεως ἐπισυμβῆναι ἀσθένειαν. οὐ μὴν δὲ πᾶσα ἀσθένεια ἐξ ἁμαρτιῶν, ἀλλὰ καὶ ἐκ φυσικῆς νόσου, καὶ ἐξ ἀδδηφαγίας, καὶ ἀδιαφορίας, καὶ ἑτέρων πολλῶν ἐπιγίνεται. Γνοὺς μέντοι ὁ Παράλυτος, ὅτι Ἰησοῦς ἐστὶν ὁ ποιήσας αὐτὸν ὑγιῆ, τοῦτο τοῖς Ἰουδαίοις καθίστησι γνώριμον. οἱ δὲ εἰς ἄμυναν ἐρεθισθέντες, ἐζήτουν ἀποκτεῖναι τὸν Χριστόν, ὅτι δῆθεν τὸ Σάββατον ἔλυσεν. ὁ δὲ αὐτοῖς πολλὰ διελέγετο, συνιστῶν, ὡς δίκαιον καὶ ἐν Σαββάτῳ εὐεργετεῖν· καὶ ὅτι αὐτός ἐστιν ὁ τὸ Σάββατον εἰπὼν τηρεῖν, ὃς ἴσος ἐστὶ τῷ Πατρί, καὶ ὥσπερ ἐκεῖνος ἔτι ἐργάζεται, οὕτω καὶ οὗτος. Ἰστέον δέ, ὡς ἕτερος οὗτος ὁ Παράλυτος, τοῦ ἐν τῷ Ματθαίῳ Παραλυτικοῦ. ἐκεῖνο μὲν γὰρ ἐν οἰκίᾳ ἐπράχθη, καὶ ὑπηρετούντων ἐκείνῳ ἀνθρώπων, καὶ ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἀκούσαντι· τοῦτο δὲ ἐν τῇ Στοᾷ ἐτελέσθη, καὶ ἄνθρωπον οὐκ εἶχεν, ὡς λέγει τὸ Ἱερὸν Εὐαγγέλιον· καὶ ὅτι τὸν κράββατον ἦρεν, ὡς καὶ ἐκεῖνος. ἑορτάζεται δὲ ἀρτίως διὰ τὸ ἐν τῇ Πεντηκοστῇ καὶ τοῦτο πραχθῆναι, ὥσπερ καὶ τὸ τῆς Σαμαρείτιδος, καὶ τὸ τοῦ Τυφλοῦ. τὸν μὲν γὰρ Θωμᾶν, καὶ τὰς Μυροφόρους, εἰς πίστωσιν τῆς ἐκ νεκρῶν τοῦ Χριστοῦ Ἀναστάσεως ἑορτάζομεν. τὰ δὲ λοιπὰ μέχρι τῆς Ἀναλήψεως, διότι αὐτὰ ἐν τῷ καιρῷ τῆς παρ' Ἑβραίοις Πεντηκοστῆς, διαφόρως ἐνήργησε· καὶ ὅτι τούτων ὁ Ἰωάννης σχεδὸν οὕτως ἐμνημόνευσε.

Τῷ ἀπείρῳ ἐλέει σου Χριστὲ ὁ Θεὸς ἡμῶν ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον. ὃν δὲ ὡς θνητόν, μετὰ δακρύων ἐζήτουν προσεκύνησαν, χαίρουσαι ζῶντα Θεόν, καὶ Πάσχα τὸ μυστικόν, σοῖς Χριστὲ Μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν, ᾅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς τῆς αἰωνίου ἀπαρχήν· καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος, νὺξ καὶ φωταυγής, τῆς λαμπροφόρου ἡμέρας τῆς ἐγέρσεως, οὖσα προάγγελος· ἐν ᾗ τὸ ἄχρονον φῶς, ἐκ τάφου σωματικῶς πᾶσιν ἐπέλαμψε.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Νεκρώσας ὁ Υἱός σου τὸν θάνατον, Πανάμωμε σήμερον, πᾶσι τοῖς θνητοῖς, τὴν διαμένουσαν ζωήν, εἰς αἰῶνας αἰώνων δεδώρηται, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὁ πάσης βασιλεύων τῆς Κτίσεως, γενόμενος ἄνθρωπος, ᾤκησε τὴν σὴν Θεοχαρίτωτε νηδύν, καὶ Σταυρὸν ὑπομείνας καὶ θάνατον, ἀνέστη Θεοπρεπῶς, συνεγείρας ἡμᾶς ὡς Παντοδύναμος.

Εἱρμὸς ἄλλος.

Ὁ τὴν φλόγα δροσίσας τῆς καμίνου, καὶ τοὺς Παῖδας ἀφλέκτους διασώσας, εὐ-

λογη-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

λογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Πλωθέντα σε ξύλῳ ὡς ἑώρα, φῶς συνέστειλεν Ἥλιος μὴ φέρων, τῷ Κόσμῳ φαίνειν, σοῦ ἑκουσίως δυνάστου Παμβασιλεῦ, εἰς φαῦσιν πάντων Ἐθνῶν.

Ἐξανέστης κενώσας τὰ μνημεῖα, καὶ σκυλεύσας τὸν ᾅδην δυναστείᾳ παντοδυνάμῳ. διὸ ὑμνοῦμεν τὴν σεπτήν σου Χριστὲ καὶ θείαν ἔγερσιν.

Ὡς νεκρὸν τί τὸν ζῶντα ἐκζητεῖτε; ἐξηγέρθη οὐκ ἔστιν ἐν τῷ τάφῳ, ταῖς Μυροφόροις ἐβόα πάλαι, ἐξαστράπτων μορφῇ ὁ θεῖος Ἄγγελος.

Κατακείμενον χρόνοις ἐπὶ πλείστοις, τὸν Παράλυτον λόγῳ ὑγιώσας, ἐβόας ἆρον τὸν κράββατόν σου, καὶ πορεύου ὑμνῶν τὰ μεγαλεῖα τοῦ Θεοῦ.

Μιχαὴλ Ἀρχιστράτηγε Κυρίου, τοὺς πιστοὺς ἐν τῷ θείῳ σου Τεμένει, ἀθροιζομένους Θεοῦ εἰς αἶνον, ὁδήγει, σκέπε, ἐκ παντοίων κακῶν τῇ μεσιτείᾳ σου.

Δόξα.

Ὢ Τριὰς, τοὺς πίστει σε ὑμνοῦντας, ὡς Θεὸν τῶν ἁπάντων καὶ Δεσπότην, ἀπὸ παντοίων κινδύνων σῶζε, καὶ τῶν σῶν ἀγαθῶν μετόχους ποίησον.

Καὶ νῦν. Θεοτοκίον.

Παρθενίας τεκοῦσα ὑπὲρ λόγον, τὸν πρὸ πάντων αἰώνων γεννηθέντα, ἐκ τοῦ ἀνάρχου Πατρὸς ἀρρεύστως. διὰ τοῦτο ἀεὶ σε μακαρίζομεν.

Καταβασία.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητὸς, καὶ διὰ πάθους τὸ θνητὸν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Αὕτη ἡ κλητὴ, καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, Ἑορτῶν Ἑορτὴ, καὶ πανήγυρις ἐστὶ πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ, τῆς ἀμπέλου γεννήματος, τῆς θείας εὐφροσύνης, ἐν τῇ ἐπισήμῳ ἡμέρᾳ τῆς Ἐγέρσεως, Βασιλείας τοῦ Χριστοῦ κοινωνήσωμεν, ὑμνοῦντες αὐτὸν ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν καὶ ἴδε. ἰδοὺ γὰρ ἥκασί σοι, θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ Δυσμῶν καὶ Βοῤῥᾶ καὶ θαλάσσης, καὶ Ἑῴας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ Παντοκράτορ, καὶ Λόγε καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη, ἐν ὑποστάσεσι φύσις, Ὑπερούσιε καὶ Ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἦλθε διὰ σοῦ εἰς τὸν Κόσμον ὁ Κύριος, Παρθένε Θεοτόκε, καὶ τὴν γαστέρα τοῦ ᾅδου διαῤῥήξας θνητοῖς, τὴν Ἀνάστασιν ἡμῖν ἐδωρήσατο· διὸ εὐλογοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὅλον καθελὼν τοῦ θανάτου τὸ κράτος, ὁ Υἱός σου Παρθένε, ἐν τῇ αὐτοῦ Ἀναστάσει, ὡς Θεὸς κραταιὸς, συνανύψωσεν ἡμᾶς καὶ ἐθέωσε. διὸ ἀνυμνοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἱρμὸς Ἄλλος.

Τὸν ὑπ' Ἀγγέλων ἀσιγήτως ἐν ὑψίστοις δοξαζόμενον Θεὸν, οἱ Οὐρανοὶ τῶν Οὐρανῶν, γῆ καὶ ὄρη καὶ βουνοὶ, βυθοὶ καὶ πᾶν γένος ἀνθρώπων, ὕμνοις αὐτὸν ὡς Κτίστην καὶ λυτρωτὴν εὐλογεῖτε.

Τὸ καταπέτασμα ἐσχίσθη σταυρωθέντος σου Σωτὴρ ἡμῶν, καὶ ἀπεδίδου τοὺς νεκροὺς, οὓς κατέπιεν ὁ θάνατος. καὶ ᾅδης ἐγυμνοῦτο σὲ καθορῶν, ἐν κατωτάτοις τῆς γῆς γενόμενον.

Ποῦ σου κέντρον ἐστὶ θάνατε; ποῦ σοῦ ᾅδη νῦν τὸ νῖκος; τῷ ἀναστάντι Βασιλεῖ, ἐνεκρώθης καὶ ἀπόλωλας, οὐκ ἔτι βασιλεύεις· ὁ κραταιὸς ἀφείλετο γὰρ οὓς εἶχες δεσμίους.

Δράμετε τάχος ἀπαγγείλατε, Ἀποστόλοις τὴν Ἀνάστασιν, ταῖς Μυροφόροις, ὁ φανεὶς νεανίας ἀπεφθέγγετο. ἀνέστη ὁ Δεσπότης, καὶ σὺν αὐτῷ οἱ ἀπ' αἰῶνος νεκροὶ παραδόξως.

Ἔτεσι πλείστοις κατακείμενος, ὁ Παράλυτος ἐκραύγαζεν· ἐλέησόν με Λυτρωτὰ, ἀπορίᾳ συνεχόμενον, ὁ δὲ προστάττει τούτῳ, ἆραι σπουδῇ τὸν κράββατον, καὶ ὀρθῶς βηματίζειν.

Ὡς τῶν αὔλων προηγούμενος, Ἀρχιστράτηγε Δυνάμεων, σὺν ταύταις

αἰτη-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

αἴτησαι ἡμῖν, τῶν πταισμάτων ἀπολύτρωσιν, διόρθωσίν τε βίου, καὶ τῶν ἐκεῖ ἀπολαύσιν, ἀγαθῶν αἰωνίων. Δόξα.

Ἄκτιστον ἄτμητον οὐσίαν, Τρισυπόστατον Θεότητα, Πατέρα ἄναρχον Θεόν, καὶ Υἱὸν καὶ Πνεῦμα Ἅγιον, ὑμνήσωμεν συμφώνως, τῶν Σεραφὶμ κραυγάζοντες, τὴν φρικτὴν μελῳδίαν.

Καὶ νῦν. Θεοτοκίον.

Τόμον σε πάλαι ἐθεάσατο, Ἡσαΐας Ἀειπάρθενε, ἐν ᾧ δακτύλῳ τοῦ Πατρός, Λόγος ἄγραφος ἐγγέγραπτο, ἐκ πάσης ἀλογίας σώζων ἡμᾶς, τοὺς λόγοις σε ἱεροῖς ἀνυμνοῦντας. Καταβασία.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, Ἑορτῶν Ἑορτή, καὶ πανήγυρις ἐστὶ πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Φωτίζου, φωτίζου, ἡ Νέα Ἱερουσαλήμ. ἡ γὰρ δόξα Κυρίου, ἐπὶ σὲ ἀνέτειλε. χόρευε νῦν, καὶ ἀγάλλου Σιών. σὺ δὲ Ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὢ θείας, ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς. μεθ' ἡμῶν ἀψευδῶς γάρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστέ. ἣν οἱ Πιστοί, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Ὢ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστέ. ὢ Σοφία καὶ Λόγε, τοῦ Θεοῦ καὶ δύναμις, δίδου ἡμῖν ἐκτυπώτερον, σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ, ἡμέρᾳ τῆς Βασιλείας σου.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Συμφώνως Παρθένε, σὲ μακαρίζομεν Πιστοί. χαῖρε πύλη Κυρίου. χαῖρε πόλις ἔμψυχε. χαῖρε δι' ἧς ἡμῖν ἔλαμψε, σήμερον φῶς, τοῦ ἐκ σοῦ Τεχθέντος, τῆς ἐκ νεκρῶν Ἀναστάσεως.

Εὐφραίνου, ἀγάλλου, ἡ θεία Πύλη τοῦ φωτός. ὁ γὰρ δύνας ἐν τάφῳ, Ἰησοῦς ἀνέτειλε, λάμψας ἡλίου φαιδρότερον, καὶ τοὺς Πιστούς, πάντας καταυγάσας, Θεοχαρίτωτε Δέσποινα.

Εἱρμὸς Ἄλλος.

Ἐν Σιναίῳ τῷ ὄρει κατεῖδέ σε, ἐν τῇ βάτῳ Μωϋσῆς, τὴν ἀφλέκτως τὸ πῦρ τῆς Θεότητος, δεξαμένην ἐν γαστρί. Δανιὴλ δέ σε εἶδεν, ὄρος ἀλατόμητον, ῥάβδον βλαστήσασαν, Ἡσαΐας κέκραγε, τὴν ἐκ ῥίζης Δαβίδ.

Ἦσου ἐπὶ ξύλου ὑψούμενος, συνανύψωσας ἡμᾶς, καὶ τεθεὶς ἑκουσίως ἐν Μνήματι, ἐκ μνημάτων τοὺς νεκρούς, ἐξανέστησας πάντας, ὑμνοῦντας τὸ κράτος σου, τὸ ἀκατάληπτον, καὶ τὴν δυναστείαν τὴν σὴν τὴν ἀήττητον.

Ὡραιότατος τάφου ἀνέτειλας, ὡς Νυμφίος ἐκ παστοῦ, ὡραιότατε Λόγε, καὶ ἔλυσας τὸ τοῦ ᾅδου ἀμειδές, καὶ δεσμώτας ἐξῆρας, συμφώνως κραυγάζοντας· δόξα τῇ δόξῃ σου, δόξα Ἰησοῦ ὁ Θεὸς τῇ ἐγέρσει σου.

Στεναγμούς τε καὶ δάκρυα φέρουσαι, μετὰ μύρων ἐν σπουδῇ, τὸ παράγιον Μνῆμα κατέλαβον, αἱ γυναῖκες καὶ Χριστοῦ, ἐδιδάσκοντο πίστει τὴν ἔνδοξον ἔγερσιν, ἣν ἑορτάζομεν, ἐν ἀγαλλιάσει ψυχῆς εὐφραινόμενοι.

Ἠκολούθει ἡ ῥῶσις τοῦ σώματος, τῇ προστάξει σου Χριστέ, καὶ ὡρᾶτο ὁ πρώην Παράλυτος, διερχόμενος σπουδῇ, καὶ τὸν κράββατον φέρων, ἐφ' ὃν κατεκλίνετο, ἔτεσι πλείοσιν, ἀνυμνολογῶν τὴν πολλὴν δυναστείαν σου.

Φωτισμὸν ἡμῖν αἴτησαι μέγιστε, Ἀρχιστράτηγε, ἀεὶ τῷ μεγάλῳ φωτὶ παριστάμενος, καὶ εἰρήνευσον ἡμῶν, τὴν ζωὴν ἐπηρείαις, πάντοτε τοῦ ὄφεως, καὶ περιστάσεσι, βίου δονουμένην ἀεὶ ἐξάγαγε. Δόξα.

Φῶς καὶ φῶτα ζωήν τε δοξάζω σε, καὶ ζωὰς πανευσεβῶς, Πάτερ, Λόγε, καὶ Πνεῦμα τὸ Ἅγιον, Τρισυπόστατε Μονάς, ἀδιαίρετον κράτος, Θεότης ἀσύγχυτε. Ἅγιος, ἅγιος, ἅγιος βοῶν, σὺν ταῖς ἄνω Δυνάμεσι.

Καὶ νῦν. Θεοτοκίον.

Φωτοφόρου προῆλθε νηδύος σου, μέγας Ἥλιος Χριστός, καὶ τὸν Κόσμον ἐφώτισεν ἄχραντε, ἐπιλάμψεσι φαιδραῖς, καὶ τὸ σκότος ἐξῆρε, τὸ τῆς παραβάσεως. ὅθεν ὑμνοῦμέν σε, πάντων ὡς αἰτίαν καλῶν Θεονύμφευτε.

Καταβασία.

Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ. ἡ γὰρ δόξα Κυρίου, ἐπὶ σὲ ἀνέτειλε. χόρευε νῦν, καὶ ἀγάλλου Σιών. σὺ δὲ Ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ἐξα-

Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

ΣΑρκὶ ὑπνώσας ὡς θνητός, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον. Πάσχα τῆς ἀφθαρσίας, τοῦ Κόσμου σωτήριον.

Ἕτερον πρὸς, Γυναῖκες ἀκουτίσθητε.

ἘΠέστη ὁ φιλάνθρωπος, καὶ πανοικτίρμων Κύριος, Προβατικῇ κολυμβήθρᾳ, τοῦ θεραπεῦσαι τὰς νόσους. εὗρε δὲ κατακείμενον, ἄνθρωπον πλείστοις ἔτεσι, καὶ πρὸς αὐτὸν ἐβόησεν· ἆρον τὸν κράββατον ἴθι, πρὸς τὰς ὁδοὺς τὰς εὐθείας.

Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή, ἱστῶμεν Κ. καὶ ψάλλομεν δ. Ἀναστάσιμα, ἦχος γ΄.

ΔΕῦτε πάντα τὰ Ἔθνη, γνῶτε τοῦ φρικτοῦ, Μυστηρίου τὴν δύναμιν. Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν, ὁ ἐν ἀρχῇ Λόγος, ἐσταυρώθη δι' ἡμᾶς, καὶ ἑκὼν ἐτάφη, καὶ ἀνέστη ἐκ νεκρῶν, τοῦ σῶσαι τὰ σύμπαντα, αὐτὸν προσκυνήσωμεν.

ΔΙηγήσαντο πάντα τὰ θαυμάσια, οἱ φύλακές σου Κύριε. ἀλλὰ τὸ συνέδριον τῆς ματαιότητος, πληρῶσαν δώρων τὴν δεξιὰν αὐτῶν, κρύπτειν ἐνόμιζον τὴν Ἀνάστασίν σου, ἣν ὁ Κόσμος δοξάζει. ἐλέησον ἡμᾶς.

ΧΑρᾶς τὰ πάντα πεπλήρωται, τῆς Ἀναστάσεως τὴν πεῖραν εἰληφότα. Μαρία γὰρ ἡ Μαγδαληνὴ ἐπὶ τὸ Μνῆμα ἦλθεν. εὗρεν Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τοῖς ἱματίοις ἐξαστράπτοντα καὶ λέγοντα· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ' ἐγήγερται, καθὼς εἶπε, προάγων ἐν τῇ Γαλιλαίᾳ.

ἘΝ τῷ φωτί σου Δέσποτα, ὀψόμεθα φῶς φιλάνθρωπε. ἀνέστης γὰρ ἐκ τῶν νεκρῶν, σωτηρίαν τῷ Γένει τῶν ἀνθρώπων δωρούμενος· ἵνα σε πᾶσα Κτίσις δοξολογῇ, τὸν μόνον ἀναμάρτητον. ἐλέησον ἡμᾶς.

Ἕτερα Ἀνατολικά. Ὁ αὐτός.

ΥΜνον Ἑωθινὸν αἱ Μυροφόροι γυναῖκες, τὰ δάκρυα προσέφερον Κύριε. εὐωδίας γὰρ ἀρώματα κατέχουσαι, τὸ Μνῆμά σου κατέλαβον, τὸ ἄχραντόν σου Σῶμα μυρίσαι σπουδάζουσαι. Ἄγγελος καθήμενος ἐπὶ τὸν λίθον, αὐταῖς εὐηγγελίσατο· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τὸν θάνατον γὰρ πατήσας, ἀνέστη ὡς Θεός, παρέχων πᾶσι τὸ μέγα ἔλεος.

ἘΞαστράπτων Ἄγγελος, ἐπὶ τὸ Μνῆμά σου τὸ ζωοποιόν, ταῖς Μυροφόροις ἔλεγεν· ἐκένωσε τοὺς τάφους ὁ Λυτρωτής, ἐσκύλευσε τὸν ᾅδην, καὶ ἀνέστη τριήμερος, ὡς μόνος Θεὸς καὶ Παντοδύναμος.

ΕἸς τὸ μνῆμα σε ἐπεζήτησεν, ἐλθοῦσα τῇ μιᾷ τῶν Σαββάτων, Μαρία ἡ Μαγδαληνή· μὴ εὑροῦσα δέ, ὠλοφύρετο κλαυθμῷ βοῶσα· οἴμοι Σωτήρ μου, πῶς ἐκλάπης πάντων Βασιλεῦ; ζεῦγος δὲ ζωηφόρων Ἀγγέλων, ἔνδοθεν τοῦ Μνημείου ἐβόα· τί κλαίεις ὦ γύναι; κλαίω φησίν, ὅτι ἦραν τὸν Κύριόν μου τοῦ τάφου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. αὐτὴ δὲ στραφεῖσα ὀπίσω, ὡς κατεῖδέ σε εὐθέως ἐβόα· ὁ Κύριός μου, καὶ ὁ Θεός μου δόξα σοι.

ἙΒραῖοι συνέκλεισαν, ἐν τῷ τάφῳ τὴν ζωήν. λῃστὴς δὲ ἀνέῳξεν, ἐν τῇ γλώσσῃ τὴν τρυφήν, κραυγάζων καὶ λέγων· ὁ μετ' ἐμοῦ δι' ἐμὲ σταυρωθείς, συνεκρέματό μοι ἐπὶ τοῦ ξύλου, καὶ ἐφαίνετό μοι ἐπὶ τοῦ Θρόνου, τῷ Πατρὶ συγκαθήμενος. αὐτὸς γάρ ἐστι Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Δόξα, ἦχος, πλ. δ΄.

ΚΥριε τὸν Παράλυτον οὐχ ἡ κολυμβήθρα ἐθεράπευσεν, ἀλλ' ὁ σὸς λόγος ἀνεκαίνισε. καὶ οὐδὲ ἡ πολυχρόνιος αὐτῷ ἐνεπόδισε νόσος, ὅτι τῆς φωνῆς σου ὀξυτέρα ἡ ἐνέργεια ἐδείχθη. καὶ τὸ δυσβάστακτον βάρος ἀπέρριψε, καὶ τὸ φορτίον τῆς κλίνης ἐβάστασεν, εἰς μαρτύριον τοῦ πλήθους τῶν οἰκτιρμῶν σου· δόξα σοι.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν α΄. Ὥραν, τὸ Ἑωθινόν.

Ἦχος, γ΄.

ΤΗς Μαγδαληνῆς Μαρίας, τὴν τοῦ Σωτῆρος εὐαγγελιζομένης, ἐκ νεκρῶν Ἀνάστασιν, καὶ ἐμφάνειαν, διαπιστοῦντες οἱ Μαθηταί, ὠνειδίζοντο τὸ τῆς καρδίας σκληρόν. ἀλλὰ τοῖς σημείοις καθοπλισθέντες καὶ θαύμασι, πρὸς τὸ Κήρυγμα ἀπεστέλλοντο. καὶ σὺ μὲν Κύριε, πρὸς τὸν ἀρχίφωτον ἀνελήφθης Πατέρα· οἱ δὲ ἐκήρυττον πανταχοῦ τὸν Λόγον, τοῖς θαύμασι



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

πιστευόμενοι. διὸ οἱ φωτισθέντες δι᾽ αὐτῶν, δοξάζομέν σου τὴν ἐκ νεκρῶν Ἀνάστασιν, φιλάνθρωπε Κύριε.

Εἰς τὴν Λειτουργίαν.

Οἱ Μακαρισμοὶ τοῦ ἤχου, ἦχος, γ΄.

Ἀθετήσαντα Χριστὲ, τὴν ἐντολήν σου τὸν προπάτορα Ἀδὰμ, τοῦ Παραδείσου ἐξώρισας. τὸν δὲ λῃστὴν Οἰκτίρμων, ὁμολογήσαντά σε ἐν Σταυρῷ, ἐν αὐτῷ εἰσῴκισας κράζοντα· μνήσθητί μου Σωτὴρ ἐν τῇ Βασιλείᾳ σου.

Ἀναστὰς ἐκ τῶν νεκρῶν, συνεξανέστησας ἡμᾶς ἐκ τῶν παθῶν, τῇ Ἀναστάσει σου Κύριε, τοῦ δὲ θανάτου πᾶσαν, τὴν δυναστείαν ὤλεσας Χριστέ. διὰ τοῦτο πίστει κραυγάζομεν· μνήσθητι καὶ ἡμῶν ἐν τῇ Βασιλείᾳ σου.

Ἡ τριημέρῳ σου ταφῇ, τοὺς ἐν τῷ Ἅδῃ νεκρωθέντας ὡς Θεὸς, ζωοποιήσας συνήγειρας, καὶ ἀφθαρσίαν πᾶσιν, ὡς ἀγαθὸς ἐπήγασας ἡμῖν, τοῖς ἐν πίστει κράζουσι πάντοτε· μνήσθητι καὶ ἡμῶν ἐν τῇ Βασιλείᾳ σου.

Ἁμαρτήσαντας ἡμᾶς, τῇ τοῦ θανάτου κατεδίκασας ἀρᾷ, ὁ ζωοδότης καὶ Κύριος. ἐν δὲ τῷ σώματί σου, ἀναμαρτήτως Δέσποτα παθὼν, τοὺς θνητοὺς ἐζώωσας κράζοντας· μνήσθητι καὶ ἡμῶν ἐν τῇ Βασιλείᾳ σου.

Καὶ ἀπὸ τοῦ Κανόνος τοῦ Παραλύτου, ᾠδὴ, ϛ΄.

Χρὴ γινώσκειν, ὅτι ἡ Ἀκολουθία τοῦ Παραλύτου ψάλλεται ἡμέρας τρεῖς. τῇ Κυριακῇ, τῇ β΄. καὶ τῇ γ΄.

Τῇ Κυριακῇ τῆς Δ΄. Ἑβδομάδος, Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν στιχηρὰ τῆς Ἑορτῆς, γ΄. καὶ τοῦ Μηναίου, γ΄. τῆς Ἑορτῆς, ἦχος, πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Τοῦ παραδόξου θαύματος, ὁ ποιητὴς τοῦ παντὸς, σαρκοφόρος γενόμενος, τὴν ἡμῶν ἐπτώχευσε, φύσιν θέλων ὡς εὔσπλαγχνος, καὶ τοῖς ἀνθρώποις, συνδιαιτώμενος, θαυμάτων πλήθη, Ἑβραίοις δέδειχεν. ὅθεν ἰάσατο, τὸν ποτὲ Παράλυτον, εἰπὼν αὐτῷ· ἆρόν σου τὸν κράββατον, ἐν Βηθεσδᾷ ἐπιστάς.

Σῶτερ Θεέ μου καὶ Κύριε, τοὺς πεπτωκότας βροτοὺς, ἀναστῆσαι βουλόμενος, ἐπὶ γῆς ὡς ἄνθρωπος, περιήρχου ἰώμενος, πάντων τὰς νόσους, δι᾽ εὐσπλαγχνίαν πολλήν. διὸ φοιτήσας, Προβατικῇ ἐν Στοᾷ, σῷον ἀνέστησας, τὸν ποτὲ Παράλυτον, λόγῳ τῷ σῷ, ὀκτὼ καὶ τριάκοντα, ἔτεσι κείμενον.

Φθόνῳ Ἑβραῖοι τηκόμενοι, εὐεργεσίας τὰς σὰς, ὑπεράγαθε Κύριε, ἀφορμὴν ποιούμενοι, καὶ μανίας ὑπέκκαυμα, παραμομοῦντες αὐτοὶ τὸν νόμον ἀεὶ, σὲ ἐπεζήτουν κτεῖναι τὴν ὄντως ζωὴν, διὰ τὸ Σάββατον, ὅτε ὅλον ἄνθρωπον, ἔδειξας σὺ, ὑγιῆ Παράλυτον, ὄντα τὸ πρότερον.

Δόξα, καὶ νῦν. ἦχος, πλ. α΄.

Ἐπὶ τῇ προβατικῇ κολυμβήθρᾳ, ἄνθρωπος κατέκειτο ἐν ἀσθενείᾳ. καὶ ἰδών σε Κύριε ἐβόα· ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με ἐν αὐτῷ. ἐν ᾧ δὲ πορεύομαι, ἄλλος προλαμβάνει με, καὶ λαμβάνει τὴν ἴασιν, ἐγὼ δὲ ἀσθενῶν κατάκειμαι. καὶ εὐθὺς σπλαγχνισθεὶς ὁ Σωτὴρ, λέγει πρὸς αὐτόν· διὰ σὲ ἄνθρωπος γέγονα, διὰ σὲ σάρκα περιβέβλημαι, καὶ λέγεις ἄνθρωπον οὐκ ἔχω; ἆρόν σου τὸν κράββατον καὶ περιπάτει· πάντα σοι δυνατὰ, πάντα ὑπακούει, πάντα ὑποτέτακται, πάντων ἡμῶν μνήσθητι, καὶ ἐλέησον Ἅγιε, ὡς φιλάνθρωπος.

Εἰς τὸν στίχον τὰ Ἀναστάσιμα, ἦχ. γ΄.

Τῷ σῷ Σταυρῷ Χριστὲ Σωτὴρ, θανάτου κράτος λέλυται, καὶ Διαβόλου ἡ πλάνη κατήργηται. γένος δὲ ἀνθρώπων πίστει σωζόμενον, ὕμνον σοι καθ᾽ ἑκάστην προσφέρει.

Κατανυκτικόν.

Ἑσπερινὸν ὕμνον προσφέρομέν σοι Χριστὲ, μετὰ θυμιάματος, καὶ ᾠδῶν πνευματικῶν, ἐλέησον Σωτὴρ τὰς ψυχὰς ἡμῶν.

Μαρτυρικόν.

Μεγάλη τοῦ Σταυροῦ σου Κύριε ἡ δύναμις. ἐπάγη γὰρ ἐν τόπῳ, καὶ ἐνεργεῖ ἐν Κόσμῳ, καὶ ἀνέδειξεν ἐξ Ἁλιέων Ἀποστόλους, καὶ ἐξ Ἐθνῶν Μάρτυρας, ἵνα πρεσβεύωσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δόξα, καὶ νῦν. ἦχος, α΄.

Ὁ Τῇ παλάμῃ τῇ ἀχράντῳ πλαστουργήσας τὸν ἄνθρωπον, ἦλθες εὔσπλαγχνε, τοὺς νοσοῦντας ἰάσασθαι Χριστέ. τὸν Παράλυτον ἐν τῇ προβατικῇ κολυμβήθρᾳ, διὰ τοῦ λόγου σου ἀνέστησας. Αἱμόῤῥου δὲ τὸ ἄλγος ἐθεράπευσας. τῆς Χαναναίας τὴν παῖδα ἐνοχλουμένην ἠλέησας. καὶ τὴν αἴτησιν τοῦ Ἑκατοντάρχου οὐ παρεῖδες. διὰ τοῦτο κράζομεν· Παντοδύναμε Κύριε δόξα σοι.

Τῇ Β΄. τῆς Δ΄. Ἑβδομάδος, εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολογίαν. Ἀναστάσιμον. Ἦχος, γ΄.

Χριστὸς ἐκ νεκρῶν ἐγήγερται, ἡ ἀπαρχὴ τῶν κεκοιμημένων, ὁ πρωτότοκος τῆς Κτίσεως, καὶ δημιουργὸς πάντων τῶν γεγονότων, τὴν καταφθαρεῖσαν φύσιν τοῦ γένους ἡμῶν, ἐν ἑαυτῷ ἀνεκαίνισεν. οὐκ ἔτι θάνατε κυριεύεις. ὁ γὰρ τῶν ὅλων Δεσπότης τὸ κράτος σου κατέλυσε.

Κατανυκτικόν.

Παροικοῦσα ἐν τῇ γῇ, ψυχή μου μετανόησον· χοῦς ἐν τάφῳ οὐχ ὑμνεῖ, πταισμάτων οὐ λυτροῦται. βόησον Χριστῷ τῷ Θεῷ· Καρδιογνῶστα ἥμαρτον, πρὶν καταδικάσῃς με, ἐλέησόν με.

Μαρτυρικόν.

Τὸ ἔμψυχον τῆς καρτερίας ὑμῶν, ἐνίκησε τὰ μηχανήματα τοῦ ἀρχεκάκου ἐχθροῦ, Ἀθλοφόροι μακάριοι, διὰ τοῦτο τῆς αἰωνίου κατηξιώθητε μακαριότητος. ἀλλὰ πρεσβεύσατε τῷ Κυρίῳ, τοῦ φιλοχρίστου Λαοῦ σῶσαι τὸ ποίμνιον, Μάρτυρες ὑπάρχοντες τῆς ἀληθείας.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Αὐτόμελον.

Τὴν ὡραιότητα τῆς Παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγεὶς, ἐβόα σοι Θεοτόκε. ποῖόν σοι ἐγκώμιον προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι. διὸ ὡς προσετάγην βοῶ σοι· χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ δὲ τὴν β΄. στιχολογίαν. Ὅμοιον.

Πάρεσιν εὔρωστον τὴν ὁλοσώματον, οἱ παραλύσεσι, φθόνῳ σφιγγόμενοι, τὴν ἐν Σαββάτῳ Παραλύτου, σφίγξιν καταμεμφόμενοι, λέγοντες οὐκ ἔξεστι, θεραπεύειν τοῖς Σάββασι, λύειν τε τὴν πάτριον, τοῦ Σαββάτου κατάπαυσιν· τοῦ νόμου σε μὴ γνόντες Δεσπότην, καὶ θεραπευτὴν τῶν ψυχῶν ἡμῶν. Δίς.

Τὸ, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν΄. Εἶτα ὁ Κανόνες τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν, εἰς η΄. Καὶ τοῦ Μηναίου, εἰς δ΄. Κοντάκιον, καὶ Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ παρόντα δ΄. τῆς Ὀκτωήχου.

Στιχηρὰ Ἀναστάσιμα, ἦχος, γ΄.

Δεῦτε πάντα τὰ Ἔθνη, γνῶτε τοῦ φρικτοῦ μυστηρίου τὴν δύναμιν. Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν, ὁ ἐν ἀρχῇ Λόγος ἐσταυρώθη δι᾽ ἡμᾶς, καὶ ἑκὼν ἐτάφη, καὶ ἀνέστη ἐκ νεκρῶν, τοῦ σῶσαι τὰ σύμπαντα. αὐτὸν προσκυνήσωμεν. Δίς.

Κατανυκτικόν.

Πολλάκις τὴν ὑμνῳδίαν ἐκτελῶν, εὑρέθην τὴν ἁμαρτίαν ἐκπληρῶν. τῇ μὲν γλώττῃ ᾄσματα φθεγγόμενος, τῇ δὲ ψυχῇ ἄτοπα λογιζόμενος. ἀλλ᾽ ἑκάτερα διόρθωσον Χριστὲ ὁ Θεὸς, διὰ τῆς μετανοίας, καὶ ἐλέησόν με.

Μαρτυρικόν.

Τῶν Ἁγίων Ἀθλοφόρων τὴν μνήμην, δεῦτε Λαοὶ ἅπαντες τιμήσωμεν. ὅτι θέατρον γενόμενοι Ἀγγέλοις, καὶ ἀνθρώποις, τὸν τῆς νίκης στέφανον παρὰ Χριστοῦ ἐκομίσαντο, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν, ἦχος, α΄.

Ὡς τάφος νεκρὸς ὑπάρχων ὁ Παράλυτος, ἰδών σε ἐβόησεν, ἐλέησόν με Κύριε, ὅτι ἡ κλίνη μου τύμβος μοι ἐγένετο. τίνοι κέρδος ζωῆς; οὐ χρῄζω τῆς προβατικῆς κολυμβήθρας. οὐ γὰρ ἔστι μοί τις ὁ ἐμβάλλων με, ταραττομένων τῶν ὑδάτων. ἀλλὰ σοὶ τῇ πηγῇ προσέρχομαι τῶν ἰαμάτων, ἵνα κἀγὼ μετὰ πάντων κράζω· Παντοδύναμε Κύριε δόξα σοι.

Εἰς τὸν δ΄. ἦχος, γ΄.

Μεγάλη τοῦ Σταυροῦ σου Κύριε.

Σημείων καὶ τεράτων, βλέποντες τὴν δύναμιν, οἱ φθόνῳ παρειμένοι, καὶ δυνατοὶ κακίᾳ, οὐκ ἐπίστευον, ὡς σὺ Θεοῦ



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Υἱὸς ὑπάρχεις, καὶ τοῦ παντὸς πρύτανις, ὁ καὶ Παράλυτον ὑγιῆ δείξας λόγῳ.

Στ. Τὰ ἐλέη σου Κύριε εἰς τὸν αἰῶνα.

Ἰδόντες οἱ Σαββάτων, φύλακες Παράλυτον, σφιγχθέντα ἐν Σαββάτῳ, τὴν ψυχὴν ἐχαυνοῦντο, καὶ οὐκ ἔξεστιν, ἐν τῷ Σαββάτῳ θεραπεύειν, καὶ βεβηλοῦν τὸ Σάββατον, τάχα ὡς νόμιμοι, Γραμματεῖς ἐπεβόων.

Στ. Ὅτι εἶπας εἰς τὸν αἰῶνα.

Σαββάτων αὐτουργόν, μὴ γνόντες σε καὶ Κύριον, οἱ Σάββατα τηροῦντες, τὴν Παραλύτου σφίγξιν, διεγόγγυζον, τὴν ἐν Σαββάτῳ γενομένην, ὡς οὐ καλὸν λέγοντες, αἴρειν τὸν κράββατον, ἐν ἡμέρᾳ Σαββάτου.

Δόξα, καὶ νῦν. Ἦχος πλ. α'.

Ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, ἐπὶ τῇ προβατικῇ Κολυμβήθρᾳ, τῇ λεγομένῃ κατὰ Ἰουδαίους Βηθεσδά, πέντε στοὰς ἐχούσῃ. ἐν ταύταις γὰρ κατέκειτο πλῆθος τῶν ἀσθενούντων. Ἄγγελος γὰρ τοῦ Θεοῦ κατὰ καιρὸν ἐποιφοιτῶν διετάραττεν αὐτήν, καὶ ῥῶσιν ἐχαρίζετο τοῖς προσιοῦσιν ἐν πίστει. καὶ ἰδὼν ὁ Κύριος χρονίζοντα ἄνθρωπον, λέγει πρὸς αὐτόν· θέλεις ὑγιὴς γενέσθαι; ὁ ἀσθενῶν ἀπεκρίνατο. Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν Κολυμβήθραν. Ἰατροῖς κατηνάλωσα τὸν ἅπαντα μου βίον, καὶ ἐλέους τυχεῖν οὐκ ἠξιώθην. Ἀλλ' ὁ Ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων, λέγει πρὸς αὐτόν· ἆρόν σου τὸν κράββατον καὶ περιπάτει, κηρύττων μου τὴν δύναμιν, καὶ τὸ μέγα ἔλεος ἐν τοῖς πέρασι.

Τῇ Β'. τῆς Δ'. Ἑβδομάδος, Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχ. ς'. καὶ ψάλλομεν τὰ παρόντα δύω Ἰδιόμελα, δευτεροῦντες τὸ πρῶτον, καὶ τοῦ Μηναίου γ'.

Ἦχος α'.

Ὁ τῇ παλάμῃ τῇ ἀχράντῳ πλαστουργήσας τὸν ἄνθρωπον, ἦλθες εὔσπλαγχνε τοὺς νοσοῦντας ἰάσασθαι Χριστέ. τὸν Παράλυτον ἐν τῇ προβατικῇ Κολυμβήθρᾳ διὰ τοῦ λόγου σου ἀνέστησας. Αἱμόρρουν δὲ τὸ ἄλγος ἐθεράπευσας. τῆς Χαναναίας τὴν Παῖδα ἐνοχλουμένην ἠλέησας. καὶ τὴν αἴτησιν τοῦ Ἑκατοντάρχου οὐ παρεῖδες. διὰ τοῦτο κράζομεν· Παντοδύναμε Κύριε δόξα σοι.

Ὁ αὐτός.

Τάφος νεκρὸς ὑπάρχων ὁ Παράλυτος, ἰδών σε ἐβόησεν· ἐλέησόν με Κύριε, ὅτι ἡ κλίνη μου τύμβος μοι ἐγένετο. τί μοι κέρδος ζωῆς; οὐ χρήζω τῆς προβατικῆς κολυμβήθρας· οὐ γάρ ἐστί μοι τίς ὁ ἐμβάλλων με, ταραττομένων τῶν ὑδάτων. ἀλλὰ σοὶ τῇ πηγῇ προσέρχομαι τῶν ἰαμάτων, ἵνα κἀγὼ μετὰ πάντων κράζω· Παντοδύναμε Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν. Ἦχος πλ. α'.

Ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, ἐπὶ τῇ προβατικῇ Κολυμβήθρᾳ, τῇ λεγομένῃ κατὰ Ἰουδαίους Βηθεσδά, πέντε στοὰς ἐχούσῃ. ἐν ταύταις γὰρ κατέκειτο πλῆθος τῶν ἀσθενούντων. Ἄγγελος γὰρ τοῦ Θεοῦ κατὰ καιρὸν ἐπιφοιτῶν, διετάραττεν αὐτήν, καὶ ῥῶσιν ἐχαρίζετο τοῖς προσιοῦσιν ἐν πίστει. καὶ ἰδὼν ὁ Κύριος χρονίζοντα ἄνθρωπον, λέγει πρὸς αὐτόν· θέλεις ὑγιὴς γενέσθαι; ὁ ἀσθενῶν ἀπεκρίνατο· Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν Κολυμβήθραν. Ἰατροῖς κατηνάλωσα τὸν ἅπαντα μου βίον, καὶ ἐλέους τυχεῖν οὐκ ἠξιώθην. ἀλλ' ὁ Ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων λέγει πρὸς αὐτόν· ἆρόν σου τὸν κράββατον καὶ περιπάτει, κηρύττων μου τὴν δύναμιν, καὶ τὸ μέγα ἔλεος ἐν τοῖς πέρασι.

Εἰς τὸν Στ. Στ. τῆς Ὀκτωήχου.

Ἀναστάσιμον, Ἦχος γ'.

Πεφώτισται τὰ σύμπαντα, τῇ Ἀναστάσει σου Κύριε, καὶ ὁ Παράδεισος πάλιν ἠνέῳκται. πᾶσα δὲ ἡ Κτίσις ἀνυμνοῦσά σε, ὕμνον σοι καθ' ἑκάστην προσφέρει.

Κατανυκτικόν.

Σῶσόν με Κύριε ὁ Θεός μου· σὺ γὰρ πάντων ἡ σωτηρία. ὁ κλύδων με τῶν παθῶν ἐκταράττει, καὶ τὸ βάρος τῶν ἀνομιῶν με βυθίζει. δός μοι χεῖρα βοηθείας, καὶ πρὸς φῶς ἀνάγαγέ με κατανύξεως, ὡς μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Μαρτυρικόν.

Μεγάλη τῶν Μαρτύρων σου Χριστὲ ἡ δύναμις· ἐν μνήμασι γὰρ κεῖνται, καὶ

πνά-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

πράγματα διώκουσι, καὶ κατήργησαν ἐχθροῦ τὴν ἐξουσίαν, τῇ πίστει τῆς Τριάδος, ἀγωνισάμενοι ὑπὲρ τῆς εὐσεβείας.

*Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'.*

ἘΝ τῇ Στοᾷ τοῦ Σολομῶντος, ἐκεῖ κατέκειτο πλῆθος τῶν ἀσθενούντων. καὶ μεσούσης τῆς Ἑορτῆς, εὗρεν ὁ Χριστὸς, ὀκτὼ καὶ τριάκοντα ἐτῶν Παράλυτον κείμενον. δεσποτικῇ φωνῇ λέγει πρὸς αὐτόν· θέλεις ὑγιὴς γενέσθαι; ὁ ἀσθενῶν ἀπεκρίνατο· Κύριε ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν Κολυμβήθραν. ὁ λέγει πρὸς αὐτόν· ἆρόν σου τὴν κλίνην· ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε. τῆς Θεοτόκου πρεσβείαις Κύριε, κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

---

*Τῇ Γ'. τῆς Δ'. Ἑβδομάδος, εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολογίαν, κάθισμα Ἀναστάσιμον, ἦχος, γ'.*

Ἀρκὶ τοῦ θανάτου γευσάμενος Κύριε, τὸ πικρὸν τοῦ θανάτου ἐξέτεμες τῇ ἐγέρσει σου. καὶ τὸν ἄνθρωπον κατ' αὐτοῦ ἐνισχύσας, τῆς ἀρχαίας κατάρας τὴν ἧτταν ἀνακαλούμενος, ὁ ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, Κύριε δόξα σοι.

*Κατανυκτικόν.*

Ὡς πότε ψυχή μου ἐπιμένεις τοῖς πταίσμασιν; ἕως τίνος οὐ λαμβάνεις μετανοίας ὑπέρθεσιν; λάβε κατὰ νοῦν τὴν κρίσιν τὴν μέλλουσαν, καὶ βόησον Χριστῷ τῷ Θεῷ· ἥμαρτον ἀναμάρτητε ἐλέησόν με.

*Μαρτυρικόν.*

ἘΚλάμπετε διὰ τῆς Πίστεως ὑπέρλαμπροι φωστῆρες Ἅγιοι, Θεοσεβείας ἐρασταὶ, Ἀθλοφόροι πανεύφημοι. τῶν Τυράννων γὰρ τὰς αἰκίσεις μὴ δειλιάσαντες, τῶν εἰδώλων τὴν πλάνην κατηδαφίσατε, τρόπαιον ἔχοντες ἀήττητον, τὸν Σταυρὸν τῆς ἀληθείας.

*Θεοτοκίον.*

ΚΑταφυγὴ καὶ δύναμις ἡμῶν Θεοτόκε, ἡ κραταιὰ βοήθεια τοῦ Κόσμου, ταῖς πρεσβείαις σου σῶζε τοὺς δούλους σου, ἀπὸ πάσης ἀνάγκης μόνη εὐλογημένη.

*Εἰς τὴν β'. στιχολογίαν, κάθισμα ἕτερον, ἦχος δ'.*

*Τὴν ὡραιότητα.*

ΠΑρεσιν εὕραντο τὴν ὁλοσώματον, οἱ παραλύσει φθόνου σφιγγόμενοι, τὴν ἐν Σαββάτῳ Παραλύτου σφίγξιν καταμοῦντες. λέγοντες οὐκ ἔξεστι, θεραπεύειν τοῖς Σάββασι, λύειν τε τὴν πάτριον, τοῦ Σαββάτου κατάπαυσιν· τὸν μόνον σε μὴ γνόντες Δεσπότην, καὶ θεραπευτὴν τῶν ψυχῶν ἡμῶν. *Δίς.*

*Τὸ, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν'.* Οἱ Κανόνες τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν, εἰς η'. Καὶ τοῦ Μηναίου, εἰς δ'. Κοντάκιον, καὶ Ἐξαποστειλάριον, τῆς Ἑορτῆς.

*Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ'. Δευτεροῦντες τὸ, α'. Ἀναστάσιμον, ἦχος, γ'.*

ΔΙηγήσαντο πάντα τὰ θαυμάσια, οἱ φύλακές σου Κύριε. ἀλλὰ τὸ συνέδριον τῆς ματαιότητος, πληρώσαν δώρων τὴν δεξιὰν αὐτῶν, κρύπτειν ἐνόμιζον τὴν Ἀνάστασίν σου, ἣν ὁ Κόσμος δοξάζει, ἐλέησον ἡμᾶς. *Δίς.* *Κατανυκτ.*

ΤὸΝ διεσπαρμένον μου νοῦν συνάγαγε Κύριε, καὶ τὴν χερσωθεῖσάν μου καρδίαν καθάρισον, ὡς τῷ Πέτρῳ διδοὺς μοι μετάνοιαν, ὡς τῷ Τελώνῃ στεναγμὸν, καὶ ὡς τῇ Πόρνῃ δάκρυα, ἵνα μεγάλῃ τῇ φωνῇ κραυγάζω σοι· ὁ Θεὸς σῶσόν με, ὡς μόνος εὔσπλαγχνος, καὶ φιλάνθρωπος.

*Μαρτυρικόν.*

ΒΑσιλέων καὶ Τυράννων τὸν φόβον ἀπωσάμενοι, οἱ Χριστοῦ στρατιῶται, καὶ εὐθαρσῶς καὶ ἀνδρείως αὐτὸν ὡμολόγησαν, τὸν ἁπάντων Κύριον, Θεὸν καὶ Βασιλέα ἡμῶν, καὶ πρεσβεύουσιν ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'.*

ΚΥριε τὸν Παράλυτον οὐχ ἡ Κολυμβήθρα ἐθεράπευσεν, ἀλλ' ὁ σὸς λόγος ἀνεκαίνισε. καὶ οὐδὲ ἡ πολυχρόνιος αὐτῷ ἐνεπόδισε νόσος, ὅτι τῆς φωνῆς σου ὀξυτέρα ἡ ἐνέργεια ἐδείχθη, καὶ τὸ δυσβάστακτον βάρος ἀπέρριψε, καὶ τὸ φορτίον τῆς κλίνης ἐβάστασεν, εἰς μαρτύριον τοῦ πλήθους τῶν οἰκτιρμῶν σου, δόξα σοι.

*Εἰς τὸν στίχ. στιχηρὰ Προσόμοια τῆς Ἑορτῆς. ἦχος, γ'.*

*Μεγάλη τοῦ Σταυροῦ σου Κύριε.*

ἘΦάνη παρειμένοις μέλεσιν ὁ λόγος σου, ὡς σφίγμα ζωηφόρον, ζωοποιέ μου Λόγε. οὗ μαρτύριον, ἡ παρ' ἐλπίδα κλίνης ἄρσις· ἣν κελευσθεὶς ἔφερεν, ὁ κατακείμενος, ἐπ' αὐτῆς ἐπὶ πλεῖστον.

Στ. Τὰ ἐλέη σου Κύριε εἰς τὸν αἰῶνα.

Ἡδόμενος πληροῖ τὸ πρόσταγμα Παράλυτος, τῆς σῆς παντοδυνάμου, Δεσποτικῆς ἰσχύος, καὶ τὸν κράββατον φέρων αὐτοῦ περιεπάτει, καὶ μαρτυρῶν ἐκραύγαζεν· ὁ ἰασάμενος, τοῦτο ποιεῖν κελεύει.

Στ. Ὅτι εἶπας εἰς τὸν αἰῶνα.

Ἐν ἔτεσι πολλοῖς καὶ δρόμοις κατακείμενος, ἐλέησόν με κράζει, ὁ παρειμένος μέλη, Λυτρωτὰ Χριστέ, συνεσφιγμένος ἀπορίᾳ. καὶ ὁ Σωτὴρ κράββατον, αἴρειν προσέταττε, κατασφίγξας τὰ μέλη.

Δόξα, καὶ νῦν. ἦχος, πλ. α'.
Τοῦ Κυριλλᾶ.

Ἐπὶ τῇ προβατικῇ Κολυμβήθρᾳ, ἄνθρωπος κατέκειτο ἐν ἀσθενείᾳ, καὶ ἰδών σε Κύριε ἐβόα· ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλλῃ με ἐν αὐτῷ· ἐν ᾧ δὲ πορεύομαι, ἄλλος προλαμβάνει με, καὶ λαμβάνει τὴν ἴασιν. ἐγὼ δὲ ἀσθενῶν κατάκειμαι. καὶ εὐθὺς σπλαγχνισθεὶς ὁ Σωτὴρ, λέγει πρὸς αὐτόν· διὰ σὲ ἄνθρωπος γέγονα, διὰ σὲ σάρκα περιβέβλημαι, καὶ λέγεις, ἄνθρωπον οὐκ ἔχω; ἆρόν σου τὸν κράββατον καὶ περιπάτει. πάντα σοι δυνατά, πάντα ὑπακούει, πάντα ὑποτέτακται, πάντων ἡμῶν μνήσθητι, καὶ ἐλέησον Ἅγιε, ὡς φιλάνθρωπος.

Τῇ Γ'. τῆς Δ'. Ἑβδομάδος, Ἑσπέρας, μετὰ τό, Χριστὸς ἀνέστη, εἰς τό, Κύριε ἐκέκραξα. ἱστῶμεν στ. ς'. καὶ ψάλλομεν τὰ παρόντα γ'. Προσόμοια τῆς Μεσοπεντηκοστῆς. Δευτεροῦντες αὐτά. ἦχος δ'. πρός, Κύριε ἀνελθὼν ἐν τῷ Σταυρῷ.

Πάρεστιν ἡ μεσότης ἡμερῶν, τῶν ἐκ σωτηρίου ἀρχομένων ἐγέρσεως. Πεντηκοστῇ δὲ τῇ θείᾳ σφραγιζομένη, καὶ λάμπει τὰς λαμπρότητας, ἀμφοτέρωθεν ἔχουσα, καὶ ἑνοῦσα τὰς δύο, καὶ παρεῖναι τὴν δόξαν προφαίνουσα, τῆς Δεσποτικῆς Ἀναλήψεως σεμνύνεται.

Ἤκουσε καὶ εὐφράνθη ἡ Σιών, εὐαγγελισθείσης τῆς Χριστοῦ Ἀναστάσεως. οἱ δὲ πιστοὶ αὐτῆς γόνοι ἠγαλλιάσαντο, τοῦτον θεασάμενοι, καὶ ἐκπλυνόμενοι Πνεύματι, ῥύπον Χριστοκτονίας ἀπελπίζεται πανηγυρίζουσα, τὴν τῶν ἑκατέρων εὐφρόσυνον μεσότητα.

Ἤγγικεν ἡ τοῦ θείου δαψιλής, χύσις ἐπὶ πάντας ὥσπερ γέγραπται Πνεύματος. ἡ προθεσμία κηρύττει, ἡμισαθεῖσα, τῆς μετὰ Χριστοῦ θάνατον, καὶ ταφὴν καὶ Ἀνάστασιν, παρ' αὐτοῦ δεδομένης, ἀψευδοῦς Μαθηταῖς ὑποσχέσεως, τὴν τοῦ Παρακλήτου δηλούσης ἐπιφάνειαν.

Δόξα, καὶ νῦν, ἦχος, πλ. β'.

Τῆς Ἑορτῆς μεσούσης, τῆς σῆς Χριστὲ Ἀναστάσεως, καὶ θείας παρουσίας τοῦ Ἁγίου σου Πνεύματος, συνελθόντες τῶν θαυμάτων σου, ἀνυμνοῦμεν τὰ μυστήρια. ἐν ᾗ κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας.
Καὶ τὰ Ἀναγνώσματα.
Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ, καὶ κρινεῖ ἀναμέσον Λαῶν πολλῶν, καὶ ἐλέγξει Ἔθνη ἰσχυρά, ἕως μακράν· ὅτι πάντες οἱ Λαοὶ πορεύσονται ἕκαστος τὴν ὁδὸν αὐτοῦ. ἡμεῖς δὲ πορευσόμεθα ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν, εἰς τὸν αἰῶνα. Τάδε λέγει Κύριος Παντοκράτωρ. ἀκούσατε βουνοί, καὶ φάραγγες, θεμέλια τῆς γῆς· ὅτι κρίσις τῷ Κυρίῳ πρὸς τὸν Λαὸν αὐτοῦ. διελεγχθήσεται γὰρ μετὰ τοῦ Ἰσραήλ, λέγων· Λαός μου, τί ἐποίησά σοι; ἢ τί ἐλύπησά σε; ἀποκρίθητί μοι· διότι ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου, καὶ ἐξ οἴκου δουλείας ἐλυτρωσάμην σε, καὶ ἐξαπέστειλα πρὸ προσώπου μου τὸν Μωϋσῆν καὶ τὸν Ἀαρών. Λαός μου, τί ἐβουλεύσαντο κατὰ σοῦ οἱ ὑπεναντίοι; καὶ τίς ἀνήγγειλέ σοι; ἀπήγγειλα γάρ σοι ἄνθρωπε τί καλόν. ἢ τί Κύριος ἐκζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ τοῦ ποιεῖν κρίμα, καὶ ἀγαπᾶν ἔλεος, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι ἐπὶ προσώπου Κυρίου τοῦ Θεοῦ σου; διότι ἐν ἰσχύϊ μεγαλυνθήσεται Κύριος, καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν εἰρήνῃ, ἕως ἄκρων τῆς γῆς.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ. καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε, καὶ φάγεσθε, καὶ πίεσθε, ἄνευ ἀργυρίου καὶ τιμῆς,



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

οἶνον, καὶ στέαρ. ὅτι τάδε λέγει Κύριος Παντοκράτωρ ὑμῖν· Λαός μου, ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης, ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· ὑμνεῖτε τὸν Κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγείλατε ἐν τοῖς Ἔθνεσι τὴν δόξαν αὐτοῦ, μιμνήσκεσθε, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ· Λαός μου, ἀκούσατέ μου, καὶ φάγεσθε ἀγαθὰ, καὶ ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. προσέχετε τοῖς ὠσὶν ὑμῶν, καὶ ἐπακολουθήσατε ταῖς ὁδοῖς μου. εἰσακούσατέ μου, καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, καὶ ἐπικαλέσεσθε. ἡνίκα δ' ἂν ἐγγίζητέ μοι, ἀπολειπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ· καὶ ἐπιστράφητε πρός με, καὶ ἐλεήσω ὑμᾶς, καὶ ἀφήσω τὰς ἁμαρτίας ὑμῶν· Οὐ γάρ εἰσιν αἱ βουλαί μου, ὥσπερ αἱ βουλαὶ ὑμῶν, λέγει Κύριος. ἀλλ' ὥσπερ ἀπέχει ὁ Οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. ὡς γὰρ ἐὰν καταβῇ ὑετὸς, ἢ χιὼν ἐκ τοῦ Οὐρανοῦ, καὶ οὐ μὴ ἀποστραφῇ ἐκεῖθεν, ἕως ἂν μεθύσῃ τὴν γῆν, καὶ ἐκτίκῃ, καὶ βλαστήσῃ, καὶ δῷ σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν· οὕτως ἔσται τὸ ῥῆμά μου, ὃ ἐὰν ἐξέλθῃ ἐκ τοῦ στόματός μου, οὐ μὴ ἀποστραφῇ πρός με κενὸν, ἕως ἂν συντελεσθῇ πάντα ὅσα ἠθέλησα. καὶ εὐοδώσω τὰς ὁδούς μου, καὶ τὰ ἐντάλματά μου. ἐν γὰρ εὐφροσύνῃ ἐξελεύσεσθε, καὶ ἐν χαρᾷ διδαχθήσεσθε. τὰ γὰρ ὄρη καὶ οἱ βουνοὶ ἐξαλοῦνται, προσδεχόμενοι ὑμᾶς ἐν χαρᾷ. καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐπικροτήσει τοῖς κλάδοις αὐτῶν. καὶ ἀντὶ τῆς στοιβῆς, ἀναβήσεται Κυπάρισσος· ἀντὶ δὲ τῆς κονίζης, ἀναβήσεται μυρσίνη. καὶ ἔσται Κυρίῳ εἰς ὄνομα, καὶ εἰς σημεῖον αἰώνιον, λέγει Κύριος ὁ Θεὸς, ὁ Ἅγιος Ἰσραήλ.

### Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Κεφ. θ'. 1. Ἡ Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά. ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. ἀπέστειλε τοὺς ἑαυτῆς δούλους συγκαλοῦσα μετ' ὑψηλοῦ κηρύγματος, ὡς ἐπὶ κρατῆρα, λέγουσα· ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με. καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν· ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν. Ἀπολείπετε ἀφροσύνην, καὶ ζήσεσθε, καὶ ζητήσατε φρόνησιν, ἵνα βιώσητε, καὶ κατορθώσητε σύνεσιν ἐν γνώσει. Ὁ παιδεύων κακοὺς, λήψεται ἑαυτῷ ἀτιμίαν. ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτῷ. οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ, μώλωπες αὐτῷ· μὴ ἔλεγχε κακοὺς, ἵνα μὴ μισήσωσί σε· ἔλεγχε σοφὸν, καὶ ἀγαπήσει σε. δίδου σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται. γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. ἀρχὴ σοφίας, φόβος Κυρίου· καὶ βουλὴ Ἁγίων σύνεσις. τὸ δὲ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς. τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

### Εἰς τὸν Στ. Στ. Ἰδιόμελα, ἦχος α'. Ἰωάννου Μοναχοῦ.

Πεντηκοστῆς ἐφέστηκεν ἡ τῶν ἡμερῶν μεσότης. ἐν ᾗ Χριστὸς παραγυμνώσας ἀμυδρῶς θεϊκὴν δυναστείαν, Παράλυτον συνέσφιγξε, λόγῳ αὐτὸν τῆς κλίνης ἐξαναστήσας. καὶ θεοπρεπῶς θαυματουργῶν ἐν ὀστρακίνῳ σώματι, τοῖς ἀνθρώποις ἐδωρήσατο, τὴν αἰώνιον ζωὴν, καὶ τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Στ. Μνήσθητι τῆς συναγωγῆς σου.

Ἐν τῷ Ἱερῷ ἐπέστης ἡ σοφία τοῦ Θεοῦ, μεσούσης τῆς Ἑορτῆς, διδάσκων καὶ ἐλέγχων τοὺς ἀπειθεῖς Ἰουδαίους, τοὺς Φαρισαίους, καὶ Γραμματεῖς, καὶ βοῶν παρρησίᾳ πρὸς αὐτούς· ὁ διψῶν ἐρχέσθω πρός με, καὶ πινέτω ὕδωρ ζωηρὸν, καὶ οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα. ὁ πιστεύων τῇ ἐμῇ χρηστότητι, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ ζωῆς αἰωνίου. ὢ τῆς ἀγαθότητος, καὶ τῆς εὐσπλαγχνίας σου, Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἦχος β'.

Στ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Ὅτε τὸ μέσον τῆς Ἑορτῆς ἐπέστη, ἀνέβη ὁ Ἰησοῦς ἐπὶ τὸ Ἱερὸν, καὶ ἐδίδασκε λέγων τοὺς ἀπειθεῖς Ἰουδαίους· ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω, ὕδωρ ζωηρὸν αἰώνιον, καὶ οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα. ὁ πιστεύων εἰς ἐμὲ, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ, καὶ ἕξει τὸ φῶς τῆς ζωῆς.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'.

Μεσούσης τῆς Ἑορτῆς, διδάσκοντός σου Σωτὴρ, ἔλεγον οἱ Ἰουδαῖοι· πῶς οὗτος οἶδε γράμματα, μὴ μεμαθηκώς; ἀγνοοῦντες ὅτι σὺ εἶ ἡ σοφία, ἡ κατασκευάσασα τὸν Κόσμον, δόξα σοι.

Ἀπολυτίκιον, ἦχος, πλ. δ'.

Μεσούσης τῆς Ἑορτῆς, διψῶσάν μου τὴν ψυχὴν, εὐσεβείας πότισον νάματα· ὅτι πᾶσι Σωτὴρ ἐβόησας· ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω. ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεὸς δόξα σοι.

Τὸ αὐτὸ καὶ εἰς τὸ, Θεὸς Κύριος.

Τῇ Δ. τῆς Μεσοπεντηκοστῆς, εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολογίαν. Κάθισμα. ἦχος δ'.

Ταχὺ προκατάλαβε.

Ὁ Πάντων ἐπιστάμενος, τῶν καρδιῶν λογισμοὺς, ἐν μέσῳ ἀνέκραζε τῷ Ἱερῷ ἑστηκὼς, τοῖς ψάλταις λέγων ἀλήθειαν. τί ζητεῖτε πιάσαι, ἐμὲ τὸν ζωοδότην; Ἑορτῆς μεσαζούσης, ἐκβοῶν παῤῥησίᾳ· μὴ τὴν κατ' ὄψιν κρίσιν κρίνετε παράνομοι. Δίς.

Μετὰ τὴν β'. στιχολογίαν. Κάθισμα. ἦχος πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Ὁ Δεσπότης τῶν ὅλων ἐν τῷ Ναῷ ἑστηκὼς, Ἑορτῆς μεσαζούσης, Πεντηκοστῆς τῆς σεπτῆς, τοῖς Ἑβραίοις προσλαλῶν, διελέγχει τρανῶς, ἐν παῤῥησίᾳ πολλῇ, ὡς Βασιλεὺς ὢν καὶ Θεὸς, τὴν τύραννον αὐτῶν τόλμαν. ἡμῖν δὲ πᾶσι δωρεῖται, δι' εὐσπλαγχνίαν τὸ μέγα ἔλεος. Δίς.

Τὸ, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν'. Οἱ Κανόνες, ὁ α'. μετὰ τῶν Εἱρμῶν, εἰς ς'. καὶ ὁ παρὼν εἰς δ'.

Ὁ Κανὼν τοῦ Κυρίου Θεοφάνους, οὗ ἡ ἀκροστ. Μέσην Ἑορτῶν τῶν μεγίστων αἰνέσω.

Ὠδὴ α'. ἦχος, δ'. Ὁ Εἱρμός.

„ Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος, ἀ-
„ βρόχοις ἴχνεσιν, ὁ παλαιὸς πεζεύσας
„ Ἰσραὴλ, σταυροτύποις Μωσέως χερσὶ, τοῦ
„ Ἀμαλὴκ τὴν δύναμιν, ἐν τῇ ἐρήμῳ ἐτρο-
„ πώσατο.

Μεγάλαι τῆς ὑπὲρ νοῦν σου Δέσποτα, Θείας Σαρκώσεως, εὐεργεσίαι λάμπουσιν ἡμῖν, δωρεαί τε καὶ χάριτες, καὶ θεῖκαὶ λαμπρότητες, ἀγαθοδότως ἀναβρύουσαι.

Ἐπέστης μαρμαρυγὰς Θεότητος, ἐξαποστέλλων Χριστὲ, τῆς Ἑορτῆς ἐν μέσῳ προφανῶς· Ἑορτὴ γὰρ χαρμόσυνος, τῶν σωζομένων πέφυκας, καὶ σωτηρίας ἡμῖν πρόξενος.

Σοφία, δικαιοσύνη Κύριε, καὶ ἀπολύτρωσις, παρὰ Θεοῦ σὺ γέγονας ἡμῖν, ἀπὸ γῆς πρὸς οὐράνιον, διαβιβάζων ὕψωμα, καὶ Πνεῦμα Θεῖον χαριζόμενος.

Θεοτοκίον.

Ἡ Σάρξ σου διαφθορὰν ἐν Μνήματι, οὐκ εἶδε Δέσποτα. ἀλλ' ὡς συνέστη ἀνάνδρου σποράς, τὴν φθορὰν οὐκ ἐδέξατο· ἀκολουθία φύσεως, ὑπερφυῶς μὴ δουλεύσασα.

Ἕτερος Κανών. Ποίημα Κυροῦ Ἀνδρέου Κρήτης.

Ὠδὴ α'. ἦχος, πλ. δ'. Θάλασσαν ἔπηξας.

Ὄρη κροτήσατε, Ἑβραῖοι θρηνήσατε· ὁ ζωοδότης γὰρ Χριστὸς, τὰ δεσμὰ διέῤῥηξε τοῦ ᾅδου, καὶ νεκροὺς ἀνέστησε, καὶ νόσους ἐθεράπευσε τῷ λόγῳ· οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ δοὺς ζωὴν τοῖς πιστεύουσιν ἐν τῷ ὀνόματι αὐτοῦ.

Θαῦμα παρέδειξας, τὸ ὕδωρ εἰς οἶνον μετελθὸν, ὁ ἐν Αἰγύπτῳ ποταμοὺς, μεταστρέψας Δέσποτα εἰς αἷμα· καὶ νεκροὺς ἀνέστησας, σημεῖον τοῦτο δεύτερον τελέσας. δόξα Σωτὴρ τῇ ἀφάτῳ σου βουλῇ· δόξα τῇ κενώσει σου, δι' ἧς ἐκαίνισας ἡμᾶς.

Ῥεῖθρον ἀέναον, ὑπάρχων Κύριε, ζωῆς ἀληθινῆς· σὺ εἶ ἡ Ἀνάστασις ἡμῶν· θέλων ἐκοπίασας Σωτήρ μου· καὶ ἑκὼν ἐδίψησας, τοῖς νόμοις τῆς φύσεως ὑπείκων· καὶ εἰς Σιχὰρ ἀφικόμενος, σαρκὶ τὸ ὕδωρ ἐζήτησας, τῇ Σαμαρείτιδι πιεῖν.

Ἄρτους εὐλόγησας, ἰχθύας ἐπλήθυνας, ὁ ἀκατάληπτος Θεὸς, καὶ λαοὺς ἐχόρτασας ἀφθόνως, καὶ πηγὴν ἀέναον σοφίας τοῖς διψῶσιν ἐπηγγείλω. σὺ εἶ Σωτὴρ ὁ Θεὸς ἡμῶν, ὁ δοὺς ζωὴν τοῖς πιστεύουσιν ἐν τῷ ὀνόματι τῷ σῷ.

Δόξα.

Τρία συνάναρχα δοξάζω καὶ σύνθρονα, Πατέρα ἄναρχον Θεὸν, καὶ Υἱὸν συνάναρχον, καὶ Πνεῦμα συναΐδιον Υἱῷ, τὴν μίαν Τρισυπόστατον οὐσίαν μίαν· Ἀρχὴν ὑπεράρχιον ὕμνων, ἀνάρχου Θεότητος καὶ ὁμοιότητος τιμῶ.

Καὶ νῦν. Θεοτοκίον.

Ὃν μὴ ἐχώρησας τὸν Κτίστην τὸν ἴδιον, Θεογεννῆτορ ἐν γαστρί, καὶ σαρκὶ ἐκύησας ἀφράστως· καὶ Παρθένος ἔμεινας, μηδὲν τῆς Παρθενίας λυμανθείσης. Τοῦτον Ἁγνὴ ὡς Υἱόν σου καὶ Θεὸν ἡμῶν, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῆς ποίμνης σου ἀεί.

Καταβασία.

,, Θάλασσαν ἔπηξας, βυθίσας σὺν ἅρμασι τὸν ἀλαζόνα Φαραώ· καὶ Λαὸν διέσωσας ἀβρόχως Κύριε· καὶ εἰσήγαγες αὐτοὺς εἰς ὄρος ἁγιάσματος βοῶντας· ᾌσωμέν σοι τῷ Θεῷ ἡμῶν, ᾠδὴν ἐπινίκιον τῷ ἐν πολέμοις κραταιῷ.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

,, Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Ναμάτων ζωοποιῶν, τῇ Ἐκκλησίᾳ τὰς πηγὰς ἤνοιξας· εἴ τις διψᾷ προθύμως, ἴτω καὶ πινέτω βοῶν ἀγαθέ.

Ἐκ γῆς μὲν πρὸς Οὐρανόν, ἀναληφθῆναι προφανῶς ἔλεγες· ἐξ Οὐρανοῦ Πνεῦμα δέ, πέμπειν ἐπηγγείλω τὸ Ἅγιον.

Θεοτοκίον.

Ὁ Φύσει ζωοποιός, καὶ ἐκ Παρθένου γεννηθεὶς Κύριος, πᾶσι πιστοῖς δεδώρηται, τὴν ἀθανασίαν ὡς εὔσπλαγχνος.

Ἄλλος. Ἐστερεώθη ἡ καρδία μου.

Μὴ τὴν κατ' ὄψιν κρίσιν κρίνετε Ἰουδαῖοι, διδάσκων ἔλεγεν ὁ Δεσπότης, ὡς ἐπέστη τῷ Ἱερῷ καθὼς γέγραπται, μεσούσης τῆς νομικῆς Ἑορτῆς.

Μὴ τὴν κατ' ὄψιν κρίσιν κρίνετε Ἰουδαῖοι· Χριστὸς γὰρ ἦλθεν, ὅνπερ ἐκάλουν, οἱ Προφῆται, ἐκ Σιὼν ἐλευσόμενον, καὶ Κόσμον ἀνακαλούμενον.

Εἰ καὶ τοῖς λόγοις οὐ πιστεύετε Ἰουδαῖοι, τοῖς ἔργοις πείσθητε τοῦ Δεσπότου· τί πλανᾶσθε ἀθετοῦντες τὸν Ἅγιον, ὃν ἔγραψεν ἐν τῷ νόμῳ Μωσῆς;

Εἰ τὸν Μεσσίαν πάντως δεῖ ἐλθεῖν Ἰουδαῖοι, Χριστὸς δὲ ἦλθε νῦν ὁ Μεσσίας. τί πλανᾶσθε ἀθετοῦντες τὸν δίκαιον, ὃν ἔγραψεν ἐν τῷ νόμῳ Μωσῆς;

Δόξα.

Ἕνα προσκυνοῦμεν Πατέρα ἄναρχε τῇ οὐσίᾳ, ὑμνοῦμεν ἄναρχον τὸν Υἱόν σου, καὶ τὸ Πνεῦμα εὐσεβῶς τὸ Πανάγιον, ὡς ἓν τὰ Τρία φύσει Θεόν.

Καὶ νῦν. Θεοτοκίον.

Εἷς τῆς Τριάδος ὤν, γενόμενος σὰρξ ὡράθης, οὐ τρέψας Κύριε τὴν οὐσίαν, οὐδὲ φλέξας τῆς Τεκούσης τὴν ἄφθορον γαστέρα, Θεὸς ὢν ὅλος καὶ πῦρ.

Καταβασία.

,, Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου, εὐφράνθην ἐν σωτηρίῳ σου.

Κάθισμα. Ἦχος. Πρός. Τὴν Σοφίαν καὶ Λόγον.

Ἑστηκὼς ἐν τῷ μέσῳ τοῦ Ἱεροῦ, μεσαζούσης ἐνθέως τῆς Ἑορτῆς, ὁ διψῶν ἀνέκραζες, ἐρχέσθω πρός με καὶ πινέτω· ὁ γὰρ πίνων ἐκ τούτου, τοῦ θείου μου νάματος, ποταμοὺς ἐκ κοιλίας, ἐκβλύσει δογμάτων μου. ὅστις δὲ πιστεύει, εἰς ἐμὲ τὸν σταλέντα, ἐκ Θεοῦ Γεννήτορος, μετ' ἐμοῦ δοξασθήσεται· διὰ τοῦτο βοῶμέν σοι· δόξα σοι Χριστὲ ὁ Θεός, ὅτι πλουσίως ἐξέχεας τὰ νάματα, τῆς σῆς φιλανθρωπίας τοῖς δούλοις σου.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Τῆς σοφίας τὸ ὕδωρ καὶ τῆς ζωῆς, ἀναβλύζων τῷ Κόσμῳ, πάντας Σωτήρ, καλεῖς τοῦ ἀρύσασθαι, σωτηρίας τὰ νάματα· τὸν γὰρ θεῖον νόμον σου, δεχόμενος ἄνθρωπος, ἐν αὐτῷ σβεννύει, τῆς πλάνης τοὺς ἄνθρακας. ὅθεν εἰς αἰῶνας, οὐ διψήσει οὐ λήξει, τοῦ κόρου σου Δέσποτα, Βασιλεῦ Ἐπουράνιε. διὰ τοῦτο δοξάζομεν, τὸ κράτος σου Χριστὲ ὁ Θεός· τῶν πταισμάτων ἄφεσιν αἰτούμενοι, καταπέμψαι πλουσίως τοῖς δούλοις σου.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

,, Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία, ἐπὶ Σταυροῦ τὸν Ἥλιον τῆς Δικαιοσύνης, ἔστη ἐν τῇ τάξει αὐτῆς, εἰκότως κραυγάζουσα· δόξα τῇ δυνάμει σου Κύριε.

Ἔρρηξας θανάτου τὰς πύλας τῇ σῇ δυνάμει, ὁδοὺς ζωῆς ἐγνώρισας τῆς ἀθανασίας, πύλας δὲ διήνοιξας, τοῖς πίστει κραυγάζουσι· δόξα τῇ δυνάμει σου Κύριε.

Τὴν μεσότητα τῶν ὅλων καὶ τέλος ἔχων, καὶ τῆς ἀρχῆς ὡς ἄναρχος, περιδεδραγμένος, ἔστης ἐν τῷ μέσῳ βοῶν· τῶν θείων Θεόφρονες, δεῦτε δωρεῶν ἀπολαύσατε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ὡς Θεὸς καὶ πάντων ἔχων τὴν ἐξουσίαν, ὡς δυνατὸς τὸ κράτος, καθελὼν τοῦ θανάτου, πέμπειν ἐπηγγείλω Χριστὲ, τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ ἐκ τοῦ Πατρὸς προερχόμενον.

Θεοτοκίον.

Νέμεις πλουσίως τὴν χάριν, τοῖς σὲ ὑμνοῦσι, καὶ τὸν ἐκ σοῦ τεχθέντα προαιώνιον Λόγον, Μήτηρ Ἀπειρόγαμε, πταισμάτων τὴν ἄφεσιν, τούτοις αἰτουμένη Παναχραντε.

Ἄλλος. Ὁ Προφήτης Ἀββακούμ.

Εἰ Μεσσίαν δεῖ ἐλθεῖν, ὁ δὲ Μεσσίας Χριστός ἐστι παράνομοι· τί ἀπιστεῖτε αὐτῷ; ἰδοὺ παραγέγονε, καὶ μαρτυρεῖ ἃ αὐτὸς ποιεῖ. τὸ ὕδωρ οἶνον ἐποίησε, Παράκλητον λόγῳ συνέσφιγξεν.

Μὴ συνιέντες τὰς Γραφὰς, πλανᾶσθε πάντες ὑμεῖς, Ἑβραῖοι ἄνομοι. ὄντως γὰρ ἦλθε Χριστὸς, καὶ πάντας ἐφώτισε. καὶ ἐν ὑμῖν ἔδειξε πολλὰ σημεῖα καὶ τεράστια, καὶ μάτην ἀρνεῖσθε τὴν ὄντως ζωήν.

Ἓν ἔργον ἔδειξα ὑμῖν, καὶ πάντες ἤδη θαυμάζετε, ἀνέκραζε τοῖς Ἰουδαίοις Χριστός. ὑμεῖς περιτέμνετε, καὶ ἐν Σαββάτῳ ἄνθρωπον φησίν. ἐμοὶ δὲ τί ἐγκαλεῖτε λοιπὸν, ἐγείραντι λόγῳ Παράλυτον;

Ἔργα ἐποίησα πολλὰ, καὶ διὰ ποῖον ἔργον λιθάζετέ με; τοῖς Ἰουδαίοις Χριστὸς, ἐλέγχων ἀνέκραζεν· ὅτι ἄνθρωπον ὑγιῆ ὅλον λόγῳ ἐποίησα; μὴ κρίνετε κατ᾽ ὄψιν ἄνθρωποι.

Ἐν Ἀποστόλοις ἐνεργῶν, καὶ ἐν Προφήταις αὐτὸς ἀναπαυόμενος, μετὰ τοῦ Πνεύματος, τὸ ἄχραντον Γέννημα, τῆς Πατρικῆς φύσεως Χριστὲ, τὰ Ἔθνη πρὸς σὴν ἐπίγνωσιν, ἀνήγες διὰ τῶν σημείων σου.

Δόξα.

Τριὰς ἀμέριστε μονὰς, ἄναρχε Πάτερ, Υἱὲ καὶ Πνεῦμα Ἅγιον, ἡ ἐν Μονάδι Τριάς· ὁμότιμε, σύνθρονε, ζωοποιὲ, ἄκτιστε Θεὲ, σῶζε τοὺς ἀνυμνοῦντάς σε, καὶ ῥῦσαι κινδύνων καὶ θλίψεων.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ ἐν γαστρί σου τὸν Θεὸν, ἀπεριγράπτως χωρήσασα Θεόνυμφε, Παρθενομήτωρ Ἁγνὴ, μὴ παύσῃ πρεσβεύουσα ὑπὲρ ἡμῶν, ὅπως διὰ σοῦ, ῥυσθῶμεν τῶν πειρασμάτων. πρὸς σὲ γὰρ ἀεὶ καταφεύγομεν.

Καταβασία.

Ὁ Προφήτης Ἀββακοὺμ, τοῖς νοεροῖς ὀφθαλμοῖς προεώρα Κύριε, τὴν παρουσίαν σου. διὸ καὶ ἀνέκραζεν· ἀπὸ Θαιμὰν ἥξει ὁ Θεός. δόξα τῇ δόξῃ σου Χριστὲ, δόξα τῇ συγκαταβάσει σου.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Σὺ Κύριέ μου φῶς, εἰς τὸν Κόσμον ἐλήλυθας· φῶς ἅγιον ἐπιστρέφον, ἐκ ζοφώδους ἀγνοίας, τοὺς πίστει ἀνυμνοῦντάς σε.

Τῶν θείων Ἑορτῶν, τὴν μεσότητα φθάσαντες, τὸ τέλειον τῆς ἐνθέου, ἀρετῆς ἐξασκῆσαι, σπουδάσωμεν Θεόφρονες.

Ὡς ὄντως ἱερὰ, ἡ παροῦσα Πανήγυρις, μεσότητα τῶν μεγίστων, Ἑορτῶν γὰρ ἡ ῥίζα, καὶ λάμπει ἀμφοτέρωθεν.

Θεοτοκίον.

Νοῦς Ἀρχαγγελικὸς, οὐκ ἰσχύει μονῆσαί σου, τὸν ἄφρασον ἐκ Παρθένου, καὶ παράδοξον τόκον, Σωτήρ μου Πολυέλεε.

Ἄλλος. Κύριε ὁ Θεὸς ἡμῶν.

Θαύμασι κατεκόσμησας, τοὺς Ἀποστόλους σου, τέρασιν ἐμεγάλυνας τοὺς Μαθητὰς, ἐν παντὶ τῷ Κόσμῳ, δοξάσας Σωτὴρ ἡμῶν, καὶ δοὺς αὐτοῖς τὴν Βασιλείαν σου.

Ἅπαντα κατεφώτισαν, τῆς γῆς τὰ πέρατα, θαύμασι καὶ διδάγμασιν οἱ Μαθηταὶ, καὶ ποικίλοις τρόποις τὸν λόγον κηρύξαντες, Χριστὲ Σωτὴρ τῆς Βασιλείας σου.

Ὕμνεσιν ἀναπέμπομεν, τῇ Βασιλείᾳ σου· ὕμνον σοι δὲ προσάγομεν τῷ δι᾽ ἡμᾶς, ἐπὶ γῆς ὀφθέντι, καὶ Κόσμον φωτίσαντι, καὶ τὸν Ἀδὰμ ἀνακαλέσαντι.

Δόξα.

Δόξα σοι Πάτερ Ἅγιε, Θεὲ ἀγέννητε· δόξα σοι Λόγε ἄχρονε μονογενές· δόξα σοι τὸ Πνεῦμα τὸ Θεῖον καὶ σύνθρονον, καὶ ὁμοούσιον Πατρὶ, καὶ Υἱῷ.

Καὶ νῦν. Θεοτοκίον.

Τέγονεν ἡ κοιλία σου, ἁγία Τράπεζα, ἔχουσα τὸν Οὐράνιον Ἄρτον. ἐξ οὗ πᾶς ὁ τρώγων, οὐ θνήσκει ὡς ἔφησεν, ὁ τοῦ παντὸς Θεογεννήτωρ Τροφεύς.

Καταβασία.

Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν. Κύριε ὁ Θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Κύριε ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν.

ᾨδὴ ϛʹ. Ὁ Εἱρμός.

Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι' οἶκτον, ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι Αἵματι.

Μεσότης, Πεντηκοστῆς ἐφέστηκε σήμερον· ἔνθεν τοῦ θείου μὲν Πάσχα, θειοτάτῳ φέγγει καταυγασθεῖσα· ἐκεῖθεν δὲ, τοῦ Παρακλήτου λάμπουσα χάριτι.

Ἐλάλεις, ἐν τῷ Ναῷ Χριστὲ παριστάμενος, τῶν Ἰουδαίων τοῖς δήμοις, τὴν οἰκείαν δόξαν ἀποκαλύπτων· καὶ προφαίνων, τὴν συμφυΐαν πρὸς τὸν Γεννήτορα.

Θεοτοκίον.

Γένου μοι, προστασία καὶ τεῖχος ἀκράδαντον, τῶν κοσμικῶν με σκανδάλων, λυτρουμένη μόνη Θεογεννῆτορ· καὶ ταῖς θείαις, φωτοχυσίαις καταλαμπρύνουσα.

Ἄλλος. Ὡς ὕδατα.

Ὁ Πάντα περιέπων τὰ πέρατα, ἀφῆλθες Ἰησοῦ, καὶ ἐδίδασκες, ἐν τῷ Ἱερῷ τοὺς ὄχλους, τὸν λόγον τῆς ἀληθείας, τῆς Ἑορτῆς μεσούσης ὡς Ἰωάννης βοᾷ.

Ἀνέπτυξας τὰ χείλη σου Δέσποτα, ἐκήρυξας τῷ Κόσμῳ, τὸν ἄχρονον Πατέρα, καὶ τὸ Πανάγιον Πνεῦμα, τὸ συγγενὲς ἀμφοτέρων, φυλάττων καὶ μετὰ σάρκωσιν.

Τὸ ἔργον τοῦ Πατρὸς ἐτελείωσας, τοῖς ἔργοις ἐπιστώσω τοὺς λόγους σου· ἰάσεις τελῶν Σωτὴρ καὶ σημεῖα, Παράλυτον ἀνορθῶν, λεπροὺς καθαίρων, καὶ τοὺς νεκροὺς ἀνιστῶν.

Ὁ Ἄναρχος Υἱὸς ἀρχὴν γέγονε, λαβὼν τὸ καθ' ἡμᾶς ἐνηνθρώπησε. καὶ μέσον τῆς Ἑορτῆς ἐδίδασκε λέγων· προσδράμετε τῇ πηγῇ τῇ ἀενάῳ, ζωὴν ἀρύσασθαι.

Δόξα.

Τὴν μίαν ἐν Τριάδι Θεότητα, οὐσίαν Τρισυπόστατον, ἄκτιστον, ἀμέριστον, πάντες δοξολογοῦμεν, Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα, ὡς τρία οὖσαν καὶ ἕν.

Καὶ νῦν. Θεοτοκίον.

Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε, Παρθένον σὲ Μητέρα δοξάζομεν, καὶ μόνην ἁγνὴν, Θεόνυμφε Κόρη· ἐκ σοῦ γὰρ ὄντως Θεὸς ἐσαρκώθη, ζωοποιήσας ἡμᾶς.

Καταβασία.

Ὡς ὕδατα θαλάσσης φιλάνθρωπε, τὰ κύματα τοῦ βίου χειμάζει με. διὸ ὡς Ἰωνᾶς σοι κραυγάζω Λόγε· ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου, εὔσπλαγχνε Κύριε.

Κοντάκιον. Ἦχος δʹ. Ὁ ὑψωθείς.

Τῆς Ἑορτῆς τῆς νομικῆς μεσαζούσης, ὁ τῶν ἁπάντων ποιητὴς καὶ Δεσπότης, πρὸς τοὺς παρόντας ἔλεγες Χριστὲ ὁ Θεός· δεῦτε καὶ ἀρύσασθε, ὕδωρ ἀθανασίας. ὅθεν σοι προσπίπτομεν, καὶ πιστῶς ἐκβοῶμεν· τοὺς οἰκτιρμούς σου δώρησαι ἡμῖν. Σὺ γὰρ ὑπάρχεις πηγὴ τῆς ζωῆς ἡμῶν.

Ὁ Οἶκος.

Τὴν χερσωθεῖσάν μου ψυχὴν, πταισμάτων ἀνομίαις, ῥοαῖς τῶν σῶν αἱμάτων κατάρδευσον, καὶ δεῖξον καρποφόρον ἀρεταῖς. σὺ γὰρ ἔφης πᾶσι, τοῦ προσέρχεσθαι πρὸς σὲ Λόγε Θεοῦ Πανάγιε, καὶ ὕδωρ ἀφθαρσίας ἀρύεσθαι, ζῶντε καὶ καθαῖρον ἁμαρτίας, τῶν ὑμνούντων τὴν ἔνδοξον καὶ θείαν σου ἔγερσιν· παρέχων ἀγαθὲ τὴν ἄνωθεν τοῦ ὕψους ἐνεχθεῖσαν ἀληθῶς τοῖς Μαθηταῖς σου Πνεύματος ἰσχὺν, τοῖς σὲ Θεὸν γινώσκουσι. Σὺ γὰρ ὑπάρχεις πηγὴ τῆς ζωῆς ἡμῶν.

Τὸ Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν.

Στ. Ἑστὼς διδάσκει τῆς Ἑορτῆς ἐν μέσῳ,
Χριστὸς Μεσσίας τῶν Διδασκάλων μέσον.

Τῇ τετάρτῃ τοῦ Παραλύτου, τὴν τῆς Μεσοπεντηκοστῆς ἑορτάζομεν Ἑορτὴν, διὰ τὴν τιμὴν τῶν μεγάλων δύο Ἑορτῶν, τοῦ Πάσχα λέγω, καὶ τῆς Πεντηκοστῆς, ὡς ἑκατέρας ἑνοῦσάν τε καὶ συνδέουσαν. Γέγονε δὲ αὕτη οὕτω. Μετὰ τὸ ἐνεργῆσαι τὸν Χριστὸν τὸ εἰς τὴν Παράλυτον θαῦμα ὑπερφυὲς, οἱ Ἰουδαῖοι δῆθεν ὑπὲρ τοῦ Σαββάτου σκανδαλιζόμενοι, (καὶ γὰρ ἐν Σαββάτῳ πέπρακται,) ἐζήτουν αὐτὸν ἀποκτεῖναι. Φεύγει τοίνυν εἰς Γαλιλαίαν, καὶ τοῖς ἐκεῖσε ὄρεσι διατρίβων, τὸ τῶν πέντε ἄρτων, καὶ τῶν δύο ἰχθύων τεράστιον ἐνεργεῖ, πεντακισχιλίους ἐκθρέψας, χωρὶς γυναικῶν καὶ παιδίων. Μετέπειτα δὲ τῆς Σκηνοπηγίας ἐνστάσης, (μεγάλη δὲ καὶ αὕτη Ἑορτὴ παρὰ Ἰουδαίοις,) εἰς Ἱεροσόλυμα ἀναβαίνει, καὶ περιεπάτει κρυφίως. Περὶ δὲ τὸ μέσον αὐτῆς εἰς τὸ Ἱερὸν ἀνιὼν, ἐδίδασκε· καὶ

πάντες τῇ αὐτοῦ διδαχῇ ἐξεπλήττοντο. φθονοῦντες δὲ αὐτῷ, ἔλεγον· Πῶς οὗτος οἶδε γράμματα, μὴ μεμαθηκώς; μέσος γὰρ ὢν Ἀδὰμ, οἶδε, καθὰ καὶ ὁ πρῶτος ἐκεῖνος πάσης τῆς σοφίας ἀνάμεστος, καὶ ὡς Θεὸς πάλιν. ἐγόγγυζον οὖν ἅπαντες, καὶ πρὸς φθόνον ὁρμῶντες ἦσαν αὐτοῦ· ὁ δὲ Χριστὸς ἐλέγχῳ πρὸς αὐτοὺς χρώμενος, ὡς ὑπὲρ τοῦ Σαββάτου δῆθεν μαχομένους, ἔλεγε· τί με ζητεῖτε ἀποκτεῖναι; ὁ δὲ πάλιν πρὸς τὰ πρότερα ἀποτείνεται. Εἰ ὑπὲρ τοῦ νόμου μάχεσθε, λέγων, τί πρός με θυμοῦσθε; ὅτι ὅλον ἄνθρωπον ἐποίησα ὑγιῆ ἐν Σαββάτῳ, τοῦ Μωσέως καὶ ταῦτα νομοθετοῦντος, καταλύειν αὐτὸ, ἵνα χάριν τῆς Περιτομῆς διαλέγεται; Πολλὰ οὖν αὐτοῖς περὶ τούτου διαλεχθεὶς, καὶ ἀποδείξας ἑαυτὸν δοτῆρα τοῦ νόμου, καὶ τῷ Πατρὶ ἴσον, καὶ μάλιστα τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς Ἑορτῆς, λιθάζεται παρ' αὐτῶν. ἀλλὰ λίθος αὐτοῦ τὸ παράπαν οὐχ ἥψατο. Ὅτε καὶ παράγων ἐκεῖθεν, τὸν ἐκ γενετῆς εὑρίσκει Τυφλὸν, καὶ ὀμματοῖ αὐτόν. Ἰστέον δὲ, ὡς τρεῖς ἦσαν παρὰ Ἰουδαίοις μέγισται Ἑορταί. Πρώτη ἡ τοῦ Πάσχα, ἥτις ἐτελεῖτο ἐν τῷ πρώτῳ Μηνὶ, ἀνάμνησιν ἔχουσα τῆς ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ διαβάσεως. Δευτέρα δὲ ἡ Πεντηκοστὴ, τὴν ἐν τῇ ἐρήμῳ διατριβὴν, μετὰ τὴν τῆς ἐρυθρᾶς διάβασιν ὑπομιμνήσκουσα. πεντήκοντα γὰρ ἡμέρας διῆγον ἐν ἐρήμῳ, ἕως οὗ τὸν νόμον τοῦ Μωσέως λάβωσιν. Ἔτι δὲ καὶ διὰ τὴν τοῦ ἑπτὰ ἀριθμοῦ τιμὴν, σεβασμίου παρ' αὐτοῖς ὄντος. Τρίτη δὲ αὐτοῖς Ἑορτὴ ἡ τῶν Σαλπίγγων, καὶ τῆς Σκηνοπηγίας· μνείαν ποιούμενοι τῆς Σκηνῆς, ἣν ἐν τῇ νεφέλῃ τοῦ ὄρους ἰδὼν Μωϋσῆς, διὰ τοῦ Ἀρχιτέκτονος Βεσελεὴλ πήξας, ἔστησεν· ἥτις καὶ ἐν ἑπτὰ ἐτελεῖτο ἡμέραις, τῆς συγκομιδῆς τῶν καρπῶν μνείαν ἔχουσα, καὶ τῆς καταπαύσεως τῆς ἐρημικῆς. Τότε δὴ, τελουμένης ταύτης τῆς Ἑορτῆς, στὰς ὁ Ἰησοῦς, μεγάλῃ φωνῇ ἔκραξεν· εἴ τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. Ἐπεὶ οὖν ἐν τῇ διδασκαλίᾳ ταύτῃ ὁ Χριστὸς Μεσσίαν ἑαυτὸν ἀπέδειξε, μεσίτης καὶ διαλλακτὴς ἡμῶν γενόμενος, καὶ τοῦ αἰωνίου αὐτοῦ Πατρὸς· διὰ ταύτην τὴν αἰτίαν τὴν παροῦσαν Ἑορτὴν ἑορτάζοντες, καὶ Μεσοπεντηκοστὴν ὀνομάζοντες, τὸν Μεσσίαν τε ἀνυμνοῦμεν Χριστὸν, καὶ τὸ τίμιον τῶν παρ' ἑκάτερα δύο μεγάλων Ἑορτῶν παριστάμενοι. Τούτου δὲ οἶμαι χάριν καὶ ἡ τῆς Σαμαρείτιδος μετ' αὐτὴν Ἑορτὴ ἑορτάζεται. ὅτι κἀκεῖσε πολλὰ περὶ τοῦ Μεσσίου Χριστοῦ διέξεισι, καὶ περὶ ὕδατος, καὶ δίψης, ὡς ἐνταῦθα. ἐν γὰρ τῷ Εὐαγγελιστῇ Ἰωάννῃ τὸ τοῦ Τυφλοῦ μᾶλλον τῆς Σαμαρείτιδος πρόκειται. Τῷ ἀπείρῳ ἐλέει σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Ἐν τῇ καμίνῳ, Ἀβραμιαῖοι Παῖδες τῇ Περσικῇ, πόθῳ εὐσεβείας μᾶλλον, ἢ τῇ φλογὶ, πυρπολούμενοι ἐκραύγαζον· Εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Ἰσχύϊ Σῶτερ, τὴν τοῦ θανάτου λύσας δύναμιν, τρίβον τῆς ζωῆς ἐγνώρισας τοῖς θνητοῖς, εὐχαρίστως σοι κραυγάζουσιν· Εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Σάρκα φοροῦντα, τεθεαμένοι οὐκ ἐπέγνωσαν, δῆμοι τῶν Ἑβραίων Λόγε σε τοῦ Θεοῦ· ἀλλ' ἡμεῖς σοι ἀναμέλπομεν· Εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Θεοτοκίον.

Ὁ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ, Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις Παναμώμε Δέσποινα.

Ἄλλος. Τῶν Χαλδαίων ἡ κάμινος.

Σαρκικῶς ἐκοπίασας, ἡ ἀνάπαυσις πάντων· ἑκουσίως ἐδίψησας, ἡ πηγὴ τῶν θαυμάτων· τὸ ὕδωρ ἐζήτησας, ὕδωρ τὸ ζῶν, Ἰησοῦ ἐπαγγελλόμενος.

Σαμαρείτιδι Κύριε, γυναικὶ προσωμιλεῖς· διελέγχων τὴν ἄνοιαν, τῶν ἀνόμων Ἑβραίων. ἡ μὲν γὰρ ἐπίστευσεν, Υἱόν σε εἶναι Θεοῦ, οἱ δὲ ἠρνήσαντο.

Ὕδωρ ζῶν τὸ ἁλλόμενον, ὕδωρ ἀθανασίας, ἡ πηγὴ ἡ ἀείζωος, παρέχειν ἐπηγγείλω, τοῖς πίστει τὸ Πνεῦμά σου, προσδεχομένοις Σωτὴρ, τὸ προϊὸν ἐκ Πατρός.

Ἐν πέντε ἄρτοις ἐξέθρεψας, χιλιάδας πεινώντων, καὶ τοῦ κόρου τὰ λείψανα, εἰς ἄλλας μυριάδας, Σωτὴρ ἐπερίσσευσας,

δει-

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

σας, δεικνὺς τὴν δόξαν σου, τοῖς Ἱεροῖς Μαθηταῖς.

Ὁ Ἐσθίων τὸν Ἄρτον σου, ζήσεται αἰωνίως· καὶ ὁ πίνων τὸ Αἷμά σου, ἐν σοὶ μένει Σωτήρ μου. καὶ σὺ ἐν αὐτῷ μένεις, καὶ ἀναστήσεις αὐτὸν, ἐν τῇ ἐσχάτῃ ῥοπῇ.

Ἐθαυμάστωσας Δέσποτα, τὴν σὴν οἰκονομίαν· πιστωσάμενος θαύμασι, τὴν θείαν ἐξουσίαν· τὰς νόσους ἀπήλασας, νεκροὺς ἀνέστησας, τυφλοὺς ἐφώτισας ὡς Θεός.

Τοὺς λεπροὺς ἐκαθάρισας, τοὺς χωλοὺς ἀνωρθώσω· παραλύτους συνέσφιγξας, αἱμόρρουν θεραπεύσας· ἐπέζευσας πέλαγος, δεικνὺς τὴν δόξαν σου, τοῖς Ἱεροῖς Μαθηταῖς.

Δόξα.

Προσκυνοῦμέν σου Κύριε, τὸν ἄναρχον Πατέρα, καὶ τὴν χάριν τοῦ Πνεύματος, ἣν τοῖς σοῖς Ἀποστόλοις, Θεὸς ὢν διένειμας, ἐξαποστέλλων αὐτοὺς ἐπὶ τὸ Κήρυγμα.

Καὶ νῦν. Θεοτ.

Ἐν γαστρί σου ἐχώρησας, τὸν ἀχώρητον Λόγον. ἐκ μαζῶν σου ἐθήλασας, τοῦ Κόσμου τὸν τροφέα· ἀγκάλαις ἐβάστασας, τὸν παροχέα ἡμῶν, Θεογεννήτωρ Ἁγνή.

Καταβασίαι.

Τῶν Χαλδαίων ἡ κάμινος, πυρὶ φλογιζομένη, ἐδροσίζετο Πνεύματι, Θεοῦ ἐπιστασίᾳ, οἱ Παῖδες ὑπέψαλλον· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Χεῖρας ἐκπετάσας Δανιὴλ, λεόντων χάσματα, ἐν λάκκῳ ἔφραξε· πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταὶ Παῖδες κραυγάζοντες· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὡραῖος ἐκ τάφου ἀναστὰς, τῇ σῆς Θεότητος δόξῃ κοσμούμενος, τοῖς Ἀποστόλοις σου Κύριε, ἐπεφάνης τὴν τοῦ Πνεύματος, ἐπαγγελλόμενος αὐτοῖς, πέμπειν ἐνέργειαν, τοῖς βοῶσι· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Νεκρώσας τὸν Ἅδην ὡς Θεὸς, ζωαρχικώτατε, πᾶσιν ἐπήγασας, ζωὴν αἰώνιον· ἥνπερ νῦν, εἰκονίζουσι φανώτατα, τῶν λαμπροφόρων ἡμερῶν, τύπων αἱ χάριτες, τοῖς βοῶσι· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἀκτῖνας ὡς Ἥλιος Χριστὲ, Δικαιοσύνης φανεὶς, Κόσμῳ ἀπέστειλας, τοὺς Ἀποστόλους σου φέροντας, σὲ τὸ φῶς τὸ ἀκατάληπτον, καὶ τῆς ἀγνοίας τὴν ἀχλὺν ἀποκαθαίροντας, καὶ βοῶντας· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον. Θτ.

Οὐ νῦν ἐξέλιπε σαφῶς, ἐκ τῆς Ἰούδα φυλῆς, Ἄρχων Ἡγούμενος· σὺ γὰρ Παναμώμε τέτοκας, τὰ αὐτῷ πρὶν ἀποκείμενα, τὴν προσδοκίαν τῶν Ἐθνῶν, Χριστὸν ᾧ ψάλλομεν· εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον.

Ἄλλος. Ἄγγελοι, καὶ Οὐρανοί.

Δεῦτε ἴδετε Λαοὶ, τὸν ἐπὶ Θρόνου δόξης ἀνυμνούμενον, ὑπὸ λαῶν ἀνόμων βλασφημούμενον, καὶ ἰδόντες ὑμνεῖτε, τὸν ἐν Προφήταις Μεσσίαν προρρηθέντα.

Σὺ εἶ ὄντως ὁ Χριστὸς, ὁ εἰς τὸν Κόσμον τοῦτον προερχόμενος, ἐξ οὗ ἡ σωτηρία, καὶ ἡ ἄφεσις, τῶν πατρῴων σφαλμάτων. σὺ ἡ ὄντως ζωὴ, τῶν σοὶ πεπιστευκότων.

Ἡ Σοφία τοῦ Θεοῦ, τῆς Ἑορτῆς μεσούσης καθὼς γέγραπται, τῷ Ἱερῷ ἐπέστη καὶ ἐδίδασκεν, ὅτι ὄντως αὐτὸς ἦν, ὁ Μεσσίας Χριστὸς, δι' οὗ ἡ σωτηρία.

Ἐν τοῖς Σάββασι Χριστὸς, καὶ ἐν ἡμέραις ὅλαις ἐπεδείκνυτο, τὰ τῶν σημείων ἔργα ἀξιούμενος, τοὺς ἐν νόσοις ποικίλαις, ἀλλ' ὁ πλάνος λαὸς, θυμῷ ἐνεκοτεῖτο.

Τὸν Παράλυτον φασὶ, τὸν δὲ χρόνοις πλείστοις κατακείμενον, ἐν τῷ Σαββάτῳ οὗτος ἐθεράπευσε, καὶ παρέβη τὸν νόμον, Ἰουδαῖοι Χριστῷ, πικρῶς ἐλοιδοροῦντο.

Οὐ Μωσῆς ὑμῖν φησὶ, τὸν νόμον δοὺς κελεύει περιτέμνεσθαι; καὶ ἐν Σαββάτῳ ἄνδρα περιτέμνετε, ἵνα μήπως ὁ νόμος τῶν Πατέρων λυθῇ, Χριστὸς τοῖς Ἰουδαίοις.

Οἱ ἀγνώμονες παντὶ, οἱ ἐν ἐρήμῳ πάλαι παροικήσαντες, τὸν εὐεργέτην φθόνῳ κατενέσκηπτον, βλασφημοῦντες, κινοῦντες τὰς ἀδίκους γλώσσας. κενὰ προσμελετῶντες.

Δόξα.

Εἷς Θεὸς ἐν ἡ Τριὰς, τοῦ Πατρὸς μὴ ἐκστάντος εἰς υἱότητα, οὐδὲ Υἱοῦ τραπέντος εἰς ἐκπόρευσιν. ἀλλ' ἰδίᾳ καὶ ἄμφω, φῶς Θεὸν τὰ τρία, δοξάζω εἰς αἰῶνας.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ

Καὶ νῦν Θεοτοκίον.

Πῶς ἐχώρησας εἰπὲ, τὸν ἐκ Πατρὸς ἀχρόνως προεκλάμψαντα, καὶ σὺν Ἁγίῳ Πνεύματι ἀνυμνούμενον; ἢ ὡς οἶδεν ὁ μόνος, εὐδοκήσας ἐκ σοῦ, τεχθῆναι Θεοτόκε. Καταβασία.

„ Ἄγγελοι καὶ Οὐρανοὶ, τὸν ἐπὶ θρόνου
„ δόξης ἐποχούμενον, καὶ ὡς Θεὸν ἀ-
„ παύστως δοξαζόμενον, εὐλογεῖτε ὑμνεῖτε,
„ καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἡ τιμιωτέρα οὐ στιχολογεῖται.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

„ Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύ-
„ του σοῦ Παρθένε, ἀκρογωνιαῖος ἐτμή-
„ θη Χριστὸς, συνάψας τὰς διεστώσας φύ-
„ σεις. διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε με-
„ γαλύνομεν.

Νέαν καὶ καινὴν πολιτείαν, παρὰ Χριστοῦ μεμαθηκότες, ταύτην μέχρι τέλους φυλάττειν, διαφερόντως πάντες σπουδάσωμεν· ὅπως Ἁγίου Πνεύματος, τὴν παρουσίαν ἀπολαύσωμεν.

Σύ μου τὸ θνητὸν ζωοδότα, περιβολὴν ἀθανασίας, καὶ τῆς ἀφθαρσίας τὴν χάριν, ἐνδύσας Σῶτερ συνεξανέστησας, καὶ τῷ Πατρὶ προσήγαγες, τὸν χρόνιόν μου λύσας πόλεμον.

Εἰς τὴν ἐπουράνιον πάλιν, διαγωγὴν ἀνακληθέντες, τῇ τῆς μεσιτείας δυνάμει, τοῦ κενωθέντος μέχρι καὶ δούλου μορφῆς, καὶ ἡμᾶς ἀνυψώσαντος, τοῦτον ἀξίως μεγαλύνομεν. Θεοτοκίον.

Ὡς ῥίζαν, πηγὴν, καὶ αἰτίαν, τῆς ἀφθαρσίας σε Παρθένε, πάντες οἱ πιστοὶ πεπεισμένοι, ταῖς εὐφημίαις καταγεραίρομεν· σὺ γὰρ τὴν ἐνυπόστατον, ἀθανασίαν ἡμῖν ἔβλυσας.

Ἄλλος. Ἀλλότριον τῶν Μητέρων.

Τῆς Ἑορτῆς μεσαζούσης τῶν Ἰουδαίων, ἀνῆλθες ὁ Σωτήρ μου ἐπὶ τὸ Ἱερόν σου, καὶ ἐδίδασκες πάντας. ἐθαύμαζον οἱ Ἰουδαῖοι, καὶ πόθεν οὗτος οἶδε γράμματα, μὴ μεμαθηκὼς ἔλεγον;

Ἰάματα χαρισμάτων ὁ Λυτρωτής μου, πηγάζων ἐπετέλει, τέρατα καὶ σημεῖα, φυγαδεύων τὰς νόσους, ἰώμενος τοὺς ἀσθενοῦντας. ἀλλ' Ἰουδαῖοι ἐξεμαίνοντο, τῷ πλήθει τῶν θαυμάτων αὐτοῦ.

Τοὺς ἀπειθεῖς Ἰουδαίους ὁ Λυτρωτής μου, ἐλέγχων ἀνεβόα· μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνετε. καὶ γὰρ ὁ νόμος καὶ ἐν Σαββάτῳ περιτέμνεσθαι, κελεύει πάντα ἄνθρωπον.

Τὰ μείζονα τῶν θαυμάτων τοῖς Μαθηταῖς σου, Σωτὴρ ὡς ἐπηγγείλω, παρέσχες ἀποστείλας, εἰς τὰ Ἔθνη κηρύξαι τὴν δόξαν σου. οἱ δὲ τῷ Κόσμῳ, ἐκήρυττόν σου τὴν Ἀνάστασιν, τὴν χάριν καὶ τὴν Σάρκωσιν.

Εἰ ἄνθρωπον περιτέμνετε ἐν Σαββάτῳ, μήπως λυθῇ ὁ νόμος, νῦν ἐμοὶ τί χολᾶτε; ὅτι ἄνθρωπον ὅλον ἐποίησα ὑγιῆ λόγῳ; κατὰ τὴν σάρκα ὑμεῖς κρίνετε, φησὶ τοῖς Ἰουδαίοις Χριστός.

Ὁ τὴν ξηρὰν θεραπεύσας χεῖρα τῷ λόγῳ, τὴν ξηρανθεῖσαν πάλαι, νῦν τῆς ἐμῆς καρδίας, ἰασάμενος Λόγε, ἀνάδειξόν με καρποφόρον· ἵνα ἐργάσωμαι κἀγὼ Σωτὴρ, καρποὺς ἐν μετανοίᾳ θερμῇ.

Λεπρῶσάν μου τὴν καρδίαν ἀποκαθάρας, καὶ τῆς ψυχῆς μου Λόγε, τὰ ὄμματα φωτίσας, ἐπὶ κλίνης ὀδύνης με κείμενον, ἀνόρθωσόν με, ὡς τὸν Παράλυτον ἀνέστησας, ἐν κλίνῃ κατακείμενον. Δόξα.

Ἀλλότριον τοῖς ἀνόμοις ἐστὶ τὸ σέβειν, τὴν ἄναρχον Τριάδα, Πατέρα καὶ Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν ἄκτιστον παντοκρατορίαν. δι' ἧς ὁ σύμπας Κόσμος, ἥδρασται, τῷ κράτει τῆς ἰσχύος αὐτῆς.

Καὶ νῦν. Θεοτοκίον.

Ἐχώρησας ἐν γαστρί σου Παρθενομήτωρ, τὸν ἕνα τῆς Τριάδος, Χριστὸν τὸν ζωοδότην, ὃν ὑμνεῖ πᾶσα Κτίσις, καὶ τρέμουσιν οἱ ἄνω θρόνοι. αὐτὸν δυσώπει παμμακάριστε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καταβασία.

Ἀλλότριον τῶν Μητέρων ἡ παρθενία, „
καὶ ξένον ταῖς Παρθένοις ἡ παιδο- „
ποιία. ἐπὶ σοὶ Θεοτόκε, ἀμφότερα ᾠκο- „
νομήθη. διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς, „
ἀπαύστως μακαρίζομεν. „

Ἐξαπος. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Ὁ τὸν κρατῆρα ἔχων, τῶν ἀκενώτων δωρεῶν, δός μοι ἀρύσασθαι ὕδωρ, εἰς ἄφεσιν ἁμαρτιῶν· ὅτι συνέχομαι δίψῃ, εὔσπλαγχνε μόνε Οἰκτίρμων. Δόξα.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ παρόντα Προσόμοια τῆς Ἑορτῆς, γ΄. Δευτεροῦντες τὸ α΄ ἦχος, δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἡ Σοφία καὶ δύναμις, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, Λόγος ὁ ἀΐδιος καὶ Υἱὸς τοῦ Θεοῦ, ἐν Ἱερῷ παραγενόμενος, σαρκὶ καὶ ἐδίδασκεν, Ἰουδαίων τοὺς λαοὺς, τοὺς δήμους καὶ ἀγνώμονας, καὶ ἐθαύμαζον, τῆς σοφίας τὸν πλοῦτον, ἐκβοῶντες· πόθεν γράμματα γινώσκει, παρ' οὐδενὸς μὴ μεμαθηκώς;

Γραμματεῖς ἐπεστόμιζεν, Ἰουδαίους διήλεγχεν, ὁ Μεσσίας Κύριος ἐκβοῶν αὐτοῖς· μὴ τὴν κατ' ὄψιν παράνομοι, ὡς ἄδικοι κρίνετε. ἐν Σαββάτῳ γὰρ ἐγὼ, τὸν Παράλυτον ἤγειρα. ὅθεν Κύριος, τοῦ Σαββάτου ὑπάρχω, καὶ τοῦ νόμου. τί ζητεῖτε με φονεῦσαι, τὸν τοὺς θανόντας ἐγείραντα;

Μωϋσέα ἐλίθασαν, οἱ δεινοὶ καὶ παράνομοι, Ἰουδαίων σύστημα τὸ ἀχάριστον. τὸν Ἡσαΐαν δὲ ἔπρισαν, ξυλίνῳ ἐν πρίονι. ἐν βορβόρῳ τὸν σοφὸν, Ἱερεμίαν ἐνέβαλον. τὸν δὲ Κύριον, ἐν Σταυρῷ ἀναρτήσαντες, ἐπεβόων· τὸν Ναὸν ὁ καταλύων, σῶσον σαυτὸν καὶ πιστεύσωμεν.

Δόξα, καὶ νῦν, ἦχος, δ΄. Ἀνατολίου.

Φωτισθέντες ἀδελφοὶ, τῇ Ἀναστάσει τοῦ Σωτῆρος Χριστοῦ, καὶ φθάσαντες τὸ μέσον τῆς Ἑορτῆς τῆς Δεσποτικῆς, γνησίως φυλάξωμεν τὰς ἐντολὰς τοῦ Θεοῦ· ἵνα ἄξιοι γενώμεθα, καὶ τὴν Ἀνάληψιν ἑορτάσαι, καὶ τῆς Παρουσίας τυχεῖν τοῦ Ἁγίου Πνεύματος.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς, ᾠδὴ, γ΄. καὶ ς΄.

Ὁ Ἀπόστολος. Προκείμενον, ἦχος, α΄.

Μνήσθητι τῆς συναγωγῆς σου ἧς ἐκτήσω ἀπ' ἀρχῆς.

Στίχ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν πρὸ αἰώνων.

Πράξεων τῶν Ἀποστόλων.

Ἐν ταῖς ἡμέραις ἐκείναις, κατέφυγον οἱ Ἀπόστολοι εἰς τὰς Πόλεις.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Τῆς Ἑορτῆς μεσούσης, ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ Ἱερὸν, καὶ ἐδίδασκε, καὶ ἐθαύμαζον οἱ Ἰουδαῖοι, λέγοντες.

Κοινωνικόν. Ὁ τρώγων μου τὴν Σάρκα, καὶ πίνων μου τὸ Αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ, εἶπεν ὁ Κύριος.

Ἑορτάζεται δὲ ἡ αὐτὴ Ἑορτὴ ἡμέρας, η΄.

Τῇ Δ΄. τῆς Δ΄. Ἑβδομάδος τῆς Μεσοπεντηκοστῆς, Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν στιχηρὰ Προσόμοια τῆς Ἑορτῆς, γ΄. καὶ τοῦ Μηναίου, γ΄. τῆς Ἑορτῆς, ἦχος. δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Προκαταλύσας τὸ κράτος τοῦ θανάτου, Χριστὲ τῷ θανάτῳ σου, ζωὴν παρέσχες βροτοῖς, ἐν τῇ ἐνδόξῳ ἐγέρσει σου, συνεξεγείρας, γένος ἀνθρώπων τῇ καταβάσει σου. ὅθεν χαριστήριον, αἶνόν σοι ᾄδομεν, τὴν Ἑορτὴν ἑορτάζοντες, τῆς τριημέρου, καὶ λαμπροφόρου σου Ἀναστάσεως. ἐν ᾗ τὸ μέσον, τῶν πανσέπτων νῦν, ἡμερῶν ἡμῖν πᾶσιν ἐπέλαμψεν, Ἰησοῦ ζωοδότα, εὐεργέτα τῶν ψυχῶν ἡμῶν. Ὅμοιον.

Πρὸ τοῦ τιμίου Σταυροῦ σου καὶ τοῦ πάθους, θαυμάτων τὰ ἔνδοξα, ἀποτελῶν τοῖς Λαοῖς, τῆς Ἑορτῆς καθὼς γέγραπται, ἐν μέσῳ ἔστης, τῆς νομικῆς Χριστὲ Παντοδύναμε, καὶ πᾶσιν ἐβόησας· εἴ τις διψᾷ πρὸς ἐμὲ, αὐτομολείτω καὶ ὕδατος, τοῦ θείου πόμα, ἀπαντλησάτω καὶ ζωῆς νάματα. ὕδωρ ζωῆς γὰρ καὶ δυνάμεως, καὶ σοφίας ἐγὼ πᾶσι δίδωμι, ὅτι θέλων ἀνθρώποις, ὡμοιώθην ὡς φιλάνθρωπος. Ὅμοιον.

Ὡς ἐπὶ κλίνης με κείμενον ὀδύνης, Χριστὲ πολυέλεε, τῶν ἐγκλημάτων μου, καὶ παρειμένον τοῖς μέλεσιν, ὡς διὰ μέγα, φιλανθρωπίας πέλαγος ἄνθρωπος, θελήσει γενόμενος, νῦν ἀοράτως με, ὡς τὸν Παράλυτον ἔγειρον, καὶ τρίβους θείας, τῶν ἐντολῶν σου τρέχειν εὔοδωσον, ὁ πρὸ τοῦ πάθους, τοῖς Λαοῖς Σωτὴρ, τῶν Ἑβραίων θαυμάτων τοῖς πλήθεσι, παραστάμενος ὅτι, Θεὸς ὢν βουλήσει πάχεις σαρκί.

Καὶ τοῦ Μηναίου, γ΄.

Δόξα, καὶ νῦν, ἦχος. δ΄.

Ὅτε παρεγένου ἐν Ἱερῷ Χριστὲ ὁ Θεὸς, μεσούσης τῆς Ἑορτῆς, τότε τοῖς λαοῖς ἐδίδασκες βοῶν· ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ ζήσεται. οἱ δὲ Ἰουδαῖοι διεπρίοντο, μετὰ τῶν Φαρισαίων, καὶ Σαδδουκαίων,



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

καὶ Γραμματέων, λέγοντες· τίς ἐστιν οὗτος, ὃς λαλεῖ βλασφημίας; μὴ λογιζόμενοι, ὅτι σὺ ὑπάρχεις ὁ πρὸ πάντων αἰώνων, σὺν Πατρὶ καὶ Πνεύματι δοξαζόμενος, Θεὸς ἡμῶν δόξα σοι.

Εἰς τὸν Στίχον. Ἀναστάσιμον. ἦχος, γ΄.

Τῷ πάθει σου Χριστέ, ἀμαυρώσας τὸν Ἥλιον, καὶ τῷ φωτὶ τῆς σῆς Ἀναστάσεως, φαιδρύνας τὰ σύμπαντα, πρόσδεξαι ἡμῶν, τὸν Ἑσπερινὸν ὕμνον φιλάνθρωπε.

Ἀποστολικόν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος ὑμῶν, Ἅγιοι Ἀπόστολοι, εἰδώλων πλάνην ἐλύσατε, Θεογνωσίαν κηρύξαντες. οὗτος ὁ καλὸς ἀγών, ὑμῶν ὑπάρχει μακάριοι. διὸ ὑμνοῦμεν, καὶ δοξολογοῦμεν ὑμῶν τὰ μνημόσυνα.

Μαρτυρικόν.

Οἱ Μάρτυρές σου Κύριε, πίστει στηριχθέντες, ἐλπίδι βεβαιωθέντες, τῇ ἀγάπῃ τοῦ Σταυροῦ σου, ψυχικῶς ἑνωθέντες, τοῦ ἐχθροῦ τὴν τυραννίδα ἔλυσαν. καὶ τυχόντες τῶν στεφάνων, μετὰ τῶν Ἀσωμάτων πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν, ἦχος, γ΄. Γερμανοῦ.

Μεσούσης τῆς Ἑορτῆς, δοξάζομεν τὸν ἐν μέσῳ τῆς γῆς, σωτηρίαν ἐργασάμενον. μέσον μὲν δύο λῃστῶν, ἡ ζωὴ ἐν ξύλῳ ἐκρέματο. καὶ τῷ μὲν βλασφημοῦντι ἐσιώπα, τῷ δὲ πιστεύοντι ἐβόα· σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ. κατῆλθεν ἐν τάφῳ, ἐσκύλευσε τὸν Ἅδην, καὶ ἀνέστη τριήμερος, σώζων τὰς ψυχὰς ἡμῶν.

Τῇ Ε΄. τῆς Δ΄. Ἑβδομάδος τῆς Μεσοπεντηκοστῆς εἰς τὸν Ὄρθρον, εἰς τό, Θεὸς Κύριος. Τροπάριον, Μεσούσης τῆς Ἑορτῆς, ἐκ γ΄. Τοῦτο δὲ λέγομεν μέχρι τῆς ἀποδόσεως τῆς αὐτῆς Ἑορτῆς.

Μετὰ τὴν α΄. στιχολ. κάθ. Ἀναστ. ἦχος, γ΄.

Τὴν ὡραιότητα.

Τὰ ἀνθρώπινα, καταδεξάμενος, πάντα ἡμέτερα, οἰκειωσάμενος, ἐν τῷ Σταυρῷ προσηλωθῆναι εὐδόκησας ποιητά μου. θάνατον ἑλόμενος, ὑπομεῖναι ὡς ἄνθρωπος, ἵνα τὸ ἀνθρώπινον, ἐκ θανάτου λυτρώσῃ ὡς Θεός. διὸ ὡς ζωοδότῃ βοῶμέν σοι· δόξα Χριστὲ τῇ Ἀναστάσει σου.

Ἀποστολικόν.

Τῶν Ἀποστόλων σου, τὴν μνήμην Κύριε, ὑπερεφαίδρυνας, ὡς Παντοδύναμος, ὅτι ἐνίσχυσας αὐτούς, τὰ πάθη σου μιμήσασθαι. ἐνίκησαν ἀνδρείως γάρ, τοῦ Βελίαρ τὴν δύναμιν. ὅθεν καὶ ἀπέλαβον, ἰαμάτων χαρίσματα. αὐτῶν ταῖς ἱκεσίαις φιλάνθρωπε, εἰρήνην παράσχου τῷ Λαῷ σου.

Μαρτυρικόν.

Θωρακισάμενοι, τὴν πανοπλίαν Χριστοῦ, καὶ ἐνδυσάμενοι, ὅπλα τῆς Πίστεως, τὰς παρατάξεις τοῦ ἐχθροῦ, ἀνδρικῶς κατεβάλετε. προθύμως τῇ ἐλπίδι γάρ, τῆς ζωῆς ὑπεμείνατε, πάσας τῶν τυράννων, ἀπειλάς τε καὶ μάστιγας. διὸ καὶ τοὺς στεφάνους ἐδέξασθε, Μάρτυρες Χριστοῦ καρτερόψυχοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Προφῆται προεκήρυξαν, Ἀπόστολοι ἐδίδαξαν, Μάρτυρες ὡμολόγησαν, καὶ ἡμεῖς ἐπιστεύσαμεν, Θεοτόκον σε κυρίως ὑπάρχουσαν. διὸ καὶ μεγαλύνομεν τὸν Τόκον σου τὸν ἄφραστον.

Μετὰ τὴν β΄. στιχολ. κάθ. ἦχος, πλ. δ΄.

Τὴν Σοφίαν καὶ Λόγον.

Ἑστηκὼς ἐν τῷ μέσῳ τοῦ Ἱεροῦ, μεσαζούσης ἐνθέως τῆς Ἑορτῆς, ὁ διψῶν ἀνέκραζες, ἐρχέσθω πρός με καὶ πινέτω· ὁ γὰρ πίνων ἐκ τούτου τοῦ θείου μου νάματος, ποταμοὺς ἐκ κοιλίας ἐκβλύσει δογμάτων μου· ὅστις δὲ πιστεύει, εἰς ἐμὲ τὸν σταλέντα, ἐκ θείου Γεννήτορος, μετ' ἐμοῦ δοξασθήσεται. διὰ τοῦτο βοῶμέν σοι· δόξα σοι Χριστὲ ὁ Θεός, ὅτι πλουσίως ἐξέχεας τὰ νάματα, τῆς σῆς φιλανθρωπίας τοῖς δούλοις σου. Δίς.

Τό, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν΄. Οἱ Κανόνες, ὁ δ΄. τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν, εἰς η΄. Καὶ τοῦ Μηναίου, εἰς δ΄. Κοντάκιον, καὶ Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, στιχηρὰ τῆς Ὀκτωήχου.

Ἀναστάσιμον, ἦχος, γ΄.

Ἐν τῷ φωτί σου Δέσποτα, ὀψόμεθα φῶς φιλάνθρωπε. ἀνέστης γὰρ ἐκ τῶν νεκρῶν, σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων δωρούμενος, ἵνα σε πᾶσα Κτίσις δοξολογῇ τὸν μόνον ἀναμάρτητον. ἐλέησον ἡμᾶς. Δίς.

Ἀποστολικόν.

Τὰς τοῦ Χριστοῦ παραγγελίας, ἀμέμπτως φυλάξαντες, ἅγιοι Ἀπόστολοι,

δω-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

δωρεὰν ἐλάβετε, δωρεὰν παρέχετε, ἰατρεύοντες τὰ πάθη τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν. διὸ ἔχοντες παῤῥησίαν, αὐτὸν ἱκετεύσατε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Μαρτυρικόν.

Ὡς φωστῆρες ἐν Κόσμῳ λάμπετε, καὶ μετὰ θάνατον Ἅγιοι Μάρτυρες, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενοι. διὸ ἔχοντες παῤῥησίαν, Χριστὸν ἱκετεύσατε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν, ἦχος, δ'.

Κύριε πρὸ τοῦ ἀχράντου σου Σταυροῦ, τῆς Ἑορτῆς μεσούσης, ἐν τῷ Ἱερῷ ἀνῆλθες, Ἰουδαίους παῤῥησίᾳ διδάσκων, τὰ Μωσέως, καὶ ἐν νόμῳ διὰ σοῦ νομοθετηθέντα. ἐκπληττόμενοι δὲ Χριστέ, τῆς σῆς σοφίας τὸ ἄφραστον μυστήριον, τὴν κατὰ σοῦ σκαιωρίαν ἐν ἑαυτοῖς φθόνῳ ἐμελέτων. πῶς οὗτος οἶδε γράμματα μὴ μεμαθηκώς; ἀγνοοῦντές σε τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν ἀπόστιχον ἡ ἀκροστιχίς.

Μεσοπεντηκοστῆς, ἦχος, β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Μέγας εἶ Βασιλεῦ, καὶ μέγα σου τὸ κράτος· μεγάλως γὰρ πτωχεύσας, μεγάλων χαρισμάτων, τὴν Οἰκουμένην ἔπλησας.

Στίχ. Μνήσθητι τῆς συναγωγῆς σου.

Ἔστης ἐν τῷ Ναῷ, ἐκβλύζων σου τὰ ῥεῖθρα, τῆς Ἑορτῆς μεσούσης· καὶ ἄρδων τοὺς διψῶντας, τὴν θείαν χάριν Εὔσπλαγχνε.

Στίχ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Ὤσαί με βουληθείς, σαρκοῦσαι παραδόξως, ἐκ Κόρης ἀπειράνδρου, καὶ μέσον τοῦ Ναοῦ σου, τὴν χάριν μοι ἐπήγασας.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'.

Ἰωάννου Μοναχοῦ.

Μεσούσης τῆς Ἑορτῆς πρὸ τοῦ πάθους, καὶ τῆς ἐνδόξου Ἀναστάσεώς σου Κύριε, ἧς διδάσκων ἀγαθέ, ἐν τῷ Ἱερῷ τοὺς ἀπειθοῦντας Ἰουδαίους, καὶ Φαρισαίους, καὶ Γραμματεῖς, καὶ βοῶν πρὸς αὐτούς· ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω. ὁ πιστεύων εἰς ἐμέ, ὕδατος ζωῆς Πνεύματος θείου, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ. ὢ τῆς ἀῤῥήτου σοφίας τῆς σῆς αἰνέσεως, ὁ τὰ πάντα πληρῶν Θεὸς ἡμῶν δόξα σοι.

---

Τῇ Ε'. τῆς Δ'. Ἑβδομάδος τῆς Μεσοπεντηκοστῆς, Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, πλ. Προσόμοια τῆς Ἑορτῆς, γ'. καὶ τοῦ Μηναίου, γ'. τῆς Ἑορτῆς, ἦχος, πλ. α'.

Χαίροις ἀσκητικῶν.

Ὤφθη φωτοφανὴς καὶ τερπνή, τῆς τοῦ Σωτῆρος Ἀναστάσεως σήμερον, Μεσότης ἡ πανηγυρία, ὡς μεσημβρία φαιδρά, φρυκτωροῦσα Κόσμον θείαις χάρισι. Χριστοῦ τῆς ἐγέρσεως, λαμπαδουχοῦσα τεράστια· τῆς ἀφθαρσίας, ἀπαστράπτει τὰ σύμβολα, καὶ προδείκνυσι, τὴν εἰς ὕψος Ἀνάληψιν. φαίνει τὴν πολυέραστον, τοῦ Πνεύματος ἔλευσιν, Πεντηκοστῆς τῆς πανσέπτου, τὴν λαμπροτάτην πανήγυριν. διὸ καὶ παρέχει, ταῖς ψυχαῖς ἡμῶν εἰρήνην, καὶ μέγα ἔλεος.

Λόξης ὡς θεϊκῆς ποταμός, τῆς Ἑορτῆς νῦν μεσαζούσης ὁ Κύριος, τὰ ῥεῖθρα τῆς εὐσπλαγχνίας, πᾶσι παρέχων βοᾷ· ὁ διψῶν ἐρχέσθω πρός με, καὶ πινέτω θερμῶς. πηγὴ συμπαθείας γάρ, καὶ ἐλέους τὸ πέλαγος, αὐτὸς ὑπάρχων, βρύει Κόσμῳ τὴν ἄφεσιν· πλύνει πταίσματα, καὶ καθαίρει νοσήματα· σώζει τοὺς τὴν Ἀνάστασιν, αὐτοῦ ἑορτάζοντας· σκέπει τοὺς πόθῳ τιμῶντας, τὴν μετὰ δόξης Ἀνάληψιν, αὐτοῦ καὶ παρέχει, ταῖς ψυχαῖς ἡμῶν εἰρήνην, καὶ μέγα ἔλεος.

Μέσον τοῦ Ἱεροῦ ἑστηκώς, ὁ ἀπερίγραπτος Θεός τε καὶ Κύριος· Θεὸς γὰρ ὑπῆρχε φύσει, κἂν δι' ἡμᾶς βροτωθείς, περιγεγραμμένος ὤφθη σώματι· τοῖς πᾶσιν ἀνέβλυζε, τὰ ζωήῤῥυτα ῥήματα, τοῖς πᾶσι λέγων· τὰς ψυχὰς ἐκκαθάρθητε, καὶ τοῦ καύσωνος, τῶν παθῶν ἀναψύξατε. μήτις ἀποστερήσοιτο, τῆς πόσεως ἄνθρωποι, θείαν γὰρ χάριν δωροῦμαι, τῆς ἀθανάτου καὶ κρείττονος, καὶ τῆς Βασιλείας, συμμεθέξει μοι τῷ Κτίστῃ, καὶ δοξασθήσεται.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'.

Τῆς Ἑορτῆς μεσούσης, τῆς σῆς Χριστὲ Ἀναστάσεως, καὶ θείας παρουσίας τοῦ Ἁγίου σου Πνεύματος, συνελθόντες τῶν θαυμάτων σου, ἀνυμνοῦμεν τὰ μυστήρια· ἐν οἷς κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΖΑΓΟΡΑΣ "ΜΑΚΚΑΙΟΣ"

Εἰς τὸν ά. ά. τῆς Ὀκτωήχου.

Σταυρώσιμον, ἦχος, γ΄.

Ξύλον παρακοῆς τῷ Κόσμῳ θάνατον ἐβλάστησε, τὸ δὲ ξύλον τοῦ Σταυροῦ, ζωὴν καὶ ἀφθαρσίαν. διὸ σε προσκυνοῦμεν, τὸν σταυρωθέντα Κύριον. σημειωθήτω ἐφ' ἡμᾶς, τὸ φῶς τοῦ προσώπου σου.

ά. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς.

Ἀναστάσιμον.

Τῷ σῷ Σταυρῷ Χριστὲ Σωτὴρ, θανάτου κράτος λέλυται, καὶ διαβόλου ἡ πλάνη κατήργηται. γένος δὲ ἀνθρώπων πίστει σωζόμενον, ὕμνον σοι καθ' ἑκάστην προσφέρει.

ά. Ἐλέησον ἡμᾶς Κύριε. Μαρτ.

Μεγάλη τοῦ Σταυροῦ σου Κύριε ἡ δύναμις. ἐπάγη γὰρ ἐν τόπῳ, καὶ ἐνεργεῖ ἐν Κόσμῳ. καὶ ἀνέδειξεν ἐξ Ἁλιέων Ἀποστόλους, καὶ ἐξ Ἐθνῶν Μάρτυρας, ἵνα πρεσβεύωσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν, ἦχος, πλ.

Ἰωάννου Μοναχοῦ.

Μεσούσης τῆς Ἑορτῆς πρὸ τοῦ πάθους, καὶ τῆς ἐνδόξου Ἀναστάσεώς σου Κύριε, ἧς διδάσκων ἀγαθὲ, ἐν τῷ Ἱερῷ τοὺς ἀπειθοῦντας Ἰουδαίους, καὶ Φαρισαίους, καὶ Γραμματεῖς, καὶ βοῶν πρὸς αὐτούς· ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω. ὁ πιστεύων εἰς ἐμὲ, ὕδατος ζωῆς Πνεύματος θείου, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ. ὢ τῆς ἀρρήτου σοφίας τῆς σῆς αἱρέσεως. ὁ τὰ πάντα πληρῶν Θεὸς ἡμῶν δόξα σοι.

Τῇ Παρασκευῇ τῆς Δ΄. Ἑβδομάδος τῆς Μεσοπεντηκοστῆς, εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολ. λέγομεν τὰ παρόντα κάθ. ἦχος, γ΄.

Σταυρώσιμον. Τὴν ὡραιότητα.

Σταυρὸν καὶ θάνατον, παθεῖν ἑλόμενος, μέσον τῆς Κτίσεως, τοῦτον κατέπηξας. ὅτε εὐδόκησας Σωτὴρ, τὸ Σῶμά σου προσηλῶσαι· τότε καὶ ὁ Ἥλιος, τὰς ἀκτῖνας ἀπέκρυψε. ταῦτα καὶ Ληστὴς ὁρῶν, ἐν Σταυρῷ σε ἀνύμνησε, Μνήσθητί μου βοῶν ὁ Σωτήρ· καὶ ἔλαβε πιστεύσας τὸν Παράδεισον.

Ἀναστάσιμον.

Τὸ ἀκατάληπτον τὸ τῆς σταυρώσεως, καὶ ἀνερμήνευτον τὸ τῆς ἐγέρσεως, θεολογοῦμεν οἱ Πιστοὶ, μυστήριον ἀπόρρητον. σήμερον γὰρ θάνατος, καὶ ὁ ᾅδης κατήργηται. γένος δὲ τὸ βρότειον, ἀφθαρσίαν ἐνδέδυται. διὸ εὐχαριστοῦντες βοῶμέν σοι· δόξα Χριστὲ τῇ ἐγέρσει σου.

Μαρτυρικόν.

Τὸ ἔμψυχον τῆς καρτερίας ὑμῶν, ἐνίκησε τὰ μηχανήματα τοῦ ἀρχεκάκου ἐχθροῦ, Ἀθλοφόροι πανεύφημοι. διὰ τοῦτο τῆς αἰωνίου κατηξιώθητε μακαριότητος. ἀλλὰ πρεσβεύσατε τῷ Κυρίῳ, τοῦ φιλοχρίστου Λαοῦ σῶσαι τὸ ποίμνιον, Μάρτυρες ὑπάρχοντες τῆς ἀληθείας.

Δόξα, καὶ νῦν, Σταυροθεοτοκίον.

Ῥάβδον δυνάμεως κεκτημένοι, τὸν Σταυρὸν τοῦ Υἱοῦ σου Θεοτόκε. ἐν αὐτῷ καταβάλλομεν τῶν ἐχθρῶν τὰ φρυάγματα, οἱ πόθῳ σε ἀπαύστως μεγαλύνοντες.

Μετὰ τὴν β΄. στιχολ. κάθ. ἦχος, πλ.

Τὴν Σοφίαν καὶ Λόγον.

Τῆς Σοφίας τὸ Ὕδωρ καὶ τῆς ζωῆς, ἀναβλύζων τῷ Κόσμῳ, πάντας Σωτὴρ, καλεῖς τοῦ ἀρύσασθαι, σωτηρίας τὰ νάματα. τὸν γὰρ θεῖον νόμον σου, δεχόμενος ἄνθρωπος, ἐν αὐτῷ σβεννύει, τῆς πλάνης τοὺς ἄνθρακας. ὅθεν εἰς αἰῶνας, οὐ διψήσει οὐ λήξει, τοῦ κόρου σου Δέσποτα, Βασιλεῦ Ἐπουράνιε· διὰ τοῦτο δοξάζομεν, τὸ κράτος σου Χριστὲ ὁ Θεὸς, τῶν πταισμάτων ἄφεσιν αἰτούμενοι, καταπέμψαι πλουσίως τοῖς δούλοις σου. Δίς.

Τὸ, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν΄. Οἱ Κανόνες τῆς Ἑορτῆς, ὁ πρ. μετὰ τῶν Εἱρμῶν, εἰς η΄. καὶ τοῦ Μηναίου, εἰς δ΄. Κοντάκιον, καὶ Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, στιχηρὰ τῆς Ὀκτωήχου. Δευτεροῦντες τὸ α΄. ἦχος, γ΄.

Σταυρώσιμον.

Φθόνῳ τρυφῆς ἐκβέβλημαι, πτῶμα πεσὼν χαλεπὸν, ἀλλ' οὐ παρεῖδες Δέσποτα, ἀναλαβὼν δι' ἐμὲ τὸ κατ' ἐμέ. σταυροῦσαι καὶ σώζεις με, εἰς δόξαν εἰσάγεις με, Λυτρωτά μου δόξα σοι. Δίς.

Ἀναστάσιμον.

Δεῦτε πάντα τὰ Ἔθνη, γνῶτε τοῦ φρικτοῦ μυστηρίου τὴν δύναμιν. Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν, ὁ ἐν ἀρχῇ Λόγος, ἐσταυρώθη δι' ἡμᾶς, καὶ ἑκὼν ἐτάφη, καὶ ἀνέστη



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Αρμόδια Κεντρική ...

ἐκ νεκρῶν, τοῦ σῶσαι τὸ σύμπαντα· αὐτὸν προσκυνήσωμεν. Μαρτυρικόν.

Τῶν ἁγίων Ἀθλοφόρων τὴν μνήμην, δεῦτε Λαοὶ ἅπαντες τιμήσωμεν· ὅτι θέατρον γενόμενοι, Ἀγγέλοις καὶ ἀνθρώποις, τὸν τῆς νίκης στέφανον παρὰ Χριστοῦ ἐκομίσαντο, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ΄.

Μεσούσης τῆς Ἑορτῆς τοῦ Πάσχα, ἐν τῷ Ναῷ ἀνῆλθες, τοῦ Ἱεροῦ ὁ Σωτὴρ ἡμῶν, καὶ στὰς ἐν μέσῳ τοῦ ὄχλου, ἐδίδασκες αὐτοὺς παῤῥησίᾳ καὶ ἔλεγες· ἐγώ εἰμι τὸ φῶς τοῦ Κόσμου. ὁ ἐμοὶ ἀκολουθῶν, οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ᾽ ἕξει τὸ φῶς τῆς ἀθανάτου ζωῆς.

Εἰς τὸν στ. στ. ἦχος, β΄.

Οἶκος τοῦ Εὐφραθᾶ.

Ὅλος σὺν τῷ Θεῷ, ὁ Λόγος σὺ ὑπάρχων, ὁλλύμενόν με θέλων, ἐξᾶραι τῶν πταισμάτων, σῶσαί μοι φιλάνθρωπε.

στ. Μνήσθητι τῆς συναγωγῆς σου.

Πέπαυται ἡ σκιά. ἰδοὺ γὰρ ὁ Μεσσίας, τῆς Ἑορτῆς ἐν μέσῳ, τὴν χάριν ὥσπερ ἄλλον, φωσφόρον ἐναπέστραψεν.

στ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Ἔρχεσθε ἀπειθῶς, οἱ τῆς ζωῆς τὸ νᾶμα, πιεῖν ἐπιποθοῦντες, ἐβόα ὁ Σωτήρ μου, καὶ πίετε τὴν χάριν, ἐνθέως ἀγαλλόμενοι.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ΄.

Καθαρθῶμεν ἐννοιῶν τὰς κηλιδώμας, καὶ ψυχικὰς λαμπηδόνας διαυγάσωμεν. καὶ τὴν ζωὴν κατίδωμεν Χριστὸν, ἐν Ἱερῷ ἀφικόμενον, ὑπερβολῇ ἀγαθότητος, ἵνα τὸν ἐχθρὸν θριαμβεύσῃ, καὶ σώσῃ τὸ γένος ἡμῶν, διὰ πάθους Σταυροῦ καὶ τῆς Ἀναστάσεως. πρὸς ὃν βοήσωμεν, ἀκατάληπτε Κύριε δόξα σοι.

Τῇ Παρασκευῇ τῆς Δ΄. Ἑβδομάδος τῆς Μεσοπεντηκοστῆς, Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ς΄. καὶ ψάλλομεν στ. Προσόμοια τῆς Ἑορτῆς, γ΄. ἦχος, α΄.

Τῶν Οὐρανίων Ταγμάτων.

Ὁ Ποιητὴς τῶν ἁπάντων, καὶ τῆς ζωῆς χορηγός· ὁ τῷ Πατρὶ τῷ θείῳ, συναΐδιος Λόγος· ἐκὼν ἐκ τῆς Παρθένου, σάρκα λαβὼν, καὶ γενόμενος ἄνθρωπος, τὰ τῆς ἀῤῥήτου σοφίας ὡς ἀγαθὸς, πᾶσιν ἔβλυσε διδάγματα.

Τῆς Ἑορτῆς μεσαζούσης, τῶν Ἰουδαίων Χριστὲ, τῷ Ἱερῷ ἐπέστης, ὁ τοῦ νόμου Δεσπότης· διδάσκων ἐξουσίᾳ τοὺς Γραμματεῖς, διελέγχων ὡς γέγραπται, καὶ καταπλήττων σοφίᾳ λόγων τῶν σῶν, καὶ θαυμάτων ἐπιδείξεσιν.

Ὁ Χορηγὸς τῆς σοφίας, καὶ τῶν καλῶν παροχεὺς, ὁ χέων θεῖα ῥεῖθρα, ἐκ πηγῆς ἀενάου, δεῦτε πρός με κράζει, ὕδωρ ζωῆς, οἱ διψῶντες ἀφύσασθε. καὶ ποταμοὶ ἐκ κοιλίας ὑμῶν φησὶ, χαρισμάτων θείων ῥεύσουσι.

Καὶ τοῦ Μηναίου, γ΄. Δόξα, ἦχος, α΄. Ἰωάννου Μοναχοῦ.

Πεντηκοστῆς ἐφέστηκεν ἡ τῶν ἡμερῶν μεσότης· ἐν ᾗ Χριστὸς παραγυμνώσας ἀμυδρῶς θεϊκὴν δυναστείαν, Παράλυτον συνέσφιγξε, λόγῳ αὐτὸν τῆς κλίνης ἐξαναστήσας. καὶ θεοπρεπῶς θαυματουργῶν ἐν ὀστρακίνῳ σώματι, τοῖς ἀνθρώποις ἐδωρήσατο, τὴν αἰώνιον ζωὴν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Πῶς μὴ θαυμάσωμεν, τὸν Θεανδρικὸν σου τόκον πανσεβάσμιε; πεῖραν γὰρ ἀνδρὸς μὴ δεξαμένη πανάμωμε, ἔτεκες ἀπάτορα Υἱὸν ἐν σαρκὶ, τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα ἀμήτορα· μηδαμῶς ὑπομείναντα τροπὴν, ἢ φυρμὸν, ἢ διαίρεσιν· ἀλλ᾽ ἑκατέρας οὐσίας τὴν ἰδιότητα σῶαν φυλάξαντα. διὸ Μητροπάρθενε Δέσποινα, αὐτὸν ἱκέτευε σωθῆναι, τὰς ψυχὰς τῶν ὀρθοδόξως, Θεοτόκον ὁμολογούντων σε.

Εἰς τὸν στ. στ. Ἀναστάσιμα τῆς Ὀκτωήχου, ἦχ. γ΄.

Τῷ σῷ Σταυρῷ Χριστὲ Σωτὴρ, θανάτου κράτος λέλυται, καὶ διαβόλου ἡ πλάνη κατήργηται. γένος δὲ ἀνθρώπων πίστει σωζόμενον, ὕμνον σοι καθ᾽ ἑκάστην προσφέρει.

στ. Ὁ Κύριος ἐβασίλευσεν.

Πεφώτισται τὰ σύμπαντα, τῇ Ἀναστάσει σου Κύριε, καὶ ὁ Παράδεισος πάλιν ἠνέῳκται. πᾶσα δὲ ἡ Κτίσις ἀνευφημοῦσά σε, ὕμνον σοι καθ᾽ ἑκάστην προσφέρει.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Στίχ. Καὶ γὰρ ἐστερέωσε.

Δοξάζω τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ τὴν δύναμιν, καὶ Πνεύματος Ἁγίου ὑμνῶ τὴν ἐξουσίαν, ἀδιαίρετον ἄκτιστον Θεότητα, Τριάδα ὁμοούσιον, τὴν βασιλεύουσαν εἰς αἰῶνα αἰῶνος.

Στίχ. Τῷ οἴκῳ σου πρέπει.

Ὁ τῷ πάθει σου Χριστὲ, ἀμαυρώσας τὸν Ἥλιον, καὶ τῷ φωτὶ τῆς σῆς Ἀναστάσεως, φαιδρύνας τὰ σύμπαντα, πρόσδεξαι ἡμῶν, τὸν ἑσπερινὸν ὕμνον φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Ἦχος α΄.

Ἐν τῷ Ἱερῷ ἐπέστης ἡ σοφία τοῦ Θεοῦ, μεσούσης τῆς Ἑορτῆς, διδάσκων καὶ ἐλέγχων τοὺς ἀπειθεῖς Ἰουδαίους, τοὺς Φαρισαίους, καὶ Γραμματεῖς, καὶ βοῶν παῤῥησίᾳ πρὸς αὐτούς· ὁ διψῶν ἐρχέσθω πρός με, καὶ πινέτω ὕδωρ ζωηρὸν, καὶ οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα. ὁ πιστεύων τῇ ἐμῇ χρηστότητι, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ ζωῆς αἰωνίου· ὢ τῆς ἀγαθότητος καὶ τῆς εὐσπλαγχνίας σου, Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Τῷ Σαββάτῳ τῆς Δ΄. Ἑβδομάδος τῆς Μεσοπεντηκοστῆς, εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολογίαν Ἀναστάσιμα, ἦχος γ΄.

Χριστὸς ἐκ νεκρῶν ἐγήγερται, ἡ ἀπαρχὴ τῶν κεκοιμημένων, ὁ πρωτότοκος τῆς Κτίσεως, καὶ δημιουργὸς πάντων τῶν γεγονότων. τὴν καταφθαρεῖσαν φύσιν τοῦ γένους ἡμῶν, ἐν ἑαυτῷ ἀνεκαίνισεν. οὐκ ἔτι θάνατε κυριεύεις· ὁ γὰρ τῶν ὅλων Δεσπότης, τὸ κράτος σου κατέλυσε.

Σαρκὶ τοῦ θανάτου γευσάμενος Κύριε, τὸ πικρὸν τοῦ θανάτου ἐξέτεμες τῇ ἐγέρσει σου. καὶ τὸν ἄνθρωπον κατ' αὐτοῦ ἐνισχύσας, τῆς ἀρχαίας κατάρας τὴν ἧτταν ἀνακαλούμενος. ὁ ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν, τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε. ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Μετὰ τὴν β΄. στιχολογίαν Κάθισμα τῆς Ἑορτῆς. Ἦχος πλ. δ΄.

Τὴν Σοφίαν καὶ Λόγον.

Ἑορτῆς μεσαζούσης τῆς νομικῆς, ἧς διδάσκων Σωτήρ μου ἐν Ἱερῷ· ἐλέγχων τε τὴν ἄνοιαν, τῶν ἀπίστων Ἑβραίων· καὶ βοῶν τοῖς ὄχλοις, θείᾳ φωνῇ ὡς φιλάνθρωπος, ὁ διψῶν ἀνέκραζες, ἐρχέσθω πρός με καὶ πινέτω. ὅθεν ἐπηγγείλω, τοῖς πιστεύουσι νέμειν, εὐφροσύνης τὰ νάματα, ἐκ πηγῆς ἀκηράτου σου. διὰ τοῦτο βοῶμέν σοι· κατάπεμψον Χριστὲ ὁ Θεὸς, τὸ Πνεῦμά σου τὸ Ἅγιον, καὶ σῶσον ἡμᾶς, ὅτι μόνος ὑπάρχεις πολυέλεος. Δίς.

Τὸ, Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν΄. Οἱ Κανόνες, τῆς Ἑορτῆς, ὁ δ΄. μετὰ τῶν Εἱρμῶν, εἰς ς΄. τοῦ Ἁγίου τῆς Μονῆς εἰς δ΄. Καὶ τοῦ Μηναίου, εἰς δ΄. Κοντάκιον καὶ Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν

Στίχ. Ἀναστάσιμα, ἦχος γ΄.

Δεῦτε πάντα τὰ Ἔθνη, γνῶτε τοῦ φρικτοῦ μυστηρίου τὴν δύναμιν. Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν, ὁ ἐν ἀρχῇ Λόγος ἐσταυρώθη δι' ἡμᾶς, καὶ ἑκὼν ἐτάφη, καὶ ἀνέστη ἐκ νεκρῶν, τοῦ σῶσαι τὰ σύμπαντα· αὐτὸν προσκυνήσωμεν.

Διηγήσαντο πάντα τὰ θαυμάσια, οἱ φύλακές σου Κύριε. ἀλλὰ τὸ συνέδριον τῆς ματαιότητος, πληρῶσαν δώρων τὴν δεξιὰν αὐτῶν, κρύπτειν ἐνόμιζον τὴν Ἀνάστασίν σου. ἣν ὁ Κόσμος δοξάζει, ἐλέησον ἡμᾶς.

Χαρᾶς τὰ πάντα πεπλήρωται, τῆς Ἀναστάσεως τὴν πεῖραν εἰληφότα· Μαρία γὰρ ἡ Μαγδαληνὴ ἐπὶ τὸ Μνῆμα ἦλθεν, εὗρεν Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τοῖς ἱματίοις ἐξαστράπτοντα, καὶ λέγοντα· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ' ἐγήγερται, καθὼς εἶπε, προάγων ἐν τῇ Γαλιλαίᾳ.

Ἐν τῷ φωτί σου Δέσποτα, ὀψόμεθα φῶς φιλάνθρωπε. ἀνέστης γὰρ ἐκ τῶν νεκρῶν, σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων δωρούμενος. ἵνα σε πᾶσα Κτίσις δοξολογῇ, τὸν μόνον ἀναμάρτητον, ἐλέησον ἡμᾶς.



Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας Μανούσεια

...Δόξα, καὶ νῦν, ἦχος, δ'.

Ἀνατολίου.

Φωτισθέντες ἀδελφοὶ, τῇ Ἀναστάσει τοῦ Σωτῆρος Χριστοῦ, καὶ φθάσαντες τὸ μέσον τῆς Ἑορτῆς τῆς Δεσποτικῆς, γνησίως φυλάξωμεν τὰς ἐντολὰς τοῦ Θεοῦ· ἵνα ἄξιοι γενώμεθα, καὶ τὴν Ἀνάληψιν ἑορτάσαι, καὶ τῆς παρουσίας τυχεῖν τοῦ Ἁγίου Πνεύματος.

Εἰς τὸν στ. στ. Προσόμοια, ἦχος, β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Νάουσα ἡ πηγὴ, τῆς σῆς σοφίας πόμα, πνευματικὸν πηγάζει, οὗ πίνοντες δογμάτων, ἐνθέων ἐμπιπλώμεθα.

Στ. Μνήσθητι τῆς συναγωγῆς σου.

Τέτρωται τὸ δεινὸν, Ἑβραίων ὄντως γένος, ἀκούοντές σου Λόγε, διδάσκοντος τοῖς ὄχλοις, σωτήρια διδάγματα.

Στ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Ἧκες ὁ πλαστουργὸς, ἐν τῇ Σιὼν καὶ ἔστης, ἐν μέσῳ τοῦ Ναοῦ σου· καὶ τοῖς Λαοῖς ἐδίδως, τὴν χάριν τὴν σωτήριον.

Δόξα, καὶ νῦν, ἦχος, δ'.

Κύριε πρὸ τοῦ ἀχράντου σου Σταυροῦ, τῆς Ἑορτῆς μεσούσης, ἐν τῷ Ἱερῷ ἀνῆλθες, Ἰουδαίοις παρρησίᾳ διδάσκων τὰ Μωσέως, καὶ ἐν νόμῳ διὰ σοῦ νομοθετηθέντα· ἐκπληττόμενοι δὲ Χριστὲ, τῆς σῆς σοφίας τὸ ἄφραστον μυστήριον, τὴν κατὰ σοῦ σκαιωρίαν ἐν ἑαυτοῖς φθόνῳ ἐμελέτων, πῶς οὗτος οἶδε γράμματα μὴ μεμαθηκώς; ἀγνοοῦντες, σὲ τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Κυριακῇ Πέμπτῃ τῆς Σαμαρείτιδος, ὀψὲ Σαββάτῳ ἐν τῷ μικρῷ Ἑσπερινῷ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. δ'. καὶ ψάλλομεν στ. Ἀναστάσιμα, ἦχος, δ'. Τὸν ζωοποιόν σου Σταυρόν. Τοῦ ξύλου τῆς παρακοῆς. Πύλας ᾅδου συνέτριψας Κύριε. Δεῦτε ἀνυμνήσωμεν Λαοί.

Δόξα, ἦχος, πλ. β'.

Παρὰ τὸ φρέαρ τοῦ Ἰακώβ.

Ζήτει πάντα εἰς τὸν μέγαν Ἑσπερινόν.

Καὶ νῦν, Θεοτ. τὸ Δογματικόν, ἦχος, δ'.

Ἀσπόρως συνέλαβες, καὶ ἐκύησας ἀφράστως, τὸν καθελόντα δυνάστας ἀπὸ θρόνων, καὶ ὑψοῦντα ταπεινοὺς, καὶ ἐγείροντα κέρας Χριστῶν αὐτοῦ, τοὺς δοξάζοντας Χριστοῦ τὸν Σταυρὸν, καὶ τὴν ταφὴν, καὶ τὴν ἔνδοξον Ἀνάστασιν. διό σε Θεοτόκε, τὴν πρόξενον τῶν τοσούτων ἀγαθῶν, ἀσιγήτοις ἐν ᾠδαῖς μακαρίζομεν, ὡς πρεσβεύουσαν ἀεὶ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στ. τὸ Ἀναστάσιμ. στ. τῶν στίχων.

Εἶτα τὰ παρόντα στ. Προσόμοια τῆς Ὑπεραγίας Θεοτόκου, ἦχος, δ'.

Ὁ ἐξ ὑψίστου κληθείς.

Στ. Μνησθήσομαι τοῦ ὀνόματός σου.

Ὁ ἐξ Ἀνάρχου Πατρὸς Υἱὸς ἀχρόνως, διὰ συγκατάβασιν καὶ σωτηρίαν βροτῶν, ὁ Θεὸς ἄνθρωπος γέγονεν, ἵνα παράσχῃ, τῷ πρωτοπλάστῳ νῦν τὸν Παράδεισον, τότε καὶ τὴν ἅπασαν φύσιν λυτρώσεται, ἐκ τῆς ἀπάτης τοῦ ὄφεως, καὶ τὴν εἰκόνα, πεσοῦσαν σώσῃ ὡς ἀδιάλλακτος. ὅθεν Μητέρα ἀπειργάσατο, Νυμφοτόκον Ἁγνὴν ὡς Ἀμόλυντον· ἣν ὡς ἄγκυραν πάντες, καὶ λιμένα μακαρίζομεν.

Στ. Ἄκουσον θύγατερ, καὶ ἴδε.

Σωματωθέντα τὸν Κτίστην τῶν ἁπάντων, ἔχεις ἐν τῇ μήτρᾳ σου Θεομακάριστε, ἀναμορφοῦντα τὸν ἄνθρωπον, τὸν πρὶν πεσόντα, τῇ παραβάσει διὰ τοῦ ὄφεως. Θεὸν γὰρ γεγέννηκας, τοῦτον ἀφράστως ἡμῖν, καὶ τῆς φθορᾶς ἠλευθέρωσας, τὴν φύσιν πᾶσαν, παλαιωθεῖσαν διὰ τοῦ τόκου σου. διὸ ὑμνοῦμεν καὶ δοξάζομεν, σοῦ τὴν χάριν Παρθένε ἀνύμφευτε. ἱκετεύειν μὴ παύσῃ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Ἵνα σοῦ πᾶσι τὸ πλῆθος τοῦ ἐλέους, καὶ τῆς ἀγαθότητος ἀνακαλύψῃς ἡμῖν, τὸ ἀδιόριστον πέλαγος, τὰς ἁμαρτίας, τῶν οἰκετῶν σου πάσας ἐξάλειψον. ἔχεις γὰρ Παναμώμε, ὡς Μήτηρ οὖσα Θεοῦ, τὴν ἐξουσίαν τῆς Κτίσεως· καὶ διεξάγεις, πάντα ὡς θέλεις τῇ δυναστείᾳ σου· καὶ γὰρ ἡ χάρις ἡ τοῦ Πνεύματος, τοῦ Ἁγίου σαφῶς ἐνοικοῦσα ἐν σοὶ, συνεργεῖ σοι ἐν πᾶσιν, ἀενάως Παμμακάριστε.

Δόξα, ἦχος, πλ.

Ὡς ὤφθης ἐπὶ γῆς.

Καὶ νῦν. ὁ αὐτός.

Μεσούσης τῆς Ἑορτῆς.

Ζήτει

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας "Μανούσεια"

Ζήτει ἀμφότερα εἰς τὸν Στίχον.

Ἀπολυτίκιον, ἦχος, δ'.

Τὸ φαιδρὸν τῆς Ἀναστάσεως.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'.

Μεσούσης τῆς Ἑορτῆς.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, ἱστῶμεν στίχ. ι. καὶ ψάλλ. τὰ Ἀναστάσιμ. γ'. καὶ Ἀνατολικὸν ἕν. Τῆς Μεσοπεντηκ. γ'. καὶ τῆς Σαμαρείτιδος Ἰδιόμ. γ'. τὰ. Ἀναστάσ. ἦχος, δ'.

Τὸν ζωοποιόν σου Σταυρὸν, ἀπαύστως προσκυνοῦντες Χριστὲ ὁ Θεὸς, τὴν τριήμερόν σου Ἀνάστασιν δοξάζομεν· δι' αὐτῆς γὰρ ἀνεκαίνισας, τὴν καταφθαρεῖσαν τῶν ἀνθρώπων φύσιν Παντοδύναμε. καὶ τὴν εἰς Οὐρανοὺς ἄνοδον καθυπέδειξας ἡμῖν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Τοῦ ξύλου τῆς παρακοῆς, τὸ ἐπιτίμιον ἔλυσας Σωτὴρ, τῷ ξύλῳ τοῦ Σταυροῦ, ἑκουσίως προσηλωθείς· καὶ εἰς ᾅδου κατελθὼν δυνατὲ, τοῦ θανάτου τὰ δεσμὰ ὡς Θεὸς διέρρηξας. διὸ προσκυνοῦντες τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν, ἐν ἀγαλλιάσει βοῶμεν· Παντοδύναμε Κύριε δόξα σοι.

Πύλας ᾅδου συνέτριψας Κύριε, καὶ τῷ σῷ Θανάτῳ, τοῦ θανάτου τὸ βασίλειον ἔλυσας· γένος δὲ τὸ ἀνθρώπινον, ἐκ φθορᾶς ἠλευθέρωσας, ζωὴν καὶ ἀφθαρσίαν τῷ Κόσμῳ δωρησάμενος, καὶ τὸ μέγα ἔλεος.

Ἕτερον τὸ Ἀνατολ. ἦχος, ὁ αὐτός.

Δεῦτε ἀνυμνήσωμεν Λαοὶ, τὴν τοῦ Σωτῆρος τριήμερον ἔγερσιν. δι' ἧς ἐλυτρώθημεν, τῶν τοῦ ᾅδου ἀλύτων δεσμῶν· καὶ ἀφθαρσίαν καὶ ζωὴν, πάντες ἐλάβομεν κράζοντες· ὁ σταυρωθεὶς, καὶ ταφεὶς, καὶ ἀναστὰς, σῶσον ἡμᾶς τῇ Ἀναστάσει σου, μόνε φιλάνθρωπε.

Ἕτερα τὰ. τῆς Μεσοπεντηκοστῆς. ἦχος, ὁ αὐτός.

Κύριε ἀνελθὼν ἐν τῷ Σταυρῷ.

Πάρεστιν ἡ μεσότης ἡμερῶν, τῶν ἐκ σωτηρίου ἀρχομένων ἐγέρσεως. Πεντηκοστῇ δὲ τῇ θείᾳ σφραγιζομένη, καὶ λάμπει τὰς λαμπρότητας, ἀμφοτέρωθεν ἔχουσα· καὶ ἑνοῦσα τὰς δύω, καὶ πάρεστι τὴν δόξαν προφαίνουσα, τῆς Δεσποτικῆς Ἀναλήψεως σεμνύνεται.

Ἤκουσε καὶ εὐφράνθη ἡ Σιὼν, εὐαγγελισθείσης τῆς Χριστοῦ Ἀναστάσεως· οἱ δὲ πιστοὶ αὐτῆς γόνοι ἠγαλλιάσαντο, τοῦτον θεασάμενοι, καὶ ἐκπλύνοντα Πνεύματι, ῥύπον Χριστοκτονίας. εὐτρεπίζεται πανηγυρίζουσα, τὴν τῶν ἑκατέρων εὐφρόσυνον μεσότητα.

Ἤγγικεν ἡ τοῦ θείου δαψιλὴς, χύσις ἐπὶ πάντας, ὥσπερ γέγραπται Πνεύματος. ἡ προθεσμία κηρύττει ἡμισαθεῖσα, τῆς μετὰ Χριστοῦ θάνατον, καὶ ταφὴν καὶ Ἀνάστασιν, παρ' αὐτοῦ δεδομένης, ἀψευδοῦς Μαθηταῖς ὑποσχέσεως, τὴν τοῦ Παρακλήτου δηλούσης ἐπιφάνειαν.

Καὶ τῆς Σαμαρείτιδος Ἰδιόμελ. γ'. ἦχος, α'.

Ἐπὶ τὴν πηγὴν ἐπέστης, ἡ πηγὴ τῶν θαυμάτων, ἐν τῇ ἕκτῃ ὥρᾳ τῆς Εὔας ζωγρῆσαι καρπόν· ἡ γὰρ Εὔα ἐν ταύτῃ ἐξελήλυθεν ἐκ τοῦ Παραδείσου, ἀπάτῃ τοῦ ὄφεως. ἤγγικε γὰρ ἡ Σαμαρεῖτις ἀντλῆσαι ὕδωρ. ἣν ἰδὼν ἔφη ὁ Σωτήρ· δός μοι ὕδωρ πιεῖν, κἀγὼ ὕδατος ἀλλομένου ἐμπλήσω σε, καὶ εἰς τὴν Πόλιν δραμοῦσα ἡ σώφρων, τοῖς ὄχλοις ἀνήγγειλεν εὐθύς· δεῦτε ἴδετε Χριστὸν τὸν Κύριον, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν. Ἦχος, β'.

Ἐπὶ τὸ φρέαρ, ὡς ἦλθεν ὁ Κύριος, ἡ Σαμαρεῖτις ἠρώτα τὸν εὔσπλαγχνον· παράσχου μοι τὸ ὕδωρ τῆς Πίστεως, καὶ λήψομαι τῆς κολυμβήθρας τὰ νάματα, ἀγαλλίασιν, καὶ λύτρωσιν, ζωοδότα Κύριε δόξα σοι. Ἦχος, ὁ αὐτός.

Ὁ Συνάναρχος καὶ συναΐδιος Υἱὸς καὶ Λόγος τοῦ Πατρὸς, ἐπὶ τὴν πηγὴν ἐπέστη, ἡ πηγὴ τῶν ἰαμάτων. καὶ γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ παραγέγονεν· ἣν ἰδὼν ἔφη ὁ Σωτήρ· δός μοι ὕδωρ πιεῖν, καὶ ἀπελθοῦσα φώνησόν σου τὸν ἄνδρα. ἡ δὲ ὡς ἀνθρώπῳ διαλεγομένη, καὶ οὐ Θεῷ, λαθεῖν σπουδάζουσα ἔλεγεν· οὐκ ἔχω ἄνδρα. καὶ ὁ Διδάσκαλος πρὸς αὐτήν· ἀληθῶς εἶπας, οὐκ ἔχω ἄνδρα. πέντε γὰρ ἔσχες, καὶ νῦν ὃν ἔχεις, οὐκ ἔστι σου ἀνήρ. ἡ δὲ ἐπὶ τῷ ῥήματι ἐκπλαγεῖσα, καὶ εἰς τὴν Πόλιν δραμοῦσα, τοῖς ὄχλοις ἐπεβόα λέγουσα· δεῦτε ἴδετε Χριστὸν, ὃς δωρεῖται τῷ Κόσμῳ τὸ μέγα ἔλεος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Διαδικτυακή Βιβλιοθήκη Σιατίστης

Δόξα, ἦχος, πλ. β'.

Παρὰ τὸ φρέαρ τοῦ Ἰακὼβ, εὑρὼν ὁ Ἰησοῦς τὴν Σαμαρείτιδα, αἰτεῖ ὕδωρ παρ' αὐτῆς, ὁ νέφεσι καλύπτων τὴν γῆν. ὢ τοῦ θαύματος. ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, πόρνῃ γυναικὶ διελέγετο· ὕδωρ αἰτῶν, ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας· ὕδωρ ζητῶν, ὁ πηγὰς καὶ λίμνας ὑδάτων ἐκχέων, θέλων ἑλκύσαι ὄντως αὐτὴν, τὴν θηρωμένην ὑπὸ τοῦ πολεμήτορος ἐχθροῦ· καὶ ποτίσασθαι ὕδωρ ζῶν, τὴν φλεγομένην ἐν τοῖς ἀτοπήμασι δεινῶς, ὡς μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Καὶ νῦν, ἦχος, δ'.

Ὁ διὰ σὲ Θεοπάτωρ Προφήτης Δαβὶδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖά σοι ποιήσαντι· παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου. σὲ γὰρ Μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεός· ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρὼν, πρόβατον τοῖς ὤμοις ἀναλαβὼν, τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι, ταῖς Οὐρανίαις συνάψῃ Δυνάμεσι. καὶ σώσῃ Θεοτόκε τὸν Κόσμον, Χριστὸς ὁ ἔχων τὸ μέγα καὶ πλούσιον ἔλεος.

Εἰς τὴν Λιτὴν, λέγομεν τὸ στιχηρὸν τοῦ Ἁγίου τῆς Μονῆς, ὡς ἔθος.

Δόξα, καὶ νῦν, ἦχος, γ'.

Ἀγαλλιάσθω σήμερον φαιδρῶς, ὁ Οὐρανὸς καὶ ἡ γῆ, ὅτι Χριστὸς πεφανέρωται σαρκούμενος ὡς ἄνθρωπος, ἵνα τὸν Ἀδὰμ ἐξάρῃ ἐκ κατάρας παγγενῆ. καὶ θαυμαστοῦται θαύμασιν, ἐν Σαμαρείᾳ προσαφικόμενος. γυναικὶ δὲ παρέστη, ὕδωρ ζητῶν, ὁ νεφέλαις ὕδασι περιβαλλόμενος. διὸ πάντες οἱ Πιστοὶ προσκυνήσωμεν, τὸν δι' ἡμᾶς ἑκουσίως πτωχεύσαντα εὐσπλάγχνῳ βουλῇ.

Εἰς τὸν στ. τὰ Ἀναστάσιμα τῆς Ὀκτωήχου, ἦχος, δ'.

Κύριε ἀνελθὼν ἐν τῷ Σταυρῷ, τὴν προγονικὴν ἡμῶν κατάραν ἐξήλειψας, καὶ κατελθὼν ἐν τῷ ᾅδῃ, τοὺς ἀπ' αἰῶνος δεσμίους ἠλευθέρωσας, ἀφθαρσίαν δωρούμενος τῶν ἀνθρώπων τῷ γένει. διὰ τοῦτο ὑμνοῦντες δοξάζομεν, τὴν ζωοποιόν σου ἔγερσιν.

Ἕτερα, κατ' Ἀλφάβητον.

Κρεμάμενος ἐπὶ ξύλου μόνε δυνατὲ, πᾶσαν Κτίσιν ἐσάλευσας. τεθεὶς ἐν τάφῳ δὲ, τοὺς κατοικοῦντας ἐν τάφοις ἀνέστησας, ἀφθαρσίαν καὶ ζωὴν δωρούμενος, τῷ γένει τῶν ἀνθρώπων. διὸ ὑμνοῦντες δοξάζομεν, τὴν τριήμερόν σου ἔγερσιν.

Λαὸς παράνομος Χριστὲ, σὲ προδοὺς τῷ Πιλάτῳ, σταυρωθῆναι κατεδίκασεν, ἀγνώμων περὶ τὸν εὐεργέτην φανείς. ἀλλ' ἑκὼν ὑπέμεινας ταφὴν, αὐτεξουσίως ἀνέστης τριήμερος, ὡς Θεὸς δωρούμενος ἡμῖν, ἀτελεύτητον ζωὴν, καὶ τὸ μέγα ἔλεος.

Μετὰ δακρύων γυναῖκες καταλαβοῦσαι τὸ Μνῆμα, σὲ ἐπεζήτησαν. μὴ εὑροῦσαι δὲ ὀλοφυρόμεναι μετὰ κλαυθμοῦ, βοῶσαι ἔλεγον· οἴμοι Σωτὴρ ἡμῶν, Βασιλεῦ τῶν ἁπάντων, πῶς ἐκλάπης; ποῖος δὲ τόπος κατέχει τὸ ζωηφόρον Σῶμά σου; Ἄγγελος δὲ πρὸς αὐτὰς ἀπεκρίνατο. μὴ κλαίετε φησὶν, ἀλλ' ἀπελθοῦσαι κηρύξατε, ὅτι ἀνέστη ὁ Κύριος, παρέχων ἡμῖν ἀγαλλίασιν, ὡς μόνος εὔσπλαγχνος.

Δόξα, ἦχος, πλ. β'.

Ὡς ὤφθης ἐπὶ γῆς Χριστὲ ὁ Θεὸς, δι' ἄφατον οἰκονομίαν, ἀκούσασα ἡ Σαμαρεῖτις τοῦ λόγου σου τοῦ φιλανθρώπου, κατέλιπε τὸ ἄντλημα ἐπὶ τὸ φρέαρ, καὶ ἔδραμε λέγουσα τοῖς ἐν τῇ Πόλει· δεῦτε ἴδετε καρδιογνώστην. μήτι οὗτος ὑπάρχει ὁ προσδοκώμενος Χριστός; ὁ ἔχων τὸ μέγα ἔλεος.

Καὶ νῦν, ὁ αὐτός.

Μεσούσης τῆς Ἑορτῆς, διδάσκοντός σου Σωτὴρ, ἔλεγον οἱ Ἰουδαῖοι· πῶς οὗτος οἶδε γράμματα, μὴ μεμαθηκώς; ἀγνοοῦντες, ὅτι σὺ εἶ ἡ σοφία, ἡ κατασκευάσασα τὸν Κόσμον, δόξα σοι.

Ἀπολυτίκιον, Ἀναστάσιμον. ἦχος, δ'.

Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι, αἱ τοῦ Κυρίου μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀποῤῥίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεὸς, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Δόξα, τὸ αὐτό.

Καὶ νῦν τῆς Ἑορτῆς. Ἦχος. πλ. δ'.

Μεσούσης τῆς Ἑορτῆς, διψῶσάν μου τὴν ψυχὴν, εὐσεβείας πότισον νάματα, ὅτι πᾶσι Σωτὴρ ἐβόησας· ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω. ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεὸς δόξα σοι.

Κανὼν εἰς τὴν Ἁγίαν καὶ Ζωαρχικὴν Τριάδα. Οὗ ἡ ἀκροστιχίς.

Τέταρτος ὕμνος τῷ Θεῷ, Μητροφάνους.

Ὠδὴ α'. Ἦχος δ'. Θαλάσσης.

Τριάδα Θεαρχικὴν δοξάσωμεν, ταῖς ὑποστάσεσι, μοναδικὴν δὲ φύσιν τῶν τριῶν, συναΐδιον σύνθρονον· ἣν δυσωποῦντες λέγομεν· σῶσον τοὺς πίστει σε δοξάζοντας.

Ἐχρίσθης ὑπὸ Πατρὸς τῷ Πνεύματι, ἀγαλλιάσεως, θεουργικῷ ἐλαίῳ ὡς Υἱὸς, καὶ βροτοὺς ἐχρημάτισας, καὶ τῆς μιᾶς Θεότητος, τὸ Τρισυπόστατον ἐδίδαξας.

Τὸ κάλλος τῆς ἀπροσίτου δόξης σου, Μονὰς τρισήλιε, τὰ Σεραφὶμ μὴ φέροντα ὁρᾶν, συγκαλύπτονται πτέρυξι, καὶ Τρισαγίοις ᾄσμασιν, ἀκαταπαύστως σε δοξάζουσιν.

Θεοτοκίον.

Ἀφράστως τὸν ποιητὴν γεγέννηκας, τῶν ὅλων Πάναγνε, τῆς παλαιᾶς λυτρούμενον ἀρᾶς, τοὺς βροτοὺς καὶ θανάτου φθορᾶς, καὶ διὰ σοῦ ἐπέγνωμεν, ἕνα Θεὸν τὸν Τρισυπόστατον.

Ὠδὴ γ'. Οὐκ ἐν σοφίᾳ.

Ῥώμην ἐξ ὕψους, τοῖς Ἁγίοις τὸ πρὶν Ἀποστόλοις σου, ὡς ἀπέστειλας Χριστὲ, παρὰ Πατρὸς τὸν Παράκλητον, τὴν μίαν ἐνέφηνας φύσιν τρισήλιον.

Τῷ Πατριάρχῃ, Ἀβραὰμ ὅτε ὤφθης ἐν σχήματι, ἀνδρικῷ τριττὴ Μονὰς, τὸ ἀπαράλλακτον ἔδειξας, τῆς σῆς ἀγαθότητος, καὶ Κυριότητος.

Ὁ χαρακτῆρσιν, ἐν τρισὶν εἷς Θεὸς πιστούμενος, ἀπερίγραπτος σαφῶς, ἀπερινόητος ἅπασι, ῥῦσαι τὰς ψυχὰς ἡμῶν, ἐκ πάσης θλίψεως.

Θεοτοκίον.

Στοιχειωθέντες, τοῦ Υἱοῦ σου σοφαῖς εἰσηγήσεσιν, σεπτὴν καὶ τρίλαμπη, τὴν Θεαρχίαν δοξάζομεν, καὶ σὲ μακαρίζομεν τὴν Ἀειπάρθενον.

Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τρισήλιε ἄκτιστε καὶ ὁμούσιε, Μονὰς Τρισυπόστατε, καὶ ἀκατάληπτε, τοὺς δούλους σου οἴκτειρον, σῶσον ἐκ τῶν κινδύνων, ὡς Θεὸς ἐλεήμων. σὲ γὰρ Κύριε μόνον, λυτρωτὴν καὶ Δεσπότην, κεκτήμεθα βοῶντες, γενοῦ ἡμῖν ἵλεως.

Δόξα. καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ποικίλαις περιστάσεσι, καὶ συμφοραῖς τῶν δεινῶν, Παρθένε κυκλούμενοι, καὶ πρὸς ἀπόγνωσιν, ἀεὶ περιπίπτοντες. μόνην σε σωτηρίαν, καὶ ἐλπίδα καὶ τεῖχος, ἔχομεν Θεοτόκε, καὶ πρὸς σὲ κατὰ χρέος, ἐν πίστει καὶ νῦν αἰτοῦμεν, σῶσον τοὺς δούλους σου.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ὑπερούσιον Τριάδα, ἐν Μονάδι Θεότητος, καὶ Κυριαρχίαν, σὺν τοῖς Σεραφὶμ σε δοξάζομεν, ὡς ἀδιαίρετον φύσει, ὡς ἀσύγχυτον, ὡς ἰσόρροπον, δόξῃ Θεὲ ἀκατάληπτε.

Μ Τρισὶν οὖσαν ἀφράστως, τοῖς προσώποις Θεότητα, καὶ ταυτιζομένην, ἅμα τῇ μιᾷ Κυριότητι, ἀπεριόριστον μόνην, ἀπερίγραπτον, ἀνυμνοῦμέν σε, τὸν ποιητὴν πάσης Κτίσεως.

Νοῦς ὁ ἄναρχος τὸν Λόγον, ἀπορρήτως γεγέννηκε, καὶ τὸ Θεῖον Πνεῦμα, τὸ ἰσοσθενὲς ἐκπεπόρευκε. καὶ διὰ τοῦτο Τριάδα ὁμοούσιον, τὸν Δεσπότην τῶν ὅλων Θεὸν καταγγέλλομεν. Θεοτοκίον.

Ὀπτανόμενος τοῖς πάλαι, τυπικῶς προκατήγγειλε, τὴν ἐκ σοῦ Παρθένε, σάρκωσιν ὁ Λόγος· ἀλλ' ὕστερον, ἐπιφανεὶς τοῖς ἀνθρώποις κατ' ἀλήθειαν, Τρισυπόστατον μίαν Ἀρχὴν ἐφανέρωσεν.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Συνέντες ἐκ πίστεως, τῆς παντουργοῦ Θεότητος, μίαν μὲν ἀπρόσιτον οὐσίαν, τρεῖς δ' ὑποστάσεις, ζωαρχικὰς συμφυεῖς, ὑμνοῦμεν Πατέρα, καὶ Υἱὸν, καὶ Πνεῦμα τὸ Ἅγιον, συναΐδιον ὕπαρξιν.

Τὸ σέλας τρισήλιε, τῆς οὐσιώδους αἴγλης σου, λάμψον τριαία μοι Θεότης, ἄκτιστε φύσις, καὶ φωτουργαία πηγὴ, πάσης φωτοδότιδος αὐγῆς, ἵνα κατοπτρίζωμαι, τὸ σὸν κάλλος τὸ ἄρρητον.

Ὡς μόνον ὑπάρχοντα, δημιουργὸν τοῦ σύμπαντος, καὶ συνεκτικὸν καὶ κυβερ-

νή-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσειος"

μήτην, πάνσοφον ὄντα, καὶ τῆς ζωῆς χορηγόν, ἔνθεν καὶ βοῶμέν σοι πιστῶς, Δέσποτα τρισήλιε, τοὺς ὑμνοῦντάς σε φρούρησον.

Θεοτοκίον.

Θεῶσαι βουλόμενος, τὸν πρὶν φθαρέντα ἄνθρωπον, ὁ δι' ἀγαθότητα Παρθένε, πλάσας καὶ δείξας εἰκόνα Θείας μορφῆς, ἄνθρωπος ἐγένετο ἐκ σοῦ, καὶ μίαν τρισάριθμον Θεαρχίαν κατήγγειλεν.

Ὠδὴ ϛ'. Ἐβόησε προτυπῶν.

Ἐνέφηνεν, ὁ Πατὴρ ἐκλαλῶν τὴν Υἱότητα, καὶ τὸ Πνεῦμα, τῷ Χριστῷ βαπτισθέντι ὁρώμενον. διὰ τοῦτο μίαν, καὶ τριττὴν Θεαρχίαν δοξάζομεν.

Ὡς εἶδέ σε, Τρισαγίαις φωναῖς ἀνυμνούμενον, Ἡσαΐας, ὑψηλοῦ ἐπὶ θρόνου καθήμενον, τὴν τριττὴν ἐπέγνω, τῆς μιᾶς Θεαρχίας ὑπόστασιν.

Μετάρσιον, ὑψηλὲ Βασιλεῦ τρισυπόστατε, τὴν καρδίαν, καὶ ἡμῶν τῶν σῶν δούλων ἀνάδειξον, ἵνα τῆς σῆς δόξης, θεωρῇ νοερῶς τὴν φαιδρότητα.

Θεοτοκίον.

Ἠξίωσε, μορφωθῆναι σαφῶς τὸ ἡμέτερον, ἐκ Παρθένου, ὁ Υἱὸς τοῦ Θεοῦ ὡς φιλάνθρωπος, καὶ τῆς Θείας δόξης, κοινωνοὺς τοὺς ἀνθρώπους ἐποίησε.

Κάθισμα, Ἦχος δ'.

Ταχὺ προκατάλαβε πρίν.

Πατέρα ἀγέννητον, τὸν δὲ Υἱὸν γεννητόν, καὶ Πνεῦμα τὸ Ἅγιον, ἐκπορευτὸν ἐκ Πατρός, φρονοῦντες κηρύττομεν, ἄναρχον Βασιλείαν, καὶ Θεότητα μίαν, ἥνπερ δοξολογοῦντες, ὁμοφρόνως βοῶμεν· Τριὰς ὁμοούσιε, σῶσον ἡμᾶς ὁ Θεός.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τὸν χρόνων ἐπέκεινα, καὶ πρὸ αἰώνων Θεόν, ἐν χρόνῳ ἐκύησας, ὑπερφυῶς ἐν σαρκί, Θεάνθρωπον ἄχραντε. ὅθεν σε Θεοτόκον, ἀληθῶς καὶ κυρίως, πάντες ὁμολογοῦντες, ἐκτενῶς σοι βοῶμεν· τῆς δόξης τῆς αἰωνίου πάντας ἀξίωσον.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ.

Τὰς τεταγμένας, Ἐπουρανίους φύσεις καὶ νοερὰς, τάξεις ὀρθοδόξως πάντες οἱ γηγενεῖς, ἐκμιμούμενοι δοξάζομεν, μίαν Θεότητα, ἐν τρισὶν ἰσουργοῖς ὑποστάσεσιν.

Δίς.

Ῥήσεις Ἁγίων, Προφητῶν σε πάλαι συμβολικῶς, ἕνα τῶν αἰώνων πάντων δημιουργόν, προεδήλωσαν ἀνέκφραστον, Θεὸν καὶ Κύριον, Θεαρχικαῖς ἐν τρισὶν ὑποστάσεσιν.

Ὁ κατ' οὐσίαν, ἀθεώρητος Λόγος καὶ παντουργός, ὤφθης τοῖς ἀνθρώποις ἄνθρωπος, ἐξ ἀγνῆς Θεομήτορος, τὸν ἄνθρωπον ἀνακαλούμενος, πρὸς μετουσίαν τῆς σῆς Θεότητος.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας.

Φῶς μοναδικὸν καὶ τριλαμπές, οὐσία ἄναρχε, κάλλος ἀμήχανον, ἐν τῇ καρδίᾳ μου οἴκησον, καὶ ναὸν τῆς σῆς Θεότητος, φωτοειδῆ καὶ καθαρόν, δεῖξόν με κράζοντα· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Δίς.

Τῶν ποικίλων με παθῶν, Τριὰς ἀμέριστε, μονὰς ἀσύγχυτε, καὶ τῆς ζοφώσεως λύτρωσαι, τῶν πταισμάτων καὶ καταύγασον, μαρμαρυγαῖς σου θεουργαῖς, ἵνα φαντάζωμαι, τὴν σὴν δόξαν, καὶ ἀνυμνῶ σε τῆς δόξης τὸν Κύριον.

Θεοτοκίον.

Νοῦς μὲν ὁ ἀγέννητος Πατήρ, καὶ Λόγος σύμμορφος, καὶ Πνεῦμα σύνθρονον, οὐσία δύναμις ὕπαρξις, ὑπερούσιε ἀνέκφραστε, μεγαλουργὲ Τριὰς μονάς, φρούρει τὴν ποίμνην σου, ταῖς πρεσβείαις, τῆς Θεοτόκου ὡς φύσει φιλάνθρωπος.

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν.

Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων χάσματα ἐν λάκκῳ ἔφραξε, πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταὶ Παῖδες κραυγάζοντες· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'. Ἅπας γηγενής.

Ὅλην μου πρὸς σέ, κινῶ τὴν καρδίαν μου καὶ τὴν διάνοιαν, καὶ τὰς διαθέσεις δέ, ψυχῆς ἁπάσας, καὶ τὰς τοῦ σώματος, τὸν πλαστουργὸν καὶ ῥύστην μου, Μονάρχα Τρίφωτε, καὶ βοῶ σοι· σῶσόν με τὸν δοῦλόν σου, πειρασμῶν ἐκ παντοίων καὶ θλίψεων. Δίς.

Ὕψωσον ἡμῶν, τὸν νοῦν καὶ διάνοιαν πρὸς σὲ τὸν Ὕψιστον, φώτισον σαῖς λάμψεσιν, ἀχράντοις Πάτερ, Λόγε, Παράκλητε, ὁ φῶς οἰκῶν ἀπρόσιτον, τῆς δόξης



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἥλιε, φωτοκράτορ, πάντοτε δοξάζειν σε, τὸν Μονάρχην Θεὸν καὶ τρισήλιον.

Θεοτοκίον.

Ὅσον τοὺς εἰς σέ, πιστεύοντας Κύριε, καὶ καταγγέλλοντας, ἄναρχον ἀΐδιον, οὐσίαν μίαν, τρία δὲ πρόσωπα, Θεαρχικὰ καὶ σύμμορφα, σῆς Κυριότητος, καὶ τῆς θείας, δόξης σου ἀξίωσον, ταῖς λιταῖς τῆς Ἁγνῆς Θεομήτορος.

Εἶτα τό, Ἄξιόν ἐστιν. Καὶ τὰ λοιπά.

Εἰς τὸν Ὄρθρον, εἰς τό, Θεὸς Κύριος. Τροπάριον τὸ Ἀναστάσιμον, δίς. Καὶ τῆς Ἑορτῆς τό, Μεσούσης τῆς Ἑορτῆς ἅπαξ. Εἶτα ἡ συνήθης στιχολογία.

Μετὰ δὲ τὴν α΄. στιχολογίαν Καθίσματα Ἀναστάσιμα, ἦχος, δ΄.

Τὴν Ἀναβλέψασαι τοῦ τάφου τὴν εἴσοδον, καὶ τὴν φλόγα τοῦ Ἀγγέλου μὴ φέρουσαι, αἱ Μυροφόροι σὺν τρόμῳ ἐξίσταντο λέγουσαι· ἆρα ἐκλάπη ὁ τῷ λῃστῇ ἀνοίξας Παράδεισον; ἆρα ἠγέρθη ὁ καὶ πρὸ πάθους κηρύξας τὴν ἔγερσιν; ἀληθῶς ἀνέστη Χριστὸς ὁ Θεός, τοῖς ἐν ᾅδῃ παρέχων ζωὴν καὶ Ἀνάστασιν.

Δόξα. Ταχὺ προκατάλαβε.

Ἀνέστης ὡς ἀθάνατος, ἀπὸ τοῦ τάφου Σωτήρ, συνήγειρας τὸν Κόσμον σου, τῇ δυναστείᾳ τῇ σῇ, Χριστὲ ὁ Θεὸς ἡμῶν. ἔθραυσας ἐν ἰσχύϊ, τοῦ θανάτου τὸ κράτος. ἔδειξας Ἐλεῆμον, τὴν ἀνάστασιν πᾶσι. διό σε καὶ δοξάζομεν μόνε φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται. Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὴν β΄. στιχολογίαν κάθισμα. ἦχος, δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἐκ τῶν ἄνω κατελθών, τῶν ὑψωμάτων Γαβριήλ, καὶ τῇ πέτρᾳ προσελθών, ἔνθα ἡ πέτρα τῆς ζωῆς, λαμπειμονῶν ἀνεκραύγαζε ταῖς κλαιούσαις. παύσασθε ὑμεῖς, τῆς θρηνῴδους κραυγῆς, ἔχουσαι ἀεί, τὸ ἀσυμπάθητον· ὃν γὰρ ζητεῖτε κλαίουσαι, θαρσεῖτε, ἐγηγερμένον προσκυνήσατε, χαρὰν λαβοῦσαι· θαρσεῖτε τοίνυν, θαρσεῖ οὖν καὶ ἡ Εὔα.

Δόξα. Ὅμοιον.

Ἑκουσίᾳ σου βουλῇ, Σταυρὸν ὑπέμεινας Σωτήρ, καὶ ἐν Μνήματι καινῷ, ἄνθρωποι ἔθεντο θνητοί, τὸν διὰ λόγου τὰ πέρατα συστησάμενον. ὅθεν δεσμευθείς, ὁ ἀλλότριος, θάνατος δεινῶς ἐσκυλεύετο, καὶ οἱ ἐν ᾅδου ἅπαντες ἐκραύγαζον, τῇ φωτοφόρῳ ἐγέρσει σου. Χριστὸς ἠγέρθη, ὁ ζωοδότης, μένων εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον. Αὐτόμελον.

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε, βάτον ἐν πυρί, ἀκατάφλεκτον, ῥάβδον Ἀαρών, τὴν βλαστήσασαν. καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ, τοῖς Ἱερεῦσιν ἐκραύγαζε· Παρθένος τίκτει, καὶ μετὰ τόκον πάλιν μένει Παρθένος.

Μετὰ τὸν Ἄμωμον, λέγονται τὰ Ἀναστάσιμα Εὐλογητάρια. ἦχος, πλ. α΄. Τῶν Ἀγγέλων ὁ δῆμος. Καὶ τὰ ἕτερα.

Καὶ εὐθὺς ἡ Ὑπακοή. ἦχος, δ΄.

Τὰ τῆς σῆς παραδόξου ἐγέρσεως, προδραμοῦσαι αἱ Μυροφόροι, τοῖς Ἀποστόλοις ἐκήρυττον Χριστέ, ὅτι ἀνέστης ὡς Θεός, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Οἱ Ἀναβαθμοὶ τοῦ ἤχου.

Ἀντίφωνον, Α΄.

Ἐκ νεότητός μου πολλά, πολεμεῖ με πάθη. ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι.

Δόξα.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ Τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν, τὸ αὐτό. Ἀντίφωνον, Β΄.

Ἐκέκραξά σοι Κύριε, θερμῶς ἐκ βάθους ψυχῆς μου. κἀμοὶ γενέσθω, πρὸς ὑπακοὴν τὰ θεῖά σου ὦτα.

Ἐπὶ τὸν Κύριον ἐλπίδα πᾶς τις κεκτημένος, ὑψηλότερός ἐστι πάντων τῶν λυπούντων.

Δόξα.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα ἀρδεύοντα, ἅπασαν τὴν Κτίσιν πρὸς ζωογονίαν.



Δημόσια Κεντρική Βιβλιοθήκη

Καὶ νῦν, τὸ αὐτό. Ἀντίφωνον Γ΄.

Ἡ Καρδία μου πρὸς σὲ Λόγε ὑψωθήτω, καὶ οὐδὲν θέλξει με τῶν Κόσμου τερπνῶν, πρὸς χαμαιζηλίαν.

Ἐπὶ τὴν Μητέρα αὐτοῦ, ὡς ἔχει τις στοργήν, ἐπὶ τῷ Κυρίῳ, θερμότερον φίλτρον χρεωστοῦμεν. Δόξα.

Τῷ Πνεύματι, θεογνωσίας πλοῦτος, θεωρίας καὶ σοφίας· πάντα γὰρ ἐν τούτῳ, τὰ πατρῷα δόγματα, ὁ Λόγος ἐκκαλύπτει.

Καὶ νῦν, τὸ αὐτό.

Προκείμενον, ἦχος, δ΄.

Ἀνάστα Κύριε βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου.

Στ. Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν.

Τὸ, Πᾶσα πνοή,

Εὐαγγέλιον κατὰ Ἰωάννην, Ἑωθ. ζ΄.

Τῇ μιᾷ τῶν Σαββάτων.

Τὸ, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν΄. Καὶ τὰ λοιπά. Οἱ Κανόνες, ὁ Ἀναστάσιμος, μετὰ τῶν Εἱρ. εἰς ς΄. τῆς Μεσοπεντηκοστῆς, εἰς δ΄. Καὶ τῆς Σαμαρείτιδος, εἰς ς΄.

Τῆς Λαμπρᾶς.

Ὠδὴ, α΄. ἦχος, α΄. Ὁ Εἱρμός.

Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν Λαοί, Πάσχα Κυρίου Πάσχα. ἐκ γὰρ θανάτου πρὸς ζωήν, καὶ ἐκ γῆς πρὸς Οὐρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

Καθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψόμεθα τῷ ἀπροσίτῳ φωτὶ τῆς Ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καὶ χαίρετε φάσκοντα, τρανῶς ἀκουσώμεθα, ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω. ἑορταζέτω δὲ Κόσμος, ὁρατός τε ἅπας καὶ ἀόρατος, Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

Τῆς Θεοτόκου. Ὅμοια.

Θανατώσεως τὸν ὅρον ἀνεμόχλευσας, τὴν αἰωνίαν ζωήν, κυοφορήσασα Χριστόν, τὸν ἐκ τάφου ἀναλάμψαντα σήμερον, Παρθένε Παναμώμε, καὶ τὸν Κόσμον φωτίσαντα.

Ἀναστάντα κατιδοῦσα σὸν Υἱὸν καὶ Θεόν, χαίροις σὺν Ἀποστόλοις, Θεοχαρίτωτε Ἁγνή, καὶ τὸ χαῖρε πρωτουργῶς, ὡς πάντων χαρᾶς, αἰτία εἰσδέδεξαι, Θεομῆτορ Παναμώμε.

Ἕτερος Κανὼν τῆς Μεσοπεντηκοστῆς.

Ποίημα Ἀνδρέου Κρήτης.

Ὠδὴ, α΄. ἦχος, πλ. δ΄. Θάλασσαν ἔπηξας·

Ἔθνη κροτήσατε, Ἑβραῖοι θρηνήσατε, ὁ ζωοδότης γὰρ Χριστός, τὰ δεσμὰ διέρρηξε τοῦ ᾅδου. καὶ νεκροὺς ἀνέστησε, καὶ νόσους ἐθεράπευσε τῷ λόγῳ. οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ δοὺς ζωὴν τοῖς πιστεύουσιν ἐν τῷ ὀνόματι αὐτοῦ.

Θαῦμα παρέδειξας, τὸ ὕδωρ εἰς οἶνον μετελθόν, ὁ ἐν Αἰγύπτῳ ποταμούς, μεταστρέψας Δέσποτα εἰς αἷμα, καὶ νεκροὺς ἀνέστησας, σημεῖον τοῦτο δεύτερον τελέσας. δόξα Σωτὴρ τῇ ἀφάτῳ σου βουλῇ· δόξα τῇ κενώσει σου, δι᾽ ἧς ἐκαίνισας ἡμᾶς.

Ῥεῖθρον ἀέναον ὑπάρχων Κύριε, ζωῆς ἀληθινῆς, σὺ εἶ ἡ Ἀνάστασις ἡμῶν, θέλων ἐκοπίασας Σωτήρ μου· καὶ ἑκὼν ἐδίψησας, τοῖς νόμοις τῆς φύσεως ὑπείκων. καὶ εἰς Σιχὰρ ἀφικόμενος, σαρκὶ τὸ ὕδωρ ἐζήτησας, τῇ Σαμαρείτιδι πιεῖν. Θεοτοκίον.

Ὃν ἐχώρησας τὸν Κτίστην τὸν ἴδιον, Θεογεννήτορ ἐν γαστρί, καὶ σαρκὶ ἐκύησας ἀφράστως. καὶ Παρθένος ἔμεινας, μηδὲν τῆς Παρθενίας λυμανθείσης. τοῦτον Ἁγνὴ ὡς Υἱόν σου καὶ Θεόν, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῆς ποίμνης σου ἀεί.

Ἕτερος Κανὼν τῆς Σαμαρείτιδος.

Ποίημα Ἰωσήφ.

Ὠδὴ, α΄. ἦχος, δ΄. Ὁ Εἱρμός.

Ὁ Πατάξας Αἴγυπτον, καὶ Φαραὼ τὸν τύραννον, βυθίσας ἐν θαλάσσῃ, Λαὸν διέσωσας δουλείας, Μωσαϊκῶς ᾄδοντα, ᾠδὴν ἐπινίκιον ὅτι δεδόξασαι.

Ταφεὶς ἐγήγερται, καὶ ἐν αὐτῷ συνήγειρε τὸ γένος τῶν ἀνθρώπων. ἀγαλλιάσθω πᾶσα Κτίσις, καὶ νοηταὶ σήμερον, ῥανάτωσαν νεφέλαι, δικαιοσύνην σαφῶς.

Σταυρὸν ἑκούσιον, σαρκὶ καταδεξάμενος, τριήμερος ἀνέστης ἐκ τῶν νεκρῶν, ᾅδου ταμεῖα, ζωαρχικὲ Κύριε, κενώσας καὶ ἐξάξας, πεπεδημένας ψυχάς.

Τῇ μορφῇ ἀστράπτοντα, αἱ Μυροφόροι βλέψασαι, τὸν Ἄγγελον ἐν φόβῳ, ἐκ τοῦ Μνημείου ὑπεχώρουν. τὴν τοῦ Χριστοῦ



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας

δὲ ἔγερσιν μαθοῦσαι, καὶ μηνύουσαι ἀπέδωσαν τοῖς Μαθηταῖς.

Ὁ Στεγάζων ἐν ὕδασι, τὰ ὑπερῷα Κύριε, ὕδωρ ζωῆς ὑπάρχων, τῇ Σαμαρείτιδι αἰτούσῃ, τὰ σὰ σεπτὰ νάματα παρέσχες, ἐπιγνούσῃ τὴν εὐσπλαγχνίαν σου.

Δόξα.

Ὦ Τριὰς τοὺς πίστει σε, εἰλικρινεῖ δοξάζοντας, Πάτερ, Υἱὲ, καὶ Πνεῦμα, ὡς ποιητὴς τῶν ὅλων σῶζε, καὶ ἱλασμὸν δώρησαι, ἡμῖν ἁμαρτημάτων, ὡς ὑπεράγαθος.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε Θρόνε πύρινε, χαῖρε λυχνία πάγχρυσε, χαῖρε φωτὸς νεφέλη, χαῖρε παλάτιον τοῦ Λόγου, καὶ νοητὴ Τράπεζα, Ἄρτον ζωῆς, ἀξίως Χριστὸν βαστάσασα.

Καταβασία.

Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν Λαοὶ, Πάσχα Κυρίου Πάσχα. ἐκ γὰρ θανάτου πρὸς ζωὴν, καὶ ἐκ γῆς πρὸς Οὐρανὸν, Χριστὸς ὁ Θεὸς, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Δεῦτε πόμα πίωμεν καινὸν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγὴν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

Νῦν πάντα πεπλήρωται φωτὸς, Οὐρανός τε, καὶ γῆ, καὶ τὰ καταχθόνια. ἑορταζέτω γοῦν πᾶσα Κτίσις τὴν ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

Χθὲς συνεθαπτόμην σοι Χριστὲ, συνεγείρομαι σήμερον ἀναστάντι σοι· συνεσταυρούμην σοι χθὲς, αὐτός με συνδόξασον Σωτὴρ, ἐν τῇ Βασιλείᾳ σου.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἐπὶ τὴν ἀκήρατον ζωὴν, ἐπανέρχομαι σήμερον ἀγαθότητι, τοῦ γεννηθέντος ἐκ σοῦ, καὶ πᾶσι τοῖς πέρασιν Ἁγνὴ, τὸ φέγγος ἀστράψαντος.

Θεὸν ὃν ἐκύησας σαρκὶ, ἐκ νεκρῶν καθὼς εἶπεν ἐξεγειρόμενον, θεασαμένη Ἁγνὴ, χόρευε, καὶ τοῦτον ὡς Θεὸν, Ἄχραντε μεγάλυνε.

Εἱρμὸς ἄλλος.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ' ἐχθροὺς μου τὸ στόμα μου, εὐφράνθην ἐν σωτηρίῳ σου.

Μὴ τὴν κατ' ὄψιν κρίσιν κρίνετε Ἰουδαῖοι, διδάσκων ἔλεγεν ὁ Δεσπότης, ὡς ἐπέστη τῷ Ἱερῷ καθὼς γέγραπται, μεσούσης τῆς νομικῆς Ἑορτῆς.

Μὴ τὴν κατ' ὄψιν κρίσιν κρίνετε Ἰουδαῖοι. Χριστὸς γὰρ ἦλθεν ὅνπερ ἐκάλουν, οἱ Προφῆται, ἐκ Σιὼν ἐλασσόμενον, καὶ Κόσμον ἀνακαλούμενον.

Εἰ καὶ τοῖς λόγοις οὐ πιστεύετε Ἰουδαῖοι, τοῖς ἔργοις πείσθητε τοῦ Δεσπότου. τί πλανᾶσθε ἀθετοῦντες τὸν Ἅγιον, ὃν ἔγραψεν ἐν τῷ νόμῳ Μωσῆς; Θεοτοκίον.

Εἷς τῆς Τριάδος ὢν γενόμενος σὰρξ ὡράθης, οὐ τρέψας Κύριε τὴν οὐσίαν, οὐ δὲ φλέξας τῆς Τεκούσης τὴν ἄφθορον γαστέρα, Θεὸς ὢν ὅλος καὶ πῦρ.

Εἱρμὸς ἄλλος.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, τῷ διδόντι ἰσχὺν τῷ ἀρχομένῳ. ὅτι πίξον δυνατῶν ἠσθένησε· καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν.

Ἐθελουσίως ἐπὶ ξύλου ὑψώθης Λόγε, καὶ ὁρῶσαι ἐρρήγνυντο αἱ πέτραι. καὶ ἡ Κτίσις ἐκλονεῖτο ἅπασα. καὶ νεκροὶ ἐκ τῶν τάφων ὡς ἐξ ὕπνου ἐξεγείροντο.

Ἐπὶ ψυχῆς σε πρὸς τὸν ᾅδην ἐλθόντα Λόγε, κατιδοῦσαι πᾶσαι ψυχαὶ δικαίων, αἰωνίων δεσμῶν ἀπελύοντο, ἀνυμνολογοῦσαι, τὴν ὑπὲρ νοῦν δυναστείαν σου.

Τί ἐκθαμβεῖσθε; τί ἐν τάφῳ ὑμεῖς ζητεῖτε, μετὰ μύρων γυναῖκες τὸν Δεσπότην; ἐξηγέρθη, καὶ Κόσμον συνήγειρεν. Ἄγγελος ἀστράπτων, ταῖς Μυροφόροις ἐφθέγγετο.

Ζωὴ ὑπάρχων Κύριε, καὶ πηγὴ τῆς ἀθανασίας, ἐκαθέσθης πρὸς τῇ πηγῇ Οἰκτίρμων, καὶ τῶν σῶν αἰτησαμένην ἔπλησας, πανσόφων ναμάτων, τὴν Σαμαρεῖτιν ὑμνοῦσάν σε. Δόξα.

Εἷς ἐπὶ πάντων ἐν Τριάδι Θεὸς ὑμνεῖται, ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ Θεῖον Πνεῦμα, φόβῳ ὃν δοξάζει Οὐρανῶν τὰ τάγματα, τρανῶς ἐκβοῶντα· Ἅγιος, ἅγιος, ἅγιος εἶ εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνερμηνεύτως συλλαβοῦσα ἐν τῇ γαστρί σου, τὸν τῶν ὅλων Θεὸν Παρθενομήτωρ, ὑπὲρ ἔννοιαν καὶ λόγον τέτοκας· μεί-

μασα

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΑΤΙΣΤΑΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας Μανούσειος

μασα Παρθένος ὡς πρὸ τοῦ τόκου Θεόνυμφε.

Καταβασία. Δεῦτε πόμα πίωμεν.

Κοντάκιον τῆς Μεσοπεντηκοστῆς, ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς Ἑορτῆς τῆς νομικῆς μεσαζούσης, ὁ τῶν ἁπάντων ποιητὴς καὶ Δεσπότης, πρὸς τοὺς παρόντας ἔλεγες Χριστὲ ὁ Θεός· δεῦτε καὶ ἀρύσασθε, ὕδωρ ἀθανασίας. ὅθεν σοι προσπίπτομεν, καὶ πιστῶς ἐκβοῶμεν· τοὺς οἰκτιρμούς σου δώρησαι ἡμῖν. Σὺ γὰρ ὑπάρχεις πηγὴ τῆς ζωῆς ἡμῶν.

Οἶκος. Τῆς Σαμαρείτιδος. Ὅμοιον.

Ἀγαλλιάσθω Οὐρανὸς χορευέτω, τὰ ἐπὶ γῆς ὅτι Χριστὸς ἐκ Παρθένου, ἐπιφανεὶς ὡς ἄνθρωπος ἐρρύσατο φθορᾶς, ἅπαν τὸ ἀνθρώπινον, τῷ ἰδίῳ θανάτῳ· θαύμασιν ἐκλάμψας δὲ, γυναικὶ Σαμαρείτιδι. ὕδωρ αἰτούσῃ παρέχει τὴν πηγὴν, τῶν ἰαμάτων ὡς μόνος ἀθάνατος.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Ὁ Τῆς σοφίας χορηγὸς καὶ Δεσπότης, τῆς Ἑορτῆς τῆς νομικῆς ἐπιστάσης, ἐν Ἱερῷ καθήμενος ἐδίδασκες· λέγων οὕτως ἅπασιν, ἔρχεσθε οἱ διψῶντες, πίετε τοῦ νάματος, οὗ ἐγὼ νῦν παρέχω· δι' οὗ ζωῆς ἔνθεν καὶ τρυφῆς, ἐναπολαύσατε πάντες οἱ ἄνθρωποι.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

» Ἐπὶ τῆς θείας φυλακῆς, ὁ Θεηγόρος Ἀββακοὺμ, στήτω μεθ' ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα· σήμερον σωτηρία τῷ Κόσμῳ, ὅτι ἀνέστη Χριστὸς ὡς Παντοδύναμος.

Ἄρσεν μὲν ὡς διανοῖξαν, τὴν παρθενεύουσαν νηδὺν, πέφηνε Χριστός· ὡς βροτὸς δὲ ἀμνὸς προσηγόρευται. ἄμωμος δὲ ὡς ἄγευστος, κηλῖδος τὸ ἡμέτερον Πάσχα. καὶ ὡς Θεὸς ἀληθὴς, τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνὸς, ὁ εὐλογούμενος ἡμῖν, στέφανος Χριστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ καθαρτήριον· καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν ἔλαμψεν Ἥλιος.

Ὁ θεοπάτωρ μὲν Δαβὶδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν. ὁ Λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν, ὁρῶντες εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστὸς, ὡς Παντοδύναμος.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ὁ Διαπλάσας τὸν Ἀδὰμ, τὸν σὸν προπάτορα Ἁγνὴ, πλάττεται ἐκ σοῦ, καὶ θανάτῳ τῷ οἰκείῳ ἔλυσε, τὸν δι' ἐκείνου θάνατον, σήμερον καὶ κατηύγασε πάντας, ταῖς θεϊκαῖς ἀστραπαῖς τῆς Ἀναστάσεως.

Ὃν ἀπεκύησας Χριστὸν, ὡραιοτάτως ἐκ νεκρῶν, λάμψαντα Ἁγνὴ καθορῶσα, ἡ καλὴ καὶ ἄμωμος, ἐν γυναιξὶν ὡραία τε, σήμερον, εἰς πάντων σωτηρίαν, σὺν Ἀποστόλοις αὐτὸν χαίρουσα δόξαζε.

Ἄλλος. Ὁ Προφήτης Ἀββακούμ.

Εἰ Μεσσίαν δεῖ ἐλθεῖν, ὁ δὲ Μεσσίας Χριστός ἐστι παράνομοι· τί ἀπιστεῖτε αὐτῷ; ἰδοὺ παραγέγονε, καὶ μαρτυρεῖ ἃ αὐτὸς ποιεῖ. τὸ ὕδωρ οἶνον ἐποίησε, Παράλυτον λόγῳ συνέσφιγξε.

Μὴ συνιέντες τὰς Γραφὰς, πλανᾶσθε πάντες ὑμεῖς, Ἑβραῖοι ἄνομοι. ὄντως γὰρ ἦλθε Χριστὸς, καὶ πάντας ἐφώτισε. καὶ ἐν ὑμῖν ἔδειξε πολλὰ σημεῖα καὶ τεράστια, καὶ μάτην ἀρνεῖσθε τὴν ὄντως ζωήν.

Ὃν ἔργον ἔδειξα ὑμῖν, καὶ πάντες ἤδη θαυμάζετε, ἀνέκραζε τοῖς Ἰουδαίοις Χριστός. ὑμεῖς περιτέμνετε, καὶ ἐν Σαββάτῳ ἄνθρωπον φησίν. ἐμοὶ δὲ τί ἐγκαλεῖτε λοιπὸν, ἐγείραντι λόγῳ Παράλυτον;

Ἔργα ἐποίησα πολλὰ, καὶ διὰ ποῖον ἔργον λιθάζετέ με; τοῖς Ἰουδαίοις Χριστὸς, ἐλέγχων ἀνέκραζεν· ὅτι ἄνθρωπον ὑγιῆ ὅλον λόγῳ ἐποίησα; μὴ κρίνετε κατ' ὄψιν ἄνθρωποι.

Εἱρμὸς, Ἄλλος.

Εἰσακήκοα Κύριε, τὴν ἀκοήν σου καὶ ἐφοβήθην. κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην. ὅτι τῆς σῆς αἰνέσεως πλήρης ἡ γῆ. »

Οἱ Οὐρανοὶ εὐφραινέσθωσαν, ἑορταζέτω ἡ Κτίσις πᾶσα· ἐξεγήγερται ὁ Κύριος καὶ ἐφάνη, πᾶσι τοῖς σοφοῖς Ἀποστόλοις αὐτοῦ.

Κατεπόθη σου θάνατε, ἡ δυναστεία Χριστοῦ θανέντος, οἱ νεκροὶ ὡς ἐκ θαλάμων, τῇ ἐγέρσει τούτου, ἐκ τῶν τάφων προῆλθοσαν.

Τί θρηνεῖτε ὦ γύναια; τί μετὰ μύρων ἐπιζητεῖτε, τὸν ἀθάνατον; ἐγήγερται καθὼς εἶπεν· ἔφη Μυροφόροις ὁ Ἄγγελος.



Δημόσια Κεντρική Βιβλιοθήκη
Δημόσια Κεντρική Βιβλιοθήκη Κοινότητας "Μανούσεια"

Σαμαρείτιδι Κύριε, αἰτησαμένῃ παρέσχες ὕδωρ, τὴν ἐπίγνωσιν τοῦ κράτους σου. ὅθεν εἰς αἰῶνας, οὐ διψᾷ ἀνυμνοῦσά σε.

Δόξα.

Ὦ Τριὰς ὑπερούσιε, Πάτερ καὶ Λόγε, καὶ Θεῖον Πνεῦμα, ὁμοδύναμε, συνάναρχε, σῶσον ἡμᾶς πάντας, τοὺς πιστῶς ἀνυμνοῦντάς σε.

Καὶ νῦν. Θεοτοκίον.

Ἀκατάφλεκτον βάτον σε, ὁ νομοθέτης ἑώρα πάλαι· Δανιὴλ δὲ ὄρος ἅγιον κατενόει, μόνη Μητροπάρθενε Δέσποινα.

Καταβασία. Ἐπὶ τῆς θείας φυλακῆς.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης Ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ ᾍδου σειραῖς συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο Χριστέ, ἀγαλλομένῳ ποδί, Πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ Μνήματος, ὡς Νυμφίῳ, καὶ συνεορτάσωμεν, ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεοῦ τὸ σωτήριον.

Τῆς Θεοτόκου, ὁ αὐτός.

Φωτίζεται θείαις ἀκτῖσι καὶ ζωηφόροις, ταῖς τῆς Ἀναστάσεως, τοῦ Υἱοῦ σου Θεομῆτορ ἄχραντε, καὶ χαρμονῆς ἐμπίπλαται, τῶν εὐσεβῶν ἡ ὁμήγυρις.

Οὐκ ἤνοιξας πύλας παρθενίας ἐν τῷ σαρκοῦσθαι, Μνήματος οὐκ ἔλυσας τὰς σφραγίδας, Βασιλεῦ τῆς Κτίσεως. ὅθεν ἐξαναστάντα σε, θεασαμένη ἠγάλλετο.

Ἄλλος. Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην.

Θαύμασι κατελάμπρυνας τοὺς Ἀποστόλους σου, τέρασιν ἐμεγάλυνας τοὺς Μαθητάς, ἐν παντὶ τῷ Κόσμῳ δοξάσας Σωτὴρ ἡμῶν, καὶ δοὺς αὐτοῖς τὴν Βασιλείαν σου.

Ἅπαντα κατεφώτισαν, τῆς γῆς τὰ πέρατα, θαύμασι καὶ διδάγμασιν οἱ Μαθηταί, καὶ ποικίλοις τρόποις τὸν λόγον κηρύξαντες, Χριστὲ Σωτὴρ τῆς Βασιλείας σου.

Αἴνεσιν ἀναπέμπομεν τῇ Βασιλείᾳ σου, ὕμνον σοι δὲ προσάγομεν τῷ δι' ἡμᾶς, ἐπὶ γῆς ὀφθέντι, καὶ Κόσμον φωτίσαντι, καὶ τὸν Ἀδὰμ ἀνακαλέσαντι.

Θεοτοκίον.

Γέγονεν ἡ κοιλία σου ἁγία Τράπεζα, ἔχουσα τὸν Οὐράνιον Ἄρτον. ἐξ οὗ πᾶς ὁ τρώγων, οὐ θνήσκει ὡς ἔφησεν, ὁ τοῦ παντὸς Θεογεννῆτορ τροφεύς.

Εἱρμὸς Ἄλλος.

Ἀνάτειλόν μοι Κύριε, τὸ φῶς τῶν προσταγμάτων σου, ὅτι πρὸς σὲ Χριστέ, τὸ πνεῦμά μου ὀρθρίζει, καὶ ὑμνεῖ σε. σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ πρὸς σὲ κατέφυγον, τῆς εἰρήνης Βασιλεῦ.

Τὸ Μνῆμά σου τὸ ἅγιον, καταλαβοῦσαι ὄρθριαι, αἱ Μυροφόροι, ἐξαστράπτοντα κατεῖδον νεανίαν, καὶ ἐνεθαμβήθησαν, τὴν σὴν διδασκόμεναι, θείαν ἔγερσιν Χριστέ.

Ὁ θάνατος νενέκρωται, ὁ ᾅδης ᾐχμαλώτισται, οἱ ἐν δεσμοῖς ἠλευθερώθησαν, Χριστοῦ τῇ Ἀναστάσει. ἀγαλλιασώμεθα, καὶ χεῖρας κροτήσωμεν, ἑορτάζοντες φαιδρῶς.

Ἀπόστολοι σκιρτήσατε, καὶ Ἄγγελοι χορεύσατε, οἱ γηγενεῖς πάντες ἀγάλλεσθε. ὁ Κύριος ἀνέστη, φθορὰ ἐξωστράκισται, καὶ ἡ λύπη πέπαυται, καὶ χορεύει ὁ Ἀδάμ.

Πηγὴ ὑπάρχων Κύριε, ζωῆς ὕδωρ ἀφέσεως, καὶ ἐπιγνώσεως δεδώρησαι, γυναικὶ αἰτησάσῃ, πάλαι Σαμαρείτιδι· διὸ ἀνυμνοῦμέν σου, τοὺς ἀφάτους οἰκτιρμούς.

Δόξα.

Μονάδα τρισυπόστατον, Τριάδα ὁμοούσιον, Πατέρα, Λόγον, καὶ Πνεῦμα ἅγιον, ἀμέριστον τῇ φύσει, Θεὸν ἕνα σέβομεν, ποιητὴν καὶ Κύριον, καὶ Δεσπότην τοῦ παντός.

Καὶ νῦν. Θεοτοκίον.

Σὲ πύλην ἀδιόδευτον, καὶ χώραν ἀγεώργητον, καὶ κιβωτὸν τὸ Μάννα φέρουσαν, καὶ στάμνον καὶ λυχνίαν, καὶ θυμιατήριον, τοῦ ἀΰλου ἄνθρακος, ὀνομάζομεν Ἁγνή.

Καταβασ. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς, αἰωνίους κατόχους, πεπεδημένων Χριστέ, καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.

Φυ-

Δημόσια Κεντρική Βιβλιοθήκη

Φυλάξας τὰ σήμαντρα σῶα Χριστέ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς Παρθένου, μὴ λυμηνάμενος ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν, Παραδείσου τὰς πύλας.

Σῶτέρ μου τὸ ζῶν τε καὶ ἄθυτον, ἱερεῖον ὡς Θεὸς, σεαυτὸν ἑκουσίως, προσαγαγὼν τῷ Πατρὶ, συνανέστησας, παγγενῆ τὸν Ἀδὰμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἀνῆκται τὸ πάλαι κρατούμενον, τῷ θανάτῳ καὶ φθορᾷ, διὰ τοῦ σαρκωθέντος ἐκ τῆς ἀχράντου γαστρός, πρὸς τὴν ἄφθαρτον, καὶ ἀΐδιον ζωὴν, Θεοτόκε Παρθένε.

Κατῆλθεν ἐν τοῖς κατωτάτοις τῆς γῆς, ὁ λαγόσι σου ἁγνὴ, κατελθὼν καὶ οἰκήσας, καὶ σαρκωθεὶς ὑπὲρ νοῦν, καὶ συνήγειρεν ἑαυτῷ τὸν Ἀδὰμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Εἱρμὸς ἄλλος.

Ὡς ὕδατα θαλάσσης φιλάνθρωπε, τὰ κύματα τοῦ βίου χειμάζει με. διὸ ὡς Ἰωνᾶς σοι κραυγάζω Λόγε· ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου, εὔσπλαγχνε Κύριε.

Ὁ Πάντα περιέπων τὰ πέρατα, ἀνῆλθες Ἰησοῦ, καὶ ἐδίδασκες, ἐν τῷ Ἱερῷ τοὺς ὄχλους, τὸν λόγον τῆς ἀληθείας, τῆς Ἑορτῆς μεσούσης, ὡς Ἰωάννης βοᾷ.

Τὸ ἔργον τοῦ Πατρὸς ἐτελείωσας, τοῖς ἔργοις ἐπιστώσω τοὺς λόγους σου, ἰάσεις τελῶν Σωτὴρ καὶ σημεῖα, Παράλυτον ἀνορθῶν, λεπροὺς καθαίρων, καὶ τοὺς νεκροὺς ἀνιστῶν.

Ὁ Ἄναρχος Υἱὸς ἀρχὴν γέγονε, λαβὼν τὸ καθ' ἡμᾶς ἐνηνθρώπησε, καὶ μέσον τῆς Ἑορτῆς ἐδίδασκε λέγων· προσδράμετε τῇ πηγῇ, τῇ ἀενάῳ ζωὴν ἀρύσασθε.

Θεοτοκίον.

Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε, Παρθένον καὶ Μητέρα δοξάζομεν· σὲ μόνην Ἁγνὴν Θεόνυμφε Κόρη. ἐκ σοῦ γὰρ ὄντως Θεὸς ἐσαρκώθη, καινοποιήσας ἡμᾶς.

Εἱρμὸς ἄλλος.

Μὴ καταποντισάτω με καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός. ἀπέρριμμαι γὰρ εἰς βάθη, καρδίας θαλάσσης, τῶν κακῶν μου. διό σοι κραυγάζω ὡς Ἰωνᾶς· ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σὲ ὁ Θεός.

Ἐσταύρωσε οἱ παράνομοι, Ἰησοῦ ἥλωσαν, καὶ λόγχῃ ἐξεκέντησαν Χριστέ. καὶ Ἰωσὴφ ὁ εὐσχήμων σε κηδεύει, ἐν τῷ καινῷ Μνημείῳ. ἐξ οὗ μετὰ δόξης ἐξαναστὰς, συναναστήσας Σωτὴρ, πᾶσαν Κτίσιν ὑμνοῦσαν τὸ κράτος σου.

Μοχλοὺς καὶ πύλας Δέσποτα, δυνατῶς ἔθραυσας τοῦ ᾅδου, καὶ ἀνέστης ὡς Θεός. καὶ ὑπαντήσας τὸ Χαῖρε προσεῖπας ταῖς γυναιξὶ, καὶ ταύτας εἰπεῖν ἐξαπέστειλας Μαθηταῖς· ἠγέρθη ἡ ζωὴ, καὶ ὡράθη φωτίζων τὰ πέρατα.

Τί κλαίετε; τί φέρετε ὡς θνητῷ γύναια τὰ μύρα; ἐξηγέρθη ὁ Χριστός. ἐβόα πάλαι ἀστράπτων μεγάλως, ὁ φανεὶς νεανίας, κενὰς τὰς σινδόνας καταλιπών. ἀπελθοῦσαι τοῖς αὐτοῦ, ἀπαγγείλατε φίλοις τὴν ἔγερσιν.

Ῥεῖθρον ὑπάρχων Κύριε, τῆς ζωῆς ἄφθονον, καὶ ἄβυσσος ἐλέους ἀγαθέ, ὁδοιπορήσας καθέζῃ, πλησίον τοῦ φρέατος τοῦ ὅρκου, καὶ τῇ Σαμαρείτιδι ἐκβοᾷς· δός μοι ὕδωρ τοῦ πιεῖν, ὅπως λάβῃς ἀφέσεως νάματα.

Δόξα.

Ὑμνῶ Πατέρα ἄναρχον, καὶ Υἱὸν σύνθρονον, καὶ Πνεῦμα ὁμοούσιον πιστῶς, μίαν οὐσίαν, καὶ φύσιν, καὶ δόξαν, καὶ μίαν Βασιλείαν, Θεὸν τῶν ἁπάντων καὶ ποιητὴν, συνοχέα τοῦ παντὸς, μετὰ τῶν Ἀσωμάτων Δυνάμεων.

Καὶ νῦν. Θεοτοκίον.

Παρθένον μόνην τίκτουσαν, καὶ μηδὲν ἄφθορον τηρήσασαν, ὑμνοῦμέν σε Ἁγνὴ, Θρόνον Κυρίου, καὶ πύλην καὶ ὄρος, καὶ μονὴν λυχνίαν, νυμφῶνα ὁλόφωτον τοῦ Θεοῦ, καὶ σκηνὴν δόξης σαφῶς, κιβωτόν τε καὶ στάμνον, καὶ τράπεζαν.

Καταβ. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Κοντάκιον, Ἦχος πλ. δ'.

Πίστει ἐλθοῦσα ἐν τῷ φρέατι, ἡ Σαμαρεῖτις ἐθεάσατο, τὸ τῆς σοφίας ὕδωρ σε, ᾧ ἐποτίσθη δαψιλῶς, καὶ Βασιλείαν τὴν ἄνωθεν κληρωσαμένη, αἰωνίως ὡς ἀοίδιμος.

Ὁ Οἶκος.

Τῶν σεπτῶν μυστηρίων ἀκούσωμεν, Ἰωάννου ἡμᾶς ἐκδιδάσκοντος, τὰ ἐν τῇ Σαμαρείᾳ γινόμενα, πῶς γυναικὶ ὡμίλει ὁ Κύριος ὕδωρ αἰτήσας, ὁ τὰ ὕδατα εἰς

τὰς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσειος"

τὰς συναγωγὰς αὐτῶν συνάξας, ὁ Πατρὶ καὶ τῷ Πνεύματι σύνθρονος. ἦλθε γὰρ ἐκζητῶν τὴν εἰκόνα αὐτοῦ, αἰωνίως ὡς ἀοίδιμος.

Τὸ Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν.

Ὕδωρ λαβεῖν ἐλθοῦσα τὸ φθαρτὸν γύναι.
Τὸ ζῶν ἀπαντλεῖς, ᾧ ῥύπους ψυχῆς πλύνεις.

Τῇ αὐτῇ ἡμέρᾳ Κυριακῇ πέμπτῃ ἀπὸ τοῦ Πάσχα τὴν τῆς Σαμαρείτιδος Ἑορτὴν ἑορτάζομεν. ἐπειδὴ ἐν ταύτῃ ὁ Χριστὸς Μεσσίαν ἑαυτὸν ἀριδήλως ὡμολόγει, ὅ ἐστι Χριστὸς, ἢ εἰλημμένος. μεσσὰ γὰρ παρ' Ἑβραίοις τὸ ἔλαιον. διὰ τοῦτο γὰρ οἶμαι καὶ ἐν τῇ τῆς Μεσοπεντηκοστῆς Ἑβδομάδι τέτακται. καὶ ὅτι τῇ μὲν πρὸ ταύτης Κυριακῇ, ἐν τῇ κολυμβήθρᾳ θαυματουργεῖ. ἐν ταύτῃ δὲ, ἐπὶ τῷ τοῦ Ἰακὼβ Φρέατι, ὃ αὐτὸς Ἰακὼβ ἀνώρυξε, καὶ ἐχαρίσατο Ἰωσὴφ τῷ Υἱῷ αὐτοῦ. ἐξαίρετος γὰρ ἦν ὁ τόπος, ὅπου καὶ πλησίον ὄντος τοῦ ὄρους Σομὼρ, οἱ Σαμαρεῖται κατῴκουν Πόλεις πολλάς. εἰς Συχὰρ δὲ παραγίνεται ὁ Χριστὸς, ὅπου παροικήσαντι πάλαι τῷ Ἰακὼβ μετὰ Δείνας τῆς θυγατρὸς αὐτοῦ, καὶ τῶν παίδων. Συχὲμ ὁ Υἱὸς τοῦ Ἐμμὼρ ὁ Χοῤῥαῖος ἐρασθεὶς αὐτῆς, καὶ βιασάμενος, συνεγένετο μετ' αὐτῆς. κἀντεῦθεν οἱ ἀδελφοὶ ταύτης διερεθισθέντες πρὸς ζῆλον, αἴφνης εἰσιόντες τὴν Πόλιν, ἄρδην ἅπαντας ἀποκτείνουσι, καὶ αὐτὸν τὸν Συχὲμ, καὶ τὸν πατέρα αὐτοῦ τὸν Ἐμμώρ. κατοικεῖ οὖν ἐκεῖ ὁ Ἰακὼβ, καὶ τὸ παρὸν φρέαρ ἀνώρυξεν. οὐ Σαμαρεῖται δὲ τὰ πρῶτα κατῴκουν αὐτὸ τὸ ὄρος, ἀλλ' Ἰσραηλῖται, οἱ τῷ Θεῷ προσκεκρουκότες, Φακεὲ βασιλεύοντος, διὰ πρώτης συμβολῆς καὶ δευτέρας τῶν Ἀσσυρίων παραγενομένων, ἀποτελεῖς φόρου κατέστησαν. καὶ μετὰ μικρὸν Ὠσηὲ βασιλεύοντος, προσφέρονται τοῖς Αἰθίοψιν. ὃ μαθὼν ὁ Ἀσσύριος, μεθίστησι τούτους εἰς Βαβυλῶνα. ἐν δ' ἐκείνῳ τῷ τόπῳ διάφορα κατοικεῖν Ἔθνη προσέταξεν. ἀλλ' ὁ Θεὸς, λέοντας τοῖς ἀλλοφύλοις ἐκείνοις ἀφίησιν. ὁ δὲ Βασιλεὺς Ἀσσυρίων τοῦτο ἀναμαθὼν, Ἱερέα ἐξ Ἰουδαίων αὐτοῖς πέμπει. ἔτι γὰρ ἐκεῖ ἦσαν αἰχμάλωτοι, ὥσαν καὶ τοὺς τοῦ Θεοῦ νόμους εἰσδέξωνται. καὶ τῶν μὲν εἰδώλων εὐθὺς ἀπεπήδησαν. μόνα δὲ τὰ Μωϋσέως Βιβλία ἐδέξαντο, ἀπαναινόμενοι τοὺς Προφήτας, καὶ τὴν λοιπὴν Γραφήν. οὗτοι καὶ Σαμαρεῖται ἐκαλοῦντο, ὡς ἀπὸ τοῦ ὄρους Σομὼρ, καὶ μισητοὶ ἦσαν τοῖς Ἑβραίοις ἐκ τῆς αἰχμαλωσίας ἄρτι ἐπανιοῦσιν, ὅτι ἐξ ἡμισείας ἰουδάϊζον, καὶ οὐ συνήθειον αὐτοῖς, βδελυκτοὺς αὐτοὺς ἡγούμενοι. διὸ καὶ τὸν Χριστὸν πολλάκις Σαμαρείτην ἐκάλουν· ὡς τινὰ τῶν νομικῶν δῆθεν καταλύοντα, καθάπερ ἐκεῖνοι. Ἔρχεται οὖν εἰς Συχὰρ, καὶ κεκοπιακὼς ἀπὸ τῆς ὁδοιπορίας ἐκάθισε, περὶ ὥραν τῆς ἡμέρας ἕκτην. γυνὴ δέ τις ἀπὸ τῆς Πόλεως ἔρχεται ἀντλῆσαι ὕδωρ (τῶν Μαθητῶν πρὸς ὠνὴν ἀπελθόντων τροφῆς.) ζητεῖ οὖν ὕδωρ ὁ Ἰησοῦς. ἡ δὲ, τὸ μὴ συγχρᾶσθαι τούτοις προβάλλεται. ἔγνω γὰρ αὐτὸν καὶ ἀπὸ τῆς φωνῆς, καὶ ἀπὸ τῆς στολῆς. ὁ δὲ ἀνάγει ταύτην, τὸ πνευματικὸν ὕδωρ ἐνάγων εἰς μέσον· ὃ τὸ ἄφθονον δηλοῖ καὶ καθαρτικόν. τὸ γὰρ Πνεῦμα ὕδατι καὶ πυρὶ ἀεὶ παρεικάζει. ἡ δὲ γυνὴ ἀσφαλῶς διακειμένη, τὸ μὴ ἔχειν ἐκεῖνον ὕδωρ τοιοῦτον, ἐκ τοῦ μὴ ἄντλημα ἐπιφέρεσθαι, καὶ τὸ φρέαρ εἶναι βαθὺ, ἐπιλέγει. εἶτα καὶ εἰς τὸν προπάτορα Ἰακὼβ ἀναφέρει τὸν λόγον, ὅτι ἐκεῖνος τὸ φρέαρ ἀνώρυξε· καὶ αὐτὸς, καὶ τὰ θρέμματα αὐτοῦ ἐξ ἐκείνου ἔπιον. τὸ πλούσιον ἐντεῦθεν τῆς πηγῆς παρεισάγουσα, καὶ τὸ ἄλλως εὔχρηστον καὶ ψυχρόν. ὁ Χριστὸς μέντοι οὐ μείζονα ἑαυτὸν λέγει τοῦ Ἰακὼβ, ἵνα μὴ τὴν γυναῖκα θρονήσῃ· ἀλλὰ περὶ τοῦ ὕδατος πάλιν διαλέγεται, παριστῶν ἐντεῦθεν τὸ αὐτοῦ ὑπερφέρον. εἴπερ ὁ πίνων ἐκ τοῦ ὕδατος ἐκείνου, διψᾷ οὐδαμῶς· ἀπαιτεῖ αὐτὸ ἡ γυνή. ὁ δὲ τὸν ταύτης ἄνδρα λέγει φωνῆσαι, ὡς στεῤῥοτέρας τῶν λόγων δεομένη φρονήσεως. ἡ δ' ἀπαρνεῖται μὴ ἔχειν ἄνδρα. ὁ δὲ πάντα εἰδὼς, λέγει· καλῶς εἶπας· πέντε γὰρ ἔσχες, ὡς ὁ νόμος διακελεύεται. ὃν δὲ νῦν ἔχεις ἕκτον, ὡς παρανόμως ἐκείνῳ συγγινομένη, οὐκ ἔστι σου ἀνήρ. Τινὲς μὲν οὖν πέντε ἄνδρας, τὴν Πεντάβιβλον τοῦ Μωϋσέως εἶναι ἐνόμισαν· ἥνπερ οἱ Σαμαρεῖται ἐδέχοντο. ἕκτον δὲ, αὐτοὺς τοὺς λόγους τοῦ Χριστοῦ, οἳ οὐκ ἦσαν ἐκείνης ἔτι. οὔπω γὰρ ἡ χάρις ἐξεκέχυτο. Ἄλλοι δὲ,

τοὺς δοθέντας πέντε νόμους παρὰ Θεοῦ· τὸν ἐν Παραδείσῳ, τὸν μετὰ τὴν ἐξορίαν, τὸν ἐπὶ Νῶε, τὸν ἐπὶ Ἀβραὰμ, καὶ τὸν ἐπὶ Μωσέως. ἕκτον δὲ, τὸ Εὐαγγέλιον, ὃν ἀκμὴν οὐκ εἶχεν. εἰσὶ δὲ, οἳ καὶ τὰς πέντε αἰσθήσεις λέγουσιν. Ἀποκρίνεται αὐτῷ ἡ γυνὴ, Προφήτην αὐτὸν ὀνομάζουσα. εἶτα ἐρωτᾷ αὐτὸν καὶ περὶ τοῦ ὄρους, ποῦ δεῖ προσκυνεῖν, ἐν Σομὼρ, ἢ ἐν Ἱεροσολύμοις; οὐ γὰρ ἐνόμιζον οἱ Σαμαρεῖται, ὡς ἀτελεῖς, πανταχοῦ τὸν Θεὸν εἶναι. ἀλλ' ἐκεῖσε τὸν Θεὸν διατρίβειν μόνον, ὅπου καὶ προσεκύνουν, ἐν τῷ Γαριζὶμ δηλαδὴ ὄρει, διὰ τὸ ἐκεῖ δοθῆναι τὰς εὐλογίας παρὰ Θεοῦ· ἢ διότι ἐκεῖ πρῶτος ὁ Ἀβραὰμ θυσιαστήριον ἔπηξε τῷ Θεῷ· ὡς καὶ Ἰουδαῖοι πάλιν ἔλεγον· ἐν Ἱεροσολύμοις δεῖ προσκυνεῖν μόνον τὸν Θεόν. διὸ καὶ οἱ ἁπανταχοῦ ἐν ταῖς Ἑορταῖς ἐκεῖσε συνήγοντο. ὁ δὲ Χριστὸς ἀποκρίνεται, ἐκ τῶν Ἰουδαίων λέγων τὴν σωτηρίαν τοῦ Κόσμου. πλὴν φησὶν, ὁ Θεὸς ἄϋλος ἐστὶ, καὶ οἱ προσκυνεῖν ἀξιωθησόμενοι, οὐκ ἐν θυσίαις ὅσον οὔπω αὐτὸν προσκυνήσουσιν, ἀλλ' ἐν πνεύματι καὶ ἀληθείᾳ. ἢ καὶ οὕτω τὸν Θεὸν γνωρίσουσιν, οὐ μόνον, ἀλλ' ἐν Πνεύματι τῷ Ἁγίῳ, καὶ τῷ Υἱῷ· οὗτος γὰρ ἡ ἀλήθεια. ἡ γυνὴ πάλιν λέγει· ἀκούομεν ἐκ τῶν Γραφῶν, ὅτι Μεσσίας ἔρχεται, ὅς ἐστιν ὁ Χριστός. ὁ δὲ Ἰησοῦς φησίν· ἐγώ εἰμι. τὴν εὐγνωμοσύνην τῆς γυναικὸς ἐγνωκώς. ᾔδεισαν δὲ οἱ Σαμαρεῖται καὶ περὶ τοῦ Μεσσίου, ἀπὸ τῶν Μωσαϊκῶν Βίβλων· ἐξαιρέτως δὲ, ἀπὸ τοῦ, Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς, καὶ ἄλλων πολλῶν. συντελεσθείσης δὲ τῆς ὁμιλίας, καὶ οἱ Μαθηταὶ ἔρχονται. τὴν ἄκραν ἐκπλήττονται συγκατάβασιν, πῶς μετὰ γυναικὸς διαλέγεται. τέως γε μὴν παρεκάλουν αὐτὸν φαγεῖν. ἅμα μὲν, διὰ τὸ κεκοπιακέναι, καὶ διὰ τὸ τοῦ καιροῦ καυσῶδες. Ὁ δὲ, περὶ τῆς αἰωνίου τροφῆς αὐτοῖς διαλέγεται, τῆς τῶν ἀνθρώπων δηλαδὴ σωτηρίας, καὶ ὅπως δεῖ αὐτοὺς τοὺς τῶν Προφητῶν κόπους θερίσαι. Ἀλλὰ τῆς γυναικὸς πρὸς τὴν Πόλιν φθασάσης, καὶ τὰ κατ' αὐτὴν ἀνειπούσης, ἅπαντες διεγείρονται, καὶ πρὸς τὸν Χριστὸν ἔρχονται. πεισθέντες ὡς οὐκ ἂν ἡ γυνὴ ἑαυτῆς κατηγόρησεν, εἰ μὴ μέγα τι ἔγνω. καὶ δέησιν ἐκχέαντες, αὐτὸν μεῖναι παρ' αὐτοῖς, ἐφ' ἡμέραις δυσὶ πείθουσι. καὶ μείνας, πάμπολλα ἐνήργησε θαύματα. ἃ διὰ τὸ πλῆθος τοῖς Εὐαγγελισταῖς οὐκ ἐγράφησαν. αὕτη δὲ ἐστὶν ἡ Σαμαρεῖτις, ἡ ἐσύστερον ὑπὸ Χριστοῦ, Φωτεινὴ κατονομασθεῖσα, ἥτις καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἐπὶ Νέρωνος ἀνεδήσατο, μετὰ τῶν ἑπτὰ ταύτης Υἱῶν, καὶ μετὰ πολλὴν κάκωσιν καὶ δεσμοὺς, καὶ μαστῶν ἐκκοπὴν, καὶ θλασμὸν χειρῶν, καὶ καλάμων λεπτῶν κατὰ τῶν ὀνύχων εἰσβολὴν, καὶ μολύβδου κατάποσιν, καὶ ἄλλων βασάνων ἀπείρων ἐξέτασιν. Ἱστέον δὲ, ὡς τὸ τοῦ φρέατος ἐκείνου στόμιον, ὁ Βασιλεὺς Ἰουστινιανὸς ἐκεῖθεν ἐντίμως μετακομισάμενος, εἰς τὸ τοῦ Θεοῦ Λόγου Ἀνάκτορον, τὸν μέγαν λέγω τῆς Ἁγίας Σοφίας Νεὼν, ἐνέθετο ἐπὶ φρέατι· ἀλλὰ καὶ τὸν λίθον, ἐφ' ᾧ ὁ Χριστὸς καθεσθεὶς τῇ Σαμαρείτιδι διελέγετο. καὶ νῦν εἰς δεῦρο καὶ ἀμφότερα διαμένουσι, πρὸ τοῦ Νάρθηκος ἐξ Ἀνατολῶν τῷ Νεῷ εἰσιόντι, πρὸς τὰ εὐώνυμα, πᾶσαν καὶ παντοίων νόσον ἰώμενα. μάλιστα δὲ, οἷς ἐκ πυρετῶν πάσχειν συμβαίνει, καὶ ῥίγους φλογίζοντος, ἀλεξιφάρμακα γίνονται.

Ταῖς τῆς σῆς Μάρτυρος Φωτεινῆς πρεσβείαις Χριστὲ ὁ Θεός.

## Ὠδὴ ζʹ. Ὁ Εἱρμός.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητὸς, καὶ διὰ πάθους τὸ θνητὸν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν· ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον· ὃν δὲ ὡς θνητὸν, μετὰ δακρύων ἐζήτουν, προσεκύνησαν, χαίρουσαι ζῶντα Θεὸν, καὶ Πάσχα τὸ μυστικὸν, σοῖς Χριστὲ Μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν, ᾅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς τῆς αἰωνίου ἀπαρχὴν, καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος νὺξ, καὶ φωταυγὴς, τῆς λαμπροφόρου ἡμέρας τῆς ἐγέρσεως οὖσα προάγγελος· ἐν ᾗ τὸ ἄχρονον φῶς, ἐκ τάφου σωματικῶς πᾶσιν ἐπέλαμψε.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Νεκρώσας ὁ Υἱός σου τὸν θάνατον, πανάμωμε σήμερον, πᾶσι τοῖς θνητοῖς, τὴν διαμένουσαν ζωὴν, εἰς αἰῶνας αἰώνων δεδώρηται. ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὁ Πάσης βασιλεύων τῆς Κτίσεως, γενόμενος ἄνθρωπος, ᾤκησε τὴν σὴν, Θεοχαρίτωτε μήτραν, καὶ Σταυρὸν ὑπομείνας καὶ θάνατον, ἀνέστη θεοπρεπῶς, συνεγείρας ἡμᾶς ὡς Παντοδύναμος.

Ἄλλος. Τῶν Χαλδαίων ἡ κάμινος.

Σαρκικῶς ἐκοπίασας, ἡ ἀνάπαυσις πάντων. ἑκουσίως ἐδίψησας ἡ πηγὴ τῶν θαυμάτων. τὸ ὕδωρ ἐζήτησας, ὕδωρ τὸ ζῶν, Ἰησοῦ ἐπαγγειλάμενος.

Σαμαρείτιδι Κύριε, γυναικὶ προσομίλεις, διελέγχων τὴν ἄνοιαν, τῶν ἀνόμων Ἑβραίων· ἡ μὲν γὰρ ἐπίστευσεν Υἱόν σε εἶναι Θεοῦ, οἱ δὲ ἠρνήσαντο.

Οἱ τὸν Ἄρτον ἐσθίοντες, τῆς Σαρκὸς τοῦ Κυρίου, καὶ τὸ Αἷμα λαμβάνοντες τῆς Πλευρᾶς τοῦ Δεσπότου, καινότητι Πνεύματος πολιτευσώμεθα, ζῶντες τῇ χάριτι.

Θεοτοκίον.

Ἐν γαστρί σου ἐχώρησας τὸν ἀχώρητον Λόγον, ἐκ μαζῶν σου ἐθήλασας τοῦ Κόσμου τὸν τροφέα, ἀγκάλαις ἐβάστασας τὸν ποιητὴν τοῦ παντὸς, Θεογεννήτορ Ἁγνή.

Εἱρμὸς Ἄλλος.

Μὴ παραδῴης ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου. καὶ μὴ διασκεδάσῃς τὴν Διαθήκην σου. καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν. Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Μετὰ ἀνόμων Χριστὲ Οἰκτίρμον, ἑκὼν κατελογίσθης, καιρῷ τοῦ θείου πάθους. καὶ ταῦτα βλέπουσα, ἐσείετο ἡ γῆ, καὶ πέτραι παντουργῷ νεύματι ἐρρήγνυντο, ἀκατάληπτε, καὶ ἀνίσταντο νεκροὶ οἱ ἀπ' αἰῶνος.

Μετὰ ψυχῆς καταβὰς, εἰς μέρη κατώτερα τοῦ ᾅδου, ἐξήγειρες ἐν ἀνδρείᾳ δεσμίους ἅπαντας, οὓς ἐκ τοῦ αἰῶνος θανάτου εἶχεν ὁ πικρὸς τύραννος, ἐκβοῶντάς σοι Χριστὲ ὁ Θεός· δόξα σοῦ τῇ φρικτῇ οἰκονομίᾳ.

Μετὰ νεκρῶν τί ὑμεῖς ζητεῖτε, τὸν ζῶντα εἰς αἰῶνας; ἠγέρθη καθὼς εἶπεν. ἰδοὺ ὡς βλέπετε, κεναὶ αἱ σινδόνες, κενὸς ὁ τάφος, ὁ φανεὶς ἔλεγε, γυναιξὶ νεανίας. σπουδῇ ἀπίτε, εἴπατε τοῖς Ἀποστόλοις.

Ὕδωρ ὑπάρχεις ζωῆς, ἐβόα Χριστῷ ἡ Σαμαρεῖτις. πότισον οὖν με Λόγε διψῶσαν πάντοτε, σοῦ τὴν θείαν χάριν, ὅπως μηκέτι Ἰησοῦ Κύριε, ἀγνωσίας κρατῶμαι αὐχμῷ, ἀλλὰ κηρύττω σου τὰ μεγαλεῖα.

Δόξα.

Πατέρα καὶ τὸν Υἱὸν, καὶ θεῖον ὑμνολογοῦμεν Πνεῦμα, ἀμέριστον Τριάδα, φύσει ὑπάρχουσαν, μεριστὴν τοῖς προσώποις, μίαν οὐσίαν, συμφυῆ ἄναρχον, ποιητὴν τοῦ παντὸς καὶ Θεὸν, ὃν πᾶσαι Οὐρανῶν ὑμνοῦσι τάξεις.

Καὶ νῦν. Θεοτοκίον.

Μετὰ λοχείαν φρικτὴν, Παρθένος Ἁγνὴ διεφυλάχθης, ἁγία Θεοτόκε. διό σε ἅπασαι, Ἀγγέλων χορεῖαι, καὶ τῶν ἀνθρώπων γενεαὶ ἅπασαι, ἀσιγήτοις ἀνυμνοῦσι φωναῖς, χωρίον καθαρὸν τοῦ ἀχωρήτου.

Καταβασία.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός. καὶ διὰ πάθους τὸ θνητὸν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν· ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, Ἑορτῶν Ἑορτὴ, καὶ πανήγυρίς ἐστι πανηγύρεων· ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος, τῆς θείας εὐφροσύνης, ἐν τῇ ἐπισήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, Βασιλείας τοῦ Χριστοῦ κοινωνήσωμεν· ὑμνοῦντες αὐτὸν, ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν, καὶ ἴδε. ἰδοὺ γὰρ ἥκασί σοι θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ Δυσμῶν καὶ Βορρᾶ καὶ θαλάσσης, καὶ Ἑῴας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ Παντοκράτορ, καὶ Λόγε, καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη ἐν ὑποστάσεσι φύσις, ὑπερούσιε καὶ ὑπέρθεε, εἰς

σὲ

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας

σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἦλθε διὰ σοῦ εἰς τὸν Κόσμον ὁ Κύριος, Παρθένε Θεοτόκε, καὶ τὴν γαστέρα τοῦ ᾅδου διαρρήξας, θνητοῖς τὴν ἀνάστασιν ἡμῖν ἐδωρήσατο. διὸ εὐλογοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὅλον καθελὼν τοῦ θανάτου τὸ κράτος, ὁ Υἱός σου Παρθένε, ἐν τῇ αὐτοῦ Ἀναστάσει, ὡς Θεὸς κραταιὸς, συνανύψωσεν ἡμᾶς καὶ ἐθέωσε. διὸ ἀνυμνοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἦχος. Ἄγγελοι καὶ Οὐρανοί.

Δεῦτε ἴδετε Λαοὶ, τὸν ἐπὶ Θρόνου δόξης ἀνυμνούμενον, ὑπὸ λαῶν ἀνόμων βλασφημούμενον, καὶ ἰδόντες ὑμνεῖτε, τὸν ἐν Προφήταις Μεσσίαν προρρηθέντα.

Σὺ εἶ ὄντως ὁ Χριστὸς, ὁ εἰς τὸν Κόσμον τοῦτον προερχόμενος. ἐξ οὗ ἡ σωτηρία, καὶ ἡ ἄφεσις τῶν πατρῴων σφαλμάτων. σὺ ἡ ὄντως ζωὴ τῶν σοὶ πεπιστευκότων.

Ἡ Σοφία τοῦ Θεοῦ, τῆς Ἑορτῆς μεσούσης καθὼς γέγραπται, τῷ Ἱερῷ ἐπέστη καὶ ἐδίδασκε, ὅτι ὄντως αὐτὸς ἦν, ὁ Μεσσίας Χριστὸς, δι' οὗ ἡ σωτηρία.

Θεοτοκίον.

Πῶς ἐγέννησας εἰπὲ, τὸν ἐκ Πατρὸς ἀχρόνως προεκλάμψαντα, καὶ σὺν ἁγίῳ Πνεύματι ἀνυμνούμενον; ἢ ὡς οἶδεν ὁ μόνος, εὐδοκήσας ἐκ σοῦ τεχθῆναι Θεοτόκε.

Εἱρμὸς Ἄλλος.

” Τὰ σύμπαντα Δέσποτα, τῇ σῇ σοφίᾳ
” συνεστήσω. γῆς δὲ πάλιν ἥδρασας ὡς
” οἶδας τὸν πυθμένα, τῇ βάσει πηξάμενος
” ἐπὶ ὑδάτων. διὸ πάντες βοῶμεν ἀνέλ-
” ποντες· εὐλογεῖτε τὰ ἔργα Κυρίου, ἀ-
” παύστως τὸν Κύριον.

Θάνατον ὑπέμεινας, μόνε ἀθάνατε βουλήσει· ᾅδην ᾐχμαλώτευσας· πύλας χαλκᾶς συνέτριψας, Βασιλεῦ Οὐράνιε, καὶ ἀφεῖλες δεσμίους, ἀπ' αἰῶνος ἐκεῖσε χρηματίζοντας, ἀνυμνοῦντας ἀπαύστως, τὸ κράτος τῆς σῆς ἀγαθότητος.

Ὑψώθης μακρόθυμε, ἐθελουσίως ἐπὶ ξύλου, καὶ πέτραι ἐσχίσθησαν, καὶ Ἥλιος ἐσβέσθη, καὶ τὸ καταπέτασμα τοῦ Ναοῦ διερράγη, καὶ ἡ γῆ ἐσαλεύθη, καὶ ἐστέναξεν ὁ παγγέλαστος ᾅδης, καὶ πάντας δεσμίους ἀπέλυσε.

Ἐπέφανες Κύριε, τοῖς ἐν τῷ σκότει καθημένοις, φῶς ὑπάρχων ἄδυτον, καὶ ζωὴ τῶν ἁπάντων. διόσπερ ὡς ἔβλεψε τῶν δικαίων ὁ δῆμος, ἀνεσκίρτησε Λόγε, καὶ ἀνεβόησεν· ἦλθες πάντας δεσμῶν ἀπολῦσαι, ὑμνοῦμεν τὸ κράτος σου.

Πλησίον ἐκάθισας, πηγῆς ἐν ὥρᾳ Σῶτερ ἕκτῃ, καὶ τῇ Σαμαρείτιδι ὕδωρ τὸ ζῶν παρέσχες, καὶ γνώσεως νάματα, διὰ πολλὴν εὐσπλαγχνίαν, μεθ' ἧς πάντες βοῶμεν ἀνέλποντες· εὐλογεῖτε τὰ ἔργα Κυρίου, ἀπαύστως τὸν Κύριον.

Δόξα.

Πατέρα προάναρχον, Υἱὸν συνάναρχον ὑμνοῦμεν, Πνεῦμα τὸ Ἅγιον, Θεὸν ἓν τὰ τρία, ἀσύγχυτον ἄτμητον, δημιουργὸν τῶν ἁπάντων, ὁμοδύναμον κράτος αὐτεξούσιον, καὶ βοῶμεν· εὐλογεῖτε τὰ ἔργα Κυρίου, ἀπαύστως τὸν Κύριον.

Καὶ νῦν. Θεοτοκίον.

Ἄνθρακι καθαίρεται, ὁ Ἡσαΐας προκηρύττων, τὸν νοητὸν ἄνθρακα, σαρκούμενον Παρθένε, ἐκ σοῦ ὑπὲρ ἔννοιαν, καταφλέγοντα πάντων τῶν βροτῶν τὰ ὑλώδη ἁμαρτήματα· καὶ θεοῦντα δι' οἶκτον, τὴν φύσιν ἡμῶν Παναμώμητε.

Καταβασία.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

” Φωτίζου, φωτίζου, ἡ Νέα Ἱερουσαλὴμ, ἡ
” γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. χό-
” ρευε νῦν, καὶ ἀγάλλου Σιών, σὺ δὲ Ἁγνὴ
” τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὢ θείας, ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς, μεθ' ἡμῶν ἀψευδῶς γὰρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστέ. ἣν οἱ πιστοὶ, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Ὢ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστὲ, ὢ σοφία καὶ Λόγε, τοῦ Θεοῦ καὶ δύναμις, δίδου ἡμῖν ἐκτυπώτερον, σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ, ἡμέρᾳ τῆς Βασιλείας σου.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Συμφώνως Παρθένε, σὲ μακαρίζομεν πιστοὶ, χαῖρε πύλη Κυρίου. χαῖρε πόλις ἔμψυχε· χαῖρε δι' ἧς ἡμῖν ἔλαμψε,

σήμε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

σήμερον φῶς, τοῦ ἐκ σοῦ τεχθέντος, τῆς καὶ νεκρῶν Ἀναστάσεως.

Εὐφραίνου ἀγάλλου, ἡ θεία πύλη τοῦ φωτός. ὁ γὰρ δύνας ἐν τάφῳ, Ἰησοῦς ἀνέτειλε, λάμψας ἡλίου φαιδρότερον· καὶ τοὺς πιστοὺς, πάντας καταυγάσας, Θεοχαρίτωτε Δέσποινα.

Ἄλλος. Ἀλλότριον τῶν Μητέρων.

Τῆς Ἑορτῆς μεσαζούσης τῶν Ἰουδαίων, ἀνῆλθες ὁ Σωτήρ μου ἐπὶ τὸ Ἱερόν σου, καὶ ἐδίδασκες πάντας· ἐθαύμαζον δὲ οἱ Ἰουδαῖοι, καὶ πόθεν οὗτος οἶδε γράμματα, μὴ μεμαθηκὼς ἔλεγον.

Νάματα χαρισμάτων ὁ Λυτρωτής μου, πηγάζων ἐπετέλει τέρατα καὶ σημεῖα, φυγαδεύων τὰς νόσους, ἰώμενος τοὺς ἀσθενοῦντας. ἀλλ' Ἰουδαῖοι ἐξεμαίνοντο, τῷ πλήθει τῶν θαυμάτων αὐτοῦ.

Ὁ σαρκικὸς Ἰουδαῖος κατὰ τὴν σάρκα, νοῶν τὰ γεγραμμένα, τῷ γράμματι προσπταίει, ἀντιπίπτει δὲ πάλιν τῷ Πνεύματι τῆς ἀληθείας· ἡμεῖς δὲ τοῦτον παρωσάμενοι, φρονοῦμεν τὰ τοῦ Πνεύματος. Θεοτ.

Ἐχώρησας ἐν γαστρί σου Παρθενομήτωρ, τὸν ἕνα τῆς Τριάδος Χριστὸν τὸν ζωοδότην. ὃν ὑμνεῖ πᾶσα Κτίσις, καὶ τρέμουσιν οἱ ἄνω Θρόνοι. αὐτὸν δυσώπει παμμακάριστε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἱρμὸς ἄλλος.

Ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ. καθεῖλε γὰρ δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινοὺς ὁ Θεὸς τοῦ Ἰσραήλ. ἐν οἷς ἐπεσκέψατο ἡμᾶς Ἀνατολὴ ἐξ ὕψους, καὶ κατεύθυνεν ἡμᾶς εἰς ὁδὸν εἰρήνης.

Ἰδοὺ καθωράθη, ἡ ζωὴ πάντων Χριστὸς, κρεμάμενος ἐν ξύλῳ ἑκουσίως, καὶ ταῦτα βλέπουσα γῆ ἐσαλεύθη, καὶ πολλὰ ἁγίων ἠγέρθη ἐμφανῶς, σώματα κοιμηθέντων, καὶ τὸ δεσμωτήριον ᾅδου ἐσκυλεύθη.

Ὡραῖος ἐκ τάφου, ὡς νυμφίος ἐκ παστοῦ, πεπόρευσαι θανάτου καταλύσας, τὴν τυραννίδα Χριστὲ, καὶ τοῦ ᾅδου τοὺς μοχλοὺς, συντρίψας δυνάμει θεϊκῇ, καὶ τῆς ἐγέρσεώς σου, τῷ φωτὶ τῷ μονῳ, καταυγάσας Κόσμον.

Στησώμεθα πάντες, νῦν χοροὺς πνευματικοὺς, καὶ κράξωμεν· ὁ Κύριος ἀνέστη, ἀγαλλιάσθω ἡ γῆ, εὐφραινέσθω Οὐρανός, νεφέλαι ῥανάτωσαν ἡμῖν, δικαιοσύνης ὄμβρους, ἑορτάζουσι φαιδρῶς, καὶ Χριστὸν ὑμνοῦσιν.

Ἡ ζωὴ τῶν ζώντων, ἡ πηγὴ τῶν ἀγαθῶν, ὁ Κύριος πλουσίως, ἐπιρραίνων τὸ νᾶμα τῶν διδαχῶν, ἐκβοᾷ τῇ γυναικί. παράσχου μοι ὕδωρ τοῦ πιεῖν, ὅπως σοι δώσω ὕδωρ, τῶν ἁμαρτημάτων σου, τὰς πηγὰς ξηραῖνον. Δόξα.

Φῶς ἐν ἀμερίστως, ἡ τρισήλιος μονὰς, ὁ ἄναρχος Πατὴρ, Υἱὸς, καὶ Πνεῦμα, Θεότης μία, ζωὴ καὶ τῶν ὅλων ποιητής. αὐτὸν ἀνυμνήσωμεν πιστοὶ, μετὰ τῶν Ἀσωμάτων, Τρισαγίοις ᾄσμασιν, ἱερολογοῦντες. Καὶ νῦν. Θεοτοκίον.

Φωτὸς γενομένη οἰκητήριον Ἁγνὴ, καταύγασον τὰς κόρας τῆς ψυχῆς μου, ἀμαυρωθείσας πολλαῖς, μεθοδείαις τοῦ ἐχθροῦ, καὶ βλέψαι ἀξίωσον τρανῶς, τὸ ἀναλάμψαν φέγγος, ἐκ σοῦ ὑπὲρ ἔννοιαν καθαρᾷ καρδίᾳ.

Καταβασία. Φωτίζου, φωτίζου.

Ἐξαποστειλάριον. Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, ἐκ γ'. Ἀναστάσιμον. Αὐτόμελον.

Σαρκὶ ὑπνώσας ὡς θνητὸς, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον· Πάσχα τῆς ἀφθαρσίας, τοῦ Κόσμου σωτήριον.

Καὶ τῆς Σαμαρείτιδος. Πρός. Γυναῖκες ἀκουτίσθητε.

Σαμάρειαν κατέλαβες, Σωτήρ μου Παντοδύναμε, καὶ γυναικὶ ὁμιλήσας, ἐζήτεις ὕδωρ τοῦ πιεῖν, ὁ ἐκ πέτρας ἀκροτόμου, πηγάσας ὕδωρ Ἑβραίοις. ἣν πρὸς σὲ πίστιν ἔλαβες, καὶ νῦν ζωῆς ἀπολαύει, ἐν Οὐρανοῖς αἰωνίως.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Μεσούσης παραγένομαι, τῆς Ἑορτῆς φιλάνθρωπε, ἐν Ἱερῷ καὶ ἐλάλεις· οἱ δίψης ἔμπλεοι πρός με, ἔλθετε καὶ ἀφύσασθε, ὕδωρ ζῶν καὶ ἁλλόμενον, δι' οὗ τρυφῆς καὶ χάριτος, ζωῆς τε τῆς ἀθανάτου, ἐπαπολαύσετε πάντες.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἱστῶμεν στίχ. η'. καὶ ψάλλομεν τὰ παρόντα δ'. Ἀναστάσιμα, δ'. καὶ Ἀνατολικὰ, β'. καὶ τῆς Σαμαρείτιδος β'. Ἀναστάσιμα, ἦχος δ'.

Ὁ Σταυ-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Ὁ Σταυρὸν ὑπομείνας καὶ θάνατον, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, Παντοδύναμε Κύριε, δοξάζομέν σου τὴν Ἀνάστασιν.

Ἐν τῷ Σταυρῷ σου Χριστὲ, τῆς ἀρχαίας κατάρας, ἠλευθέρωσας ἡμᾶς. καὶ ἐν τῷ θανάτῳ σου, τὸν τὴν φύσιν ἡμῶν τυραννήσαντα, διάβολον κατήργησας. ἐν δὲ τῇ ἐγέρσει σου, χαρᾶς τὰ πάντα ἐπλήρωσας. διὸ βοῶμέν σοι· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Τῷ σῷ Σταυρῷ Χριστὲ Σωτὴρ, ὁδήγησον ἡμᾶς ἐπὶ τὴν ἀλήθειάν σου, καὶ ῥῦσαι ἡμᾶς τῶν παγίδων τοῦ ἐχθροῦ, ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἀνάστησον ἡμᾶς πεσόντας τῇ ἁμαρτίᾳ, ἐκτείνας τὴν χεῖρά σου, φιλάνθρωπε Κύριε, τῇ πρεσβείᾳ τῶν Ἁγίων σου.

Τῶν πατρικῶν σου κόλπων μὴ χωρισθεὶς, μονογενὲς Λόγε τοῦ Θεοῦ, ἦλθες ἐπὶ γῆς διὰ φιλανθρωπίαν, ἄνθρωπος γενόμενος ἀτρέπτως. καὶ Σταυρὸν καὶ θάνατον ὑπέμεινας σαρκὶ, ὁ ἀπαθὴς τῇ Θεότητι. ἀναστὰς δὲ ἐκ νεκρῶν, ἀθανασίαν παρέχεις τῷ γένει τῶν ἀνθρώπων, ὡς μόνος Παντοδύναμος.

Ἕτερα π. Ἀνατολικά. ἦχος, ὁ αὐτός.

Θάνατον κατεδέξω σαρκὶ, ἡμῖν ἀθανασίαν πραγματευσάμενος Σωτὴρ. καὶ ἐν τάφῳ ᾤκησας, ἵνα ἡμᾶς τοῦ ᾅδου ἐλευθερώσῃς, συναναστήσας ἑαυτῷ· παθὼν μὲν ὡς ἄνθρωπος, ἀλλ' ἀναστὰς ὡς Θεός. διὰ τοῦτο βοῶμεν· δόξα σοι ζωοδότα Κύριε, μόνε φιλάνθρωπε.

Πέτραι ἐσχίσθησαν Σωτὴρ, ὅτε ἐν τῷ κρανίῳ, ὁ Σταυρός σου ἐπάγη, ἔφριξαν ᾅδου πυλωροὶ, ὅτε ἐν τῷ Μνημείῳ ὡς θνητὸς κατετέθης. καὶ γὰρ τοῦ θανάτου καταργήσας τὴν ἰσχὺν, τοῖς τεθνεῶσι πᾶσιν ἀφθαρσίαν παρέχεις τῇ Ἀναστάσει σου Σωτὴρ, ζωοδότα Κύριε δόξα σοι.

Ἕτερα Ἰδιόμελα τῆς Σαμαρείτιδος. ἦχος, γ'.

Π. Ἔντεινε καὶ κατευοδοῦ, καί.

Ἀγαλλιάσθω σήμερον φαιδρῶς ὁ Οὐρανὸς καὶ ἡ γῆ, ὅτι Χριστὸς πεφανέρωται σαρκούμενος ὡς ἄνθρωπος, ἵνα τὸν Ἀδὰμ ἐξάρῃ ἐκ κατάρας παγγενῆ. καὶ θαυμαστοῦται θαύμασιν, ἐν Σαμαρείᾳ προσαφικόμενος. γυναικὶ δὲ παρέστη, ὕδωρ ζητῶν, ὁ νεφέλαις ὕδασι περιβαλλόμενος. διὸ πάντες οἱ Πιστοὶ προσκυνήσωμεν, τὸν δι' ἡμᾶς ἑκουσίως πτωχεύσαντα εὐσπλάγχνῳ βουλῇ.

Ἦχος, πλ. β'.

Π. Ἠγάπησας δικαιοσύνην.

Τάδε λέγει Κύριος τῇ Σαμαρείτιδι, εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, δός μοι ὕδωρ πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκέ σοι πιεῖν, ἵνα μὴ διψήσῃς εἰς τὸν αἰῶνα, λέγει Κύριος.

Δόξα. Ὁ αὐτός.

Ἡ Πηγὴ τῆς ζωαρχίας, Ἰησοῦς ὁ Σωτὴρ ἡμῶν, ἐπὶ τὴν πηγὴν ἐπιστὰς τοῦ Πατριάρχου Ἰακὼβ, πιεῖν ἐζήτει ὕδωρ παρὰ γυναικὸς Σαμαρείτιδος. τῆς δὲ τὸ ἀκοινώνητον τῶν Ἰουδαίων προσειπούσης, ὁ σοφὸς δημιουργὸς μετοχετεύει αὐτὴν, ταῖς γλυκέσι προσρήσεσι, μᾶλλον πρὸς αἴτησιν τοῦ ἀϊδίου ὕδατος. ὃ καὶ λαβοῦσα τοῖς πᾶσιν ἐκήρυξεν εἰποῦσα· δεῦτε ἴδετε τῶν κρυπτῶν γνώστην καὶ Θεὸν, παραγενόμενον σαρκὶ, διὰ τὸ σῶσαι τὸν ἄνθρωπον.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν α'. Ὥραν, τὸ Ἑωθινόν.

Ἦχος, Βαρύς.

Ἰδοὺ σκοτία καὶ πρωΐ, καὶ τί πρὸς τὸ Μνημεῖον Μαρία ἕστηκας; πολὺ σκότος ἔχουσα ταῖς φρεσὶν, ὑφ' οὗ ποῦ τέθειται ζητεῖς ὁ Ἰησοῦς; ἀλλ' ὅρα τοὺς συντρέχοντας Μαθητὰς, πῶς τοῖς ὀθονίοις, καὶ τῷ σουδαρίῳ, τὴν Ἀνάστασιν ἐτεκμήραντο, καὶ ἀνεμνήσθησαν τῆς περὶ τούτου Γραφῆς. μεθ' ὧν καὶ δι' ὧν, καὶ ἡμεῖς πιστεύσαντες, ἀνυμνοῦμέν σε τὸν ζωοδότην Χριστόν.

Εἰς τὴν Λειτουργίαν Τυπικά.

Καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου. ἦχος, δ'.

Διὰ ξύλου ὁ Ἀδὰμ, Παραδείσου γέγονεν ἄποικος. διὰ ξύλου δὲ Σταυροῦ, ὁ Λῃστὴς Παράδεισον ᾤκησεν. ὁ μὲν γὰρ γευσάμενος, ἐντολὴν ἠθέτησε τοῦ ποιήσαντος. ὁ δὲ συσταυρούμενος, Θεὸν ὡμολόγησε τὸν κρυπτόμενον· μνήσθητί μου βοῶν ἐν τῇ Βασιλείᾳ σου.

Ὁ Σταυρωθεὶς καὶ ἀναστὰς, ὡς δυνατὸς ἐκ τάφου τριήμερος, καὶ τὸν πρωτόπλαστον Ἀδὰμ, ἐξαναστήσας μόνε ἀθάνατε, κἀμὲ εἰς μετάνοιαν, ἐπίστρεψαι Κύριε κατα-

ξίω-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ξίωσον, ἐξ ὅλης καρδίας μου, καὶ ἐν θερμῇ τῇ πίστει ἀεὶ κραυγάζειν σοι· μνήσθητί μου Σωτὴρ ἐν τῇ Βασιλείᾳ σου.

Ὄντως ἀνέστη ὁ Χριστός, καὶ μαρτυρεῖ ὁ τάφος παράνομοι. τὰ γὰρ ἐντάφια αὐτοῦ, καταλιπὼν ἀνέστη τριήμερος· ὁ λίθος ἐσφράγισται, καὶ πρὸ τοῦ τάφου φύλακες περιίσταντο, ὁ ᾅδης ἐσκύλευται, ὁ θάνατος τέθνηκε. πιστώσατε οὖν σὺν ἡμῖν τῇ Ἀναστάσει αὐτοῦ.

Τὸν ἀναστάντα ἐκ νεκρῶν, καὶ τὸ τοῦ ᾅδου κράτος σκυλεύσαντα, καὶ ὀραθέντα γυναιξί, Μυροφόροις λέγοντα, Χαίρετε, Πιστοὶ δυσωπήσωμεν, ἐκ φθορᾶς λυτρώσασθαι τὰς ψυχὰς ἡμῶν, κραυγάζοντες πάντοτε, λῃστοῦ τοῦ εὐγνώμονος τὴν φωνὴν πρὸς αὐτόν· μνήσθητι καὶ ἡμῶν ἐν τῇ Βασιλείᾳ σου.

Καὶ ἐκ τοῦ Κανόνος τῆς Σαμαρείτιδος, Ὠδὴ, γ΄. Καὶ τῆς Ἑορτῆς, Ὠδὴ, ς΄. Ἀπόστολος, καὶ Εὐαγγέλιον, τῆς Σαμαρείτιδος.

Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον.

Τῇ Κυριακῇ τῆς Σαμαρείτιδος Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ς΄. καὶ ψάλλομεν στ. Προσόμοια τῆς Μεσοπεντηκοστῆς, γ΄. Ἦχος, πλ. α΄.

Χαίροις ἀσκητικῶν.

Ὤφθη φωτοφανὴς καὶ τερπνή, τῆς τοῦ Σωτῆρος Ἀναστάσεως σήμερον, Μεσότης ἡ παναγία, ὡς μεσημβρία φαιδρά, φρυκτωροῦσα Κόσμον θείαις χάρισι, Χριστοῦ τῆς ἐγέρσεως, λαμπαδουχοῦσα τεράστια, τῆς ἀφθαρσίας, ἀπαστράπτει τὰ σύμβολα, καὶ προδείκνυσι, τὴν εἰς ὕψος Ἀνάληψιν. φαίνει τὴν πολυέραστον, τοῦ Πνεύματος ἔλευσιν, Πεντηκοστῆς τῆς πανσέπτου, τὴν λαμπροτάτην πανήγυριν· διὸ καὶ παρέχει, ταῖς ψυχαῖς ἡμῶν εἰρήνην, καὶ μέγα ἔλεος.

Δόξης ὡς θεϊκῆς ποταμός, τῆς Ἑορτῆς νῦν μεσαζούσης ὁ Κύριος, τὰ ῥεῖθρα, τῆς εὐσπλαγχνίας, πᾶσι παρέχων βοᾷ, ὁ διψῶν ἐρχέσθω πρός με, καὶ πινέτω θερμῶς. πηγὴ συμπαθείας γάρ, καὶ ἐλέους τὸ πέλαγος, αὐτὸ ὑπάρχων, βρύει Κόσμῳ τὴν ἄφεσιν, πλύνει πταίσματα, καὶ καθαίρει νοσήματα. σώζει τοὺς τὴν Ἀνάστασιν, αὐτοῦ ἑορτάζοντας, σκέπει τοὺς πόθῳ τιμῶντας, τὴν μετὰ δόξης Ἀνάληψιν, αὐτοῦ καὶ παρέχει, ταῖς ψυχαῖς ἡμῶν εἰρήνην, καὶ μέγα ἔλεος.

Μέσον τοῦ Ἱεροῦ ἑστηκώς, ὁ ἀπερίγραπτος Θεός τε καὶ Κύριος. Θεὸς γὰρ ὑπῆρχε φύσει, κἂν δι' ἡμᾶς βροτωθείς, περιγεγραμμένος ὤφθη σώματι, τοῖς πᾶσιν ἀνέβλυζε, τὰ ζωόρρυτα ῥήματα, τοῖς πᾶσι λέγων· τὰς ψυχὰς ἐκκαθαρθῆτε, καὶ τοῦ καύσωνος, τῶν παθῶν ἀναψύξατε. μήτις ἀποστερήσοιτο, τῆς πόσεως ἄνθρωποι. θείαν γὰρ χάριν δωροῦμαι, τῆς ἀθανάτου καὶ κρείττονος, καὶ τῆς Βασιλείας, συμμεθέξει μοι τῷ Κτίσῃ καὶ δοξασθήσεται.

Καὶ τοῦ Μηναίου, γ΄.

Δόξα, καὶ νῦν. Ἦχος, πλ. δ΄.

Μεσούσης τῆς Ἑορτῆς πρὸ τοῦ πάθους, καὶ τῆς ἐνδόξου Ἀναστάσεώς σου Κύριε, ἧς διδάσκων ἀγαθέ, ἐν τῷ Ἱερῷ τοὺς ἀπειθοῦντας Ἰουδαίους, καὶ Φαρισαίους, καὶ Γραμματεῖς, καὶ βοῶν πρὸς αὐτούς· ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω. ὁ πιστεύων εἰς ἐμέ, ὕδατος ζωῆς Πνεύματος θείου, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ. ὢ τῆς ἀρρήτου σοφίας τῆς σῆς αἰνέσεως, ὁ τὰ πάντα πληρῶν, Θεὸς ἡμῶν δόξα σοι.

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου.

Ἦχος, δ΄.

Τὸν ζωοποιόν σου Σταυρόν, ἀπαύστως προσκυνοῦντες Χριστὲ ὁ Θεός, τὴν τριήμερόν σου Ἀνάστασιν δοξάζομεν. δι' αὐτῆς γὰρ ἀνεκαίνισας, τὴν καταφθαρεῖσαν τῶν ἀνθρώπων φύσιν Παντοδύναμε, καὶ τὴν εἰς Οὐρανοὺς ἄνοδον καθυπέδειξας ἡμῖν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Κατανυκτικόν.

Ἤθελον δάκρυσιν ἐξαλεῖψαι, τῶν ἐμῶν πταισμάτων Κύριε τὸ χειρόγραφον, καὶ τὸ ὑπόλοιπον τῆς ζωῆς μου, διὰ μετανοίας εὐαρεστῆσαί σοι. ἀλλ' ὁ ἐχθρὸς ἀπατᾷ με, καὶ πολεμεῖ τὴν ψυχήν μου. Κύριε πρὶν εἰς τέλος ἀπόλωμαι σῶσόν με.

Μαρτυρικόν.

Ἐνδοξαζόμενος, ἐν ταῖς μνείαις τῶν Ἁγίων σου, Χριστὲ ὁ Θεός, ὑπ' αὐτῶν

δυσω-

δυσωπούμενος, κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος, πλ. β΄.

Τῆς Ἑορτῆς μεσούσης τῆς σῆς Χριστὲ Ἀναστάσεως. καὶ θείας παρουσίας τοῦ Ἁγίου σου Πνεύματος, συνελθόντες τῶν θαυμάτων σου, ὑμνοῦμεν τὰ μυστήρια, ἐν ᾗ κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Τροπάριον, Μεσούσης τῆς Ἑορτῆς.

Τὸ αὐτὸ καὶ εἰς τὸ, Θεὸς Κύριος.

Τῇ Β΄. τῆς Ἑβδομάδος τῆς Σαμαρείτιδος, εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολ. Καθ. Ἀναστάσιμα. ἦχος, δ΄.

Ἀναβλέψασαι τοῦ τάφου τὴν εἴσοδον, καὶ τὴν φλόγα τοῦ Ἀγγέλου μὴ φέρουσαι, αἱ Μυροφόροι σὺν τρόμῳ ἐξίσταντο λέγουσαι. ἆρα ἐκλάπη ὁ τῷ λῃστῇ ἀνοίξας Παράδεισον; ἆρα ἠγέρθη, ὁ καὶ πρὸ πάθους κηρύξας τὴν ἔγερσιν; ἀληθῶς ἀνέστη Χριστὸς ὁ Θεός, τοῖς ἐν ᾅδῃ παρέχων ζωὴν καὶ Ἀνάστασιν. Κατανυκτικόν.

Τὴν ταπεινήν μου ψυχὴν ἐπίσκεψαι Κύριε, τὴν ἐν ἁμαρτίαις τὸν βίον ὅλον δαπανήσασαν· ὃν τρόπον τὴν πόρνην, δέξαι κἀμὲ καὶ σῶσόν με.

Μαρτυρικόν.

Σήμερον τὰ τῶν Ἀγγέλων στρατεύματα, ἐν τῇ μνήμῃ τῶν Ἀθλοφόρων παραγένονται, τὰς τῶν πιστῶν διανοίας φωτίσαι, καὶ τὴν Οἰκουμένην τῇ χάριτι φαιδρῦναι. δι᾿ αὐτῶν ὁ Θεὸς δυσωπούμενος, δώρησαι ἡμῖν τὸ μέγα ἔλεος. Θεοτοκίον.

Τεῖχος ἀκαταμάχητον ἡμῶν τῶν Χριστιανῶν, ὑπάρχεις Θεοτόκε Παρθένε. πρὸς σὲ γὰρ καταφεύγοντες, ἄτρωτοι διαμένομεν, καὶ πάλιν ἁμαρτάνοντες, ἔχομεν σε πρεσβεύουσαν. διὸ εὐχαριστοῦντες βοῶμέν σοι· χαῖρε Κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

Μετὰ τὴν β΄. στιχολ. Καθ. ἦχος, πλ. δ΄.

Τὴν Σοφίαν καὶ Λόγον.

Ἡ Σοφία ὁ Λόγος ὁ τοῦ Πατρός, ὁ καὶ δοὺς Ἀποστόλοις ῥῆμα Θεοῦ, κηρύξαι τοῖς πέρασι, τὴν ἐν γῇ αὐτοῦ ἔλευσιν, ὑπὸ πλάνων Ἑβραίων, μανίᾳ ὑβρίζετο, δαιμονῶν καὶ πλάνος, φρικτῶς λοιδορούμενος. ὃς ἀνεξικάκως, πρὸς αὐτοὺς ἀνεβόα· μὴ κρίνετε ἄκριτον, κατ᾿ ἐμοῦ κρίσιν ἄνομοι. πρὸς αὐτὸν οὖν βοήσωμεν· φιλάνθρωπε, Χριστὲ ὁ Θεός, τῶν πταισμάτων ἄφεσιν κατάπεμψον, τοῖς ὑμνοῦσιν ἐν πίστει, τὴν ἀνείκαστον δόξαν σου. Δίς.

Τό, Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν΄.

Οἱ Κανόνες, τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν, εἰς η΄. καὶ τοῦ Μηναίου, εἰς δ΄. Κοντάκιον, καὶ Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν τὰ γ΄. Ἀναστάσιμα, ἦχος, δ΄.

Ὁ Σταυρὸν ὑπομείνας καὶ θάνατον, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, Παντοδύναμε Κύριε δοξάζομέν σου τὴν Ἀνάστασιν. Δίς.

Κατανυκτικόν.

Πρόβατόν εἰμι τῆς λογικῆς σου ποίμνης, καὶ πρὸς σὲ καταφεύγω τὸν Ποιμένα τὸν καλόν· ζήτησόν με τὸ πλανηθέντα, ὁ Θεός, καὶ ἐλέησόν με. Μαρτυρ.

Τίς οὐκ ἐξίσταται ὁρῶν ἅγιοι Μάρτυρες, τὸν ἀγῶνα τὸν καλὸν ὃν ἠγωνίσασθε, πῶς ἐν σώματι ὄντες, τὸν ἀσώματον ἐχθρὸν ἐνικήσατε, Χριστὸν ὁμολογήσαντες, καὶ Σταυρῷ ὁπλισάμενοι; ὅθεν ἐπαξίως ἀνεδείχθητε, δαιμόνων φυγαδευταί, καὶ βαρβάρων πολέμιοι· ἀπαύστως πρεσβεύσατε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. ἦχος, πλ. δ΄.

Μεσούσης τῆς Ἑορτῆς τοῦ Πάσχα, ἐν τῷ Ναῷ ἀνῆλθες τοῦ Ἱεροῦ ὁ Σωτὴρ ἡμῶν. καὶ στὰς ἐν μέσῳ τοῦ ὄχλου, ἐδίδασκες αὐτοὺς παρρησίᾳ, καὶ ἔλεγες· ἐγώ εἰμι τὸ φῶς τοῦ Κόσμου. ὁ ἐμοὶ ἀκολουθῶν, οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ᾿ ἕξει τὸ φῶς τῆς ἀθανάτου ζωῆς.

Εἰς τὸν στ. τὰ Προσόμοια. ἦχος, β΄.

Οἶκος τοῦ Εὐφραθᾶ.

Κλίνας τοὺς Οὐρανούς, κατῆλθες ὁ Σωτήρ μου, καὶ σάρκα ἐκ Παρθένου, δίχα τροπῆς ὑπέδυς, πηγάζων μοι τὴν ἄφεσιν.

Στ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Ὅλος ἐν τῷ Θεῷ, ὁ Λόγος συνυπάρχεις, ὀλλύμενόν με θέλων, ἐξᾶραι τῶν πταισμάτων, ἐκσῶσαί μοι φιλάνθρωπε.

Στ. Μνήσθητι τῆς Συναγωγῆς σου.

Ἦλθες Βασιλεῦ, σοφία ἡ μεγάλη, δι᾿ οὗ Πατὴρ τὸν Κόσμον, πεποίηκε πανσόφως, σὺν τῷ ἁγίῳ Πνεύματι.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Δόξα, καὶ νῦν, ἦχος, πλ.

Καθαρθῶμεν ἐννοιῶν τοὺς καθμῶνας, καὶ ψυχικὰς λαμπηδόνας διαυγάσωμεν, καὶ τὴν ζωὴν κατίδωμεν Χριστὸν, ἐν Ἱερῷ ἀφικόμενον, ὑπερβολῇ ἀγαθότητος, ἵνα τὸν ἐχθρὸν θριαμβεύσῃ, καὶ σώσῃ τὸ γένος ἡμῶν, διὰ πάθους Σταυροῦ, καὶ τῆς Ἀναστάσεως. πρὸς ὃν βοήσωμεν· ἀκατάληπτε Κύριε δόξα σοι.

Τῇ Β΄. τῆς Ε΄. Ἑβδομάδος, τῆς Μεσοπεντηκοστῆς, Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, π. Προσόμοια. ἦχος, α΄.

Τῶν Οὐρανίων Ταγμάτων.

Ὁ Ποιητὴς τῶν ἁπάντων, καὶ τῆς ζωῆς χορηγὸς, ὁ τῷ Πατρὶ τῷ θείῳ, συναΐδιος Λόγος, ἑκὼν ἐκ τῆς Παρθένου, σάρκα λαβὼν, καὶ γενόμενος ἄνθρωπος, τὰ τῆς ἀῤῥήτου σοφίας ὡς ἀγαθὸς, πᾶσιν ἔβλυσε διδάγματα.

Τῆς Ἑορτῆς μεσαζούσης, τῶν Ἰουδαίων Χριστὲ, τῷ Ἱερῷ ἐπέστης, ὁ τοῦ νόμου Δεσπότης, διδάσκων ἐξουσίᾳ. τοὺς Γραμματεῖς, διελέγχων ὡς γέγραπται, καὶ καταπλήττων σοφίᾳ λόγων τῶν σῶν, καὶ θαυμάτων ἐπιδείξεσιν.

Ὁ Χορηγὸς τῆς σοφίας, καὶ τῶν καλῶν παροχὰς, ὁ χέων θεῖα ῥεῖθρα, ἐκ πηγῆς ἀενάου, δεῦτε πρός με κράζει, ὕδωρ ζωῆς, οἱ διψῶντες ἀρύσασθε, καὶ ποταμοὶ ἐκ κοιλίας ὑμῶν φησι, χαρισμάτων θείων ῥεύσουσι.

Καὶ τῇ Μηναίῳ, γ΄.

Δόξα, καὶ νῦν, ἦχος, β΄.

Οὔτε παρεγένου ἐν Ἱερῷ Χριστὲ ὁ Θεὸς, μεσούσης τῆς Ἑορτῆς, τότε τοῖς Λαοῖς ἐδίδασκες βοῶν· ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ ζήσεται. οἱ δὲ Ἰουδαῖοι διεπρίοντο, μετὰ τῶν Φαρισαίων, καὶ Σαδδουκαίων, καὶ Γραμματέων λέγοντες· τίς ἐστιν οὗτος, ὃς λαλεῖ βλασφημίας; μὴ λογιζόμενοι, ὅτι σὺ ὑπάρχεις, ὁ πρὸ πάντων αἰώνων, σὺν Πατρὶ καὶ Πνεύματι δοξαζόμενος, Θεὸς ἡμῶν δόξα σοι.

Εἰς τὸν π. π. Ἀναστάσιμον, τῆς Ὀκτωήχου ἦχος, δ΄.

Οὐ ξύλου τῆς παρακοῆς τὸ ἐπιτίμιον ἔλυσας Σωτὴρ, τῷ ξύλῳ τοῦ Σταυροῦ, ἑκουσίως προσηλωθεὶς, καὶ εἰς ᾅδου κατελθὼν δυνατὲ, τοῦ θανάτου τὰ δεσμὰ ὡς Θεὸς διέῤῥηξας. διὸ προσκυνοῦμεν τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν, ἐν ἀγαλλιάσει βοῶντες· Παντοδύναμε Κύριε δόξα σοι.

Κατανυκτικόν.

Τίς χειμαζόμενος καὶ προστρέχων, τῷ λιμένι τούτῳ, οὐ διασώζεται; ἢ τίς ὀδυνώμενος καὶ προσπίπτων, τῷ ἰατρείῳ τούτῳ, οὐ θεραπεύεται; δημιουργὲ τῶν ἁπάντων, καὶ Ἰατρὲ τῶν νοσούντων, Κύριε πρὶν εἰς τέλος ἀπόλωμαι σῶσόν με.

Μαρτυρικόν.

Τῶν Ἁγίων Μαρτύρων δεξάμενος τὴν ὑπομονὴν, καὶ παρ' ἡμῶν δέχου τὴν ὑμνῳδίαν φιλάνθρωπε· δωρούμενος ἡμῖν ταῖς αὐτῶν ἱκεσίαις τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος, γ΄. Γερμανοῦ.

Μεσούσης τῆς Ἑορτῆς, δοξάζομεν τὸν ἐν μέσῳ τῆς γῆς, σωτηρίαν ἐργασάμενον. μέσον γὰρ δύο λῃστῶν, ἡ ζωὴ ἐν ξύλῳ ἐκρέματο. καὶ τῷ μὲν βλασφημοῦντι ἐσιώπα, τῷ δὲ πιστεύοντι ἐβόα· σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ. κατῆλθεν ἐν τάφῳ, ἐσκύλευσε τὸν ᾅδην, καὶ ἀνέστη τριήμερος, σώζων τὰς ψυχὰς ἡμῶν.

Τῇ Γ΄. τῆς Ε΄. Ἑβδομ. τῆς Σαμαρείτιδος. Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολ. Κάθισμα Ἀναστάσιμον τῆς Ὀκτωήχου, ἦχος, δ΄.

Κατεπλάγη Ἰωσήφ.

Ἑκουσίᾳ σου βουλῇ, Σταυρὸν ὑπέμεινας Σωτὴρ, καὶ ἐν Μνήματι καινῷ, ἄνθρωποι ἔθεντο θνητοὶ, τὸν διὰ λόγου τὰ πέρατα συστησάμενον. ὅθεν δεσμευθεὶς, ὁ ἀλλότριος, θάνατος δεινῶς ἐσκυλεύετο· καὶ οἱ ἐν ᾅδου ἅπαντες ἐκραύγαζον, τῇ ζωηφόρῳ ἐγέρσει σου· Χριστὸς ἀνέστη, ὁ ζωοδότης, μένων εἰς τοὺς αἰῶνας.

Κατανυκτικόν, Ὅμοιον.

Ἀναλόγισαι ψυχὴ, πῶς παραστῶμεν τῷ Κριτῇ. ἔστι Βήματος φρικτοῦ, τίθενται θρόνοι φοβεροὶ, καὶ ἑκάστου αἱ πράξεις ἐλέγχονται. τότε ὁ Κριτὴς, ἀδυσώπητος· ἐκεῖ τὸ πῦρ δεινῶς, συμπαρίσταται, ὥσπερ ἀγρία θάλασσα, συνέχον, κατακαλύπτον τὰ πέρατα, σὺν πᾶσι τούτοις, βλέπε ψυχή μου, στέναξον πρὸ τοῦ τέλους.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη

Μαρτυρικόν.

Τῶν ἐν ὅλῳ τῷ Κόσμῳ Μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα, ἡ Ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι Χριστὲ ὁ Θεός· τῷ Λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Φοβερὸν τὸ μυστήριον, καὶ τὸ θαῦμα παράδοξον, πῶς ἡ Παρθένος σὲ τὸν Κτίστην τῶν ἁπάντων ἐβάστασε, καὶ μετὰ τόκον πάλιν σῴα καὶ Παρθένος διέμεινεν. ὁ τεχθεὶς ἐξ αὐτῆς τὴν Πίστιν στήριξον, τὰ Ἔθνη πράϋνον, καὶ τὸν Κόσμον εἰρήνευσον, ὡς φιλάνθρωπος.

Μετὰ τὴν β΄. [illegible] Ἦχος, πλ. δ΄.

Τὴν Σοφίαν, καὶ Λόγον.

Τῆς σοφίας τὸ ὕδωρ καὶ τῆς ζωῆς, ἀναβλύζων τῷ Κόσμῳ πάντας Σωτὴρ, καλεῖς τοῦ ἀρύσασθαι, σωτηρίας τὰ νάματα. τὸν γὰρ θεῖον νόμον σου, δεχόμενος ἄνθρωπος, ἐν αὐτῷ σβεννύει, τῆς πλάνης τοὺς ἄνθρακας. ὅθεν εἰς αἰῶνας, οὐ διψήσει οὐ λήξει, τοῦ κόρου σου Δέσποτα, Βασιλεῦ Ἐπουράνιε. διὰ τοῦτο δοξάζομεν, τὸ κράτος σου Χριστὲ ὁ Θεὸς, τῶν πταισμάτων ἄφεσιν αἰτούμενοι, καταπέμψαι πλουσίως τοῖς δούλοις σου.

Δίς.

Τό, Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν΄.

Ψάλλομεν τὸν Κανόνα τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν, εἰς η΄. καὶ τῶν Μηναίων, εἰς δ΄. Κοντάκιον, καὶ Ἐξαποστειλάριον τῆς Ἑορτῆς. Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στ. δ΄. καὶ ψάλλομεν στιχηρὸν Ἀναστάσιμον τῆς Ὀκτωήχου, ἦχος, δ΄. Δίς.

Ἐν τῷ Σταυρῷ σου Χριστὲ, τῆς ἀρχαίας κατάρας ἠλευθέρωσας ἡμᾶς. καὶ ἐν τῷ θανάτῳ σου, τὸν τὴν φύσιν ἡμῶν τυραννήσαντα, διάβολον κατήργησας. ἐν δὲ τῇ ἐγέρσει σου, χαρᾶς τὰ πάντα ἐπλήρωσας. διὸ βοῶμέν σοι· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Κατανυκτικόν.

Λοῦσόν με, τοῖς δάκρυσί μου Σωτὴρ, ὅτι ἐρρύπωμαι ἐν πολλαῖς ἁμαρτίαις, διὸ καὶ προσπίπτω σοι ἐλεῆμον, ἥμαρτον, ἐλέησόν με ὁ Θεός.

Μαρτυρικόν.

Ἀγγέλων συμμέτοχοι γεγόνατε Ἅγιοι Μάρτυρες, ἐν σταδίῳ τὸν Χριστὸν ἀνδρείως κηρύξαντες. πάντα γὰρ τὰ ἐν Κόσμῳ κατελίπατε τερπνὰ ὡς ἀνύπαρκτα, τὴν πίστιν δὲ ὡς ἄγκυραν ἀσφαλῆ ἐκρατήσατε. ὅθεν καὶ τὴν πλάνην ἀπελάσαντες, πηγάζετε τοῖς Πιστοῖς ἰαμάτων χαρίσματα, ἀπαύστως πρεσβεύοντες, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν, ἦχος, δ΄.

Κύριε πρὸ τοῦ ἀχράντου σου Σταυροῦ, τῆς Ἑορτῆς μεσούσης, ἐν τῷ Ἱερῷ ἀνῆλθες, Ἰουδαίους παρρησίᾳ διδάσκων τὰ Μωσέως, καὶ ἐν νόμῳ διὰ σὲ νομοθετηθέντα. ἐκπληττόμενοι δὲ Χριστὲ, τῆς σῆς σοφίας τὸ ἄφραστον μυστήριον, τὴν κατὰ σοῦ σκαιωρίαν ἐν ἑαυτοῖς φθόνῳ ἐμελέτων· πῶς οὗτος οἶδε γράμματα μὴ μεμαθηκώς; ἀγνοοῦντές σε τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στ. δ΄. Προσόμοια. ἦχος, β΄.

Ὁ οἶκος τοῦ Εὐφραθᾶ.

Τέλος ὢν καὶ ἀρχὴ, μεσότης τε ἐν μέσῳ, τῆς Ἑορτῆς ἐπέστης, τῷ Ἱερῷ Χριστέ μου, πηγάζων μοι τὴν ἄφεσιν.

Στ. Μνήσθητι τῆς συναγωγῆς σου.

Ἤκουσεν ἡ Σιὼν, τῆς Ἀναστάσεώς σου, τὸ θεῖον κράτος Λόγε, καὶ χαίρει σὺν τοῖς τέκνοις, ὑμνοῦσα σὲ τὸν εὔσπλαγχνον.

Στ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Σέλας τὸ ἐκ Πατρὸς, ἐξέλαμψας ὁ Λόγος, ἀλλ' ἐπ' ἐσχάτων χρόνων, ἐφάνης ὡς βροτός μοι, πταισμάτων νέμων ἄφεσιν.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ΄.

Μεσούσης τῆς Ἑορτῆς τοῦ Πάσχα, ἐν τῷ Ναῷ ἀνῆλθες, τοῦ Ἱεροῦ ὁ Σωτὴρ ἡμῶν. καὶ στὰς ἐν μέσῳ τοῦ ὄχλου, ἐδίδασκες αὐτοὺς παρρησίᾳ, καὶ ἔλεγες· ἐγώ εἰμι τὸ φῶς τοῦ Κόσμου. ὁ ἐμοὶ ἀκολουθῶν, οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ἀθανάτου ζωῆς.

Τῇ Γ΄. τῆς Ε΄. Ἑβδομάδος τῆς Σαμαρείτιδος, Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν Στ. ς΄. καὶ ψάλλομεν γ΄. τῆς Μεσοπεντηκοστῆς, γ΄. Δευτερώσαντες αὐτά, ἦχος, δ΄.

Κύριε ἀνελθὼν ἐν τῷ Σταυρῷ.

Πάρεστιν ἡ μεσότης ἡμερῶν, τῶν ἐκ σωτηρίου ἀρχομένων ἐγέρσεως. Πεν-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

τηκοστῇ δὲ τῇ θείᾳ σφραγιζομένη, καὶ λάμπει τὰς λαμπρότητας, ἀμφοτέρωθεν ἔχουσα, καὶ ἐν μέσῳ τὰς δύω, καὶ παρεῖναι τὴν δόξαν προφαίνουσα, τῆς Δεσποτικῆς Ἀναλήψεως σεμνύνεται.

Ἤκουσε καὶ εὐφράνθη ἡ Σιὼν, εὐαγγελισθείσης τῆς Χριστοῦ Ἀναστάσεως, οἱ δὲ πιστοὶ αὐτῆς γόνοι ἠγαλλιάσαντο, τοῦτον θεασάμενοι, καὶ ἐκπλύνοντα Πνεύματι, ῥύπον Χριστοκτονίας. εὐτρεπίζεται πανηγυρίζουσα, τὴν τῶν ἑκατέρων εὐφρόσυνον μεσότητα.

Ἤγγικεν ἡ τοῦ θείου δαψιλὴς, χύσις ἐπὶ πάντας ὥσπερ γέγραπται Πνεύματος, ἡ προθεσμία κηρύττει ἡμισευθεῖσα, τῆς μετὰ Χριστοῦ θάνατον, καὶ ταφὴν καὶ Ἀνάστασιν, παρ᾽ αὐτοῦ δεδομένης, ἀψευδοῦς Μαθηταῖς ὑποσχέσεως, τὴν τοῦ Παρακλήτου δηλούσης ἐπιφάνειαν.

Δόξα, καὶ νῦν, ἦχος πλ. β΄.

Τῆς Ἑορτῆς μεσούσης, τῆς σῆς Χριστὲ Ἀναστάσεως, καὶ θείας παρουσίας τοῦ Ἁγίου σου Πνεύματος, συνελθόντες τῶν θαυμάτων σου, ἀνυμνοῦμεν τὰ μυστήρια, ἐν οἷς κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν στ. στ. Ἰδιόμελα. ἦχος α΄.

Πεντηκοστῆς ἐφέστηκεν ἡ τῶν ἡμερῶν μεσότης, ἐν ᾗ Χριστὸς παραγυμνώσας ἀμυδρῶς θεϊκὴν δυναστείαν, Παράλυτον συνέσφιγξε, λόγῳ αὐτὸν τῆς κλίνης ἐξαναστήσας. καὶ θεοπρεπῶς θαυματουργῶν ἐν ὀστρακίνῳ σώματι, τοῖς ἀνθρώποις ἐδωρήσατο, τὴν αἰώνιον ζωὴν καὶ τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Στίχ. Μνήσθητι τῆς Συναγωγῆς σου.

ἘΝ τῷ Ἱερῷ ἐπέστης ἡ σοφία τοῦ Θεοῦ, μεσούσης τῆς Ἑορτῆς, διδάσκων καὶ ἐλέγχων, τοὺς ἀπειθεῖς Ἰουδαίους, τοὺς Φαρισαίους, καὶ Γραμματεῖς, καὶ βοῶν παρρησίᾳ πρὸς αὐτούς· ὁ διψῶν ἐρχέσθω πρός με, καὶ πινέτω ὕδωρ ζωηρὸν, καὶ οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα· ὁ πιστεύων τῇ ἐμῇ χρηστότητι, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ ζωῆς αἰωνίου. ὢ τῆς ἀγαθότητος, καὶ τῆς εὐσπλαγχνίας σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Στίχ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Ὅτε τὸ μέσον τῆς Ἑορτῆς ἐπέστη, ἀνέβη ὁ Ἰησοῦς ἐπὶ τὸ Ἱερὸν, καὶ ἐδίδασκε τοὺς ἀπειθεῖς Ἰουδαίους, λέγων· ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω, ὕδωρ ζωηρὸν αἰώνιον, καὶ οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα. ὁ πιστεύων εἰς ἐμὲ, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ, καὶ ἕξει τὸ φῶς τῆς ζωῆς.

Δόξα, καὶ νῦν, ἦχος πλ. δ΄.

Μεσούσης τῆς Ἑορτῆς, διδάσκοντός σου Σωτὴρ, ἔλεγον οἱ Ἰουδαῖοι· πῶς οὗτος οἶδε γράμματα μὴ μεμαθηκώς; ἀγνοοῦντες, ὅτι σὺ εἶ ἡ σοφία, ἡ κατασκευάσασα τὸν Κόσμον, δόξα σοι.

Τροπάριον. Μεσούσης τῆς Ἑορτῆς.

Τὸ αὐτὸ καὶ εἰς τὸ, Θεὸς Κύριος.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. καὶ β΄. στιχολ. κάθ. τῆς Ἑορτῆς. Τό, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν΄. Καὶ οἱ Κανόνες, ὁ δ΄. μετὰ τῶν Εἱρμῶν, εἰς η΄. Καὶ ὁ παρὼν εἰς ς΄. Τὸ Κοντάκιον, καὶ τὸν Οἶκον τῆς Ἑορτῆς, καὶ τὸ Ἐξαποστειλάριον.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοὴ, ἱστῶμεν στίχ. δ΄. ζήτει εἰς τὴν ἡμέραν τῆς Ἑορτῆς, ὁμοίως καὶ τὸ Δοξαστικόν. Δοξολογ. μεγάλη, καὶ Ἀπόλ. Εἰς τὴν Λειτουργ. Προκείμενον. Ἀλληλουϊάριον τῆς Ἑορτῆς, ἡ Πρᾶξις τῆς ἡμέρας, καὶ τὸ Εὐαγγέλιον.

Κοινωνικόν. Ὁ τρώγων μου τὴν Σάρκα, καὶ πίνων μου τὸ Αἷμα, ἐν ἐμοὶ μένει.

Καὶ ἀποδίδοται ἡ Ἑορτή.

Τῇ Δ΄. τῆς Ε΄. Ἑβδομάδος τῆς Σαμαρείτιδος Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν γ΄. Προσόμοια τῆς Σαμαρείτιδος, γ΄. ἦχος, δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Παρὰ τὸ φρέαρ Χριστὸς τὴν Σαμαρεῖτιν, ἀγρεύων ἐζητήσατο, ὕδωρ πιεῖν ἐξ αὐτῆς, διψῶν τὴν ταύτης διόρθωσιν, καὶ σωτηρίαν, ὃ καὶ ἐμνώθη ἔργοις πληρούμενον. ταύτην γὰρ ἀνέλκυσαν πόμα τοῦ πόματος, αὐτὸς ἀνέλκει καὶ πόματος, πληροῖ τοῦ ζῶντος, τοῖς συμπολίταις διαγορεύουσαν· ἰδοὺ ὁ πάλαι, ἐν τῷ νόμῳ ῥηθεὶς, Μεσσίας Χριστὸς ἐπεφάνη ὡς ἄνθρωπος, ἐν ὁμοιώματι κεκρυμμένων, ἐκκαλύπτων τὰ ἀπόρρητα.

Ὅμοιον.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Ὅμοιον.

Ἐδοὺ Μεσσίας Χριστὸς τοῖς ἐν τῇ πόλει, ἐν γῇ πεφανέρωται, ἡ Σαμαρεῖτις φησὶν, ὁ γεγραμμένος ἐλεύσεσθαι, ἐν Νόμῳ πάλαι, Προφήτης μέγας Θεὸς καὶ ἄνθρωπος, ὃς καὶ τὰ πρακτέα μοι ἐπεξηγήσατο, καὶ τὰ ἐν βάθει καρδίας μου, ἐγκεκρυμμένα, πάντα μοι εἶπεν ὡς ἐπετέλεσα. ὅθεν ἡ πόλις συνδραμοῦσα ὁρᾷ, τοὺς λόγους αὐτῆς κατὰ πάν ἀληθεύοντας, καὶ τὸ πρᾶγμα θαυμάζει, καὶ πιστοῦται τῷ θεάματι. Ὅμοιον.

Ἐν τὸν ἐν ἕκτῃ τῇ ὥρᾳ ὡς Δεσπότην, ποτὲ πρὸς Παράδεισον, περιπατοῦντα Θεὸν, ἡ τῆς Προμήτορος ἔβλεψε, θυγάτηρ πάλιν, ἐν ὥρᾳ ἕκτῃ οὕτω καθήμενον. ἔνθα πηγὴ ὕδατος, καὶ φρέαρ ὠρυκτὸ, καὶ ἐξ αὐτῆς ἐξαιτούμενον, πιεῖν ὡς ὕδωρ, αὐτὴν ποτίσῃς ζωῆς ἀλλόμενον. ὃ καὶ ἐπράχθη, καὶ τοῦ ὕδατος, ζωηφόρου τοῦ σοῦ ἐκροφήσασα, καὶ ἐν πόλει κηρύττει, τὴν τοῦ νάματος δαψίλειαν. Καὶ τοῦ Μηναίου, γ.

Δόξα, καὶ νῦν, ἦχος, α.

Ἐπὶ τὴν πηγὴν ἐπέστης, ἡ πηγὴ τῶν θαυμάτων, ἐν τῇ ἕκτῃ ὥρᾳ τῆς Εὔας ζωγρῆσαι καρπόν· ἡ γὰρ Εὔα ἐν ταύτῃ ἐξελήλυθεν ἐκ τοῦ Παραδείσου ἀπάτῃ τοῦ ὄφεως. ἤγγικε γὰρ ἡ Σαμαρεῖτις ἀντλῆσαι ὕδωρ· ἣν ἰδὼν ἔφη ὁ Σωτήρ. δός μοι ὕδωρ πιεῖν, κἀγὼ ὕδατος ἀλλομένου ἐμπλήσω σε· καὶ εἰς τὴν πόλιν δραμοῦσα ἡ σώφρων τοῖς ὄχλοις ἀπήγγειλεν εὐθύς. δεῦτε ἴδετε Χριστὸν τὸν Κύριον, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου.

Ἀναστάσιμον, ἦχος, δ.

Πύλας ᾅδου συνέτριψας Κύριε, καὶ τῷ σῷ θανάτῳ, τοῦ θανάτου τὸ βασίλειον ἔλυσας. γένος δὲ τὸ ἀνθρώπινον, ἐκ φθορᾶς ἠλευθέρωσας, ζωὴν καὶ ἀφθαρσίαν τῷ Κόσμῳ δωρησάμενος, καὶ τὸ μέγα ἔλεος.

Ἀποστολικόν.

Τῶν Ἀποστόλων τὸν χορὸν, Πνεύματι ἁγίῳ ἐφώτισας Χριστέ. καὶ ἡμῶν τὸν ῥύπον τῆς ἁμαρτίας, δι' αὐτῶν ἀπόπλυνον ὁ Θεὸς, καὶ ἐλέησον ἡμᾶς.

Μαρτυρικόν.

Ἔχοντες παῤῥησίαν πρὸς τὸν Σωτῆρα ἅγιοι, πρεσβεύσατε ἀπαύστως, ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν, ἄφεσιν πταισμάτων αἰτούμενοι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Δόξα, καὶ νῦν. ἦχος, β.

Ἐπὶ τὸ φρέαρ ὡς ἦλθεν ὁ Κύριος, ἡ Σαμαρεῖτις ἠρώτα τὸν εὔσπλαγχνον· παράσχου μοι τὸ ὕδωρ τῆς Πίστεως, καὶ λήψομαι τῆς κολυμβήθρας τὰ νάματα, ἀγαλλίασιν καὶ λύτρωσιν, ζωοδότα Κύριε δόξα σοι. Τροπάριον. Τὸ φαιδρὸν τῆς Ἀναστάσεως.

Τῇ Ε'. τῆς Ε'. Ἑβδομ. τῆς Σαμαρείτιδος εἰς τὸν Ὄρθρον, μετὰ τὴν α. στιχολ. καθισ.

Ἀναστάσιμον. ἦχος, δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ Σταυρωθεὶς ὑπὲρ ἡμῶν ἑκουσίως, καὶ λογισθεὶς ἐν τοῖς νεκροῖς ζωοδότα, καὶ ἀναστὰς τριήμερος Χριστὲ ὁ Θεὸς, ἔθραυσας δυνάμει σου, τοῦ θανάτου τὸ κράτος, πάντας τῇ ἐγέρσει σου, τοὺς ἐν ᾅδῃ ζωώσας. καὶ ἀνυμνοῦντες σέβομεν τὴν σὴν, ἔγερσιν πάντες, ἀθάνατε Κύριε.

Ἀποστολικόν. Ταχὺ προκατάλαβε.

Φωστῆρας εἰς τὰ πέρατα, τοὺς Μαθητάς σου Σωτὴρ, ἀνέδειξας ἐκλάμποντας, ἐν τῷ κηρύγματι, τῷ σῷ καὶ φωτίζοντας ἡμῶν τὰς ψυχὰς, πλάνην τὴν τῶν εἰδώλων, δι' αὐτῶν ἀμαυρώσας, δόγμασιν εὐσεβείας καταλάμψας τῷ Κόσμῳ. αὐτῶν ταῖς ἱκεσίαις σῶσον τὰς ψυχὰς ἡμῶν.

Μαρτυρικόν. Ὅμοιον.

Σταυρῷ ὁπλισάμενοι, οἱ Ἀθλοφόροι σου, τὴν πλάνην ἐνίκησαν, τοῦ ἀρχεκάκου ἐχθροῦ, Χριστὲ ὁ Θεὸς ἡμῶν. ἔλαμψαν ὡς φωστῆρες, τοὺς βροτοὺς ὁδηγοῦντες. νέμουσι τὰς ἰάσεις, τοῖς ἐν πίστει αἰτοῦσιν. αὐτῶν ταῖς ἱκεσίαις σῶσον τὰς ψυχὰς ἡμῶν. Θεοτοκίον. Ὅμοιον.

Παρθένε πανάμωμε, τὸν ὑπεράγαθον, Θεὸν ἡ κυήσασα, σὺν Ἀποστόλοις αὐτὸν, ἀπαύστως ἱκέτευε, ἄφεσιν τῶν πταισμάτων, καὶ διόρθωσιν βίου, δοῦναι ἡμῖν πρὸ τέλους, τοῖς ἐν πίστει καὶ πόθῳ, ὑμνοῦσί σε κατὰ χρέος μόνη Πανύμνητε.

Μετὰ τὴν β. στιχολ. καθισ. ἦχος, πλ. β'.

Ἐλπὶς τοῦ Κόσμου.

Ἐν τῇ πιστῇ Σαμαρείτιδι Κύριε, τῆς Θεότητος τῆς σῆς, τὴν πηγὴν ἐνέω-



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Βιβλιοθήκη Σιάτιστας Μανούσεια

ξας, καὶ ἔλυσας θεογνωσίαν ἐπ' αὐτῇ, ἀρδάων πόμα θεόληπτον. καὶ νῦν πᾶσιν ἡμῖν κατάπεμψον, πταισμάτων ἱλασμὸν ὑπεράγαθε. Δίς.

Τό, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν'. Οἱ Κανόνες τῆς Σαμαρείτιδος μετὰ τῶν Εἱρμῶν, εἰς η'. καὶ τοῦ Μηναίου, εἰς δ'. Τὸ Κοντάκιον, καὶ τὸν Οἶκον τῆς Σαμαρείτιδος, καὶ τὸ Ἐξαποστειλάριον. Δίς.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχ. Ἀναστάσιμον τῆς Ὀκτωήχου,

Δίς. Ἦχος δ'.

Τῶν πατρικῶν σου κόλπων μὴ χωρισθεὶς μονογενὲς Λόγε τοῦ Θεοῦ, ἦλθες ἐπὶ γῆς διὰ φιλανθρωπίαν, ἄνθρωπος γενόμενος ἀτρέπτως, καὶ Σταυρὸν καὶ θάνατον ὑπέμεινας σαρκί, ὁ ἀπαθὴς τῇ Θεότητι. ἀναστὰς δὲ ἐκ νεκρῶν, ἀθανασίαν παρέσχες τῷ γένει τῶν ἀνθρώπων, ὡς μόνος Παντοδύναμος. Ἀποστολικόν.

Τοὺς ἀγραμμάτους Μαθητάς, τὸ Πνεῦμά σου τὸ Ἅγιον, παιδευτὰς ἀνέδειξε Χριστὲ ὁ Θεός, καὶ τῇ πολυφθόγγῳ ἁρμονίᾳ τῶν γλωσσῶν, τὴν πλάνην κατήργησεν ὡς Παντοδύναμος. Μαρτυρικόν.

Πῶς ὑμῶν θαυμάσωμεν, τοὺς ἀγῶνας ἅγιοι Μάρτυρες, ὅτι σῶμα θνητὸν περικείμενοι, τοὺς ἀσωμάτους ἐχθροὺς ἐτροπώσασθε; οὐκ ἐφόβησαν ὑμᾶς τῶν τυράννων αἱ ἀπειλαί. οὐ κατέπτηξαν ὑμᾶς τῶν βασάνων αἱ προσβολαί. ὄντως ἀξίως παρὰ Χριστοῦ ἐδοξάσθητε, ἀπαύστως πρεσβεύσατε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Ἦχος β'.

Ὁ συνάναρχος καὶ συναΐδιος Υἱὸς καὶ Λόγος τοῦ Πατρός.

Ζήτει εἰς τὴν Ἑορτήν.

Εἰς τὸν στ. στιχ. Προσόμοια τῆς Σαμαρείτιδος, ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἡ πηγὴ ἀγαθότητος, καθυπάρχων καὶ πέλαγος, τῆς ζωῆς ταμίας τε, μόνε εὔσπλαγχνε, πῶς γυναικὶ Σαμαρείτιδι, ὁμιλῶν ἐφώνησας, δός μοι ὕδωρ τοῦ πιεῖν, ὅπως λάβῃς τὴν ἄφεσιν; ἀνυμνοῦμέν σου, τὴν πολλὴν εὐσπλαγχνίαν, δι' ἧς σώζεις, τῶν βροτῶν ἅπαν τὸ γένος, διὰ πολλὴν ἀγαθότητα.

στ. Ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε.

Δεῦτε ἴδετε ἄνθρωπον, ὃς ἐξεῖπέ μοι σήμερον, τῇ πηγῇ καθήμενος τί ἐποίησα· Προφήτης γὰρ ἀληθέστατος, ὑπάρχει καὶ μέγιστος, τὰ κρυπτὰ καὶ φανερά, ἐπιστάμενος ἅπαντα. ἀλλὰ δώρησαι, ὕδωρ ζῶν ὃ παρέχεις, τοῖς διψῶσιν, ἵνα μὴ διψήσω πάλιν, εἰς τὸν αἰῶνα φιλάνθρωπε.

στ. Ἠγάπησας δικαιοσύνην.

Ἡ Πηγὴ ἡ ἀέναος, ἡ ζωὴ ἡ ἀθάνατος, ῥεῖθρον τὸ ἀκένωτόν τε καὶ ἄφθαρτον, ὁδοιπορήσας ἐκάθητο, πλησίον τοῦ φρέατος, τοὺς οἰκείους Μαθητάς, ἀποστείλας πρὸς βρώματα. προσωμίλει δέ, γυναικὶ ἀπαντλούσῃ, ταύτην θέλων, τοῦ θηρεῦσαι καὶ φωτίσαι, τὰ τῆς ψυχῆς αὐτῆς ὄμματα.

Δόξα, καὶ νῦν. Ἦχος γ'.

Ἀγαλλιάσθω σήμερον φαιδρῶς ὁ Οὐρανός καὶ ἡ γῆ, ὅτι Χριστὸς πεφανέρωται σαρκούμενος ὡς ἄνθρωπος, ἵνα τὸν Ἀδὰμ ἐξάρῃ ἐκ κατάρας παγγενῆ. καὶ θαυμαστοῦται θαύμασιν, ἐν Σαμαρείᾳ προσαφικόμενος. γυναικὶ δὲ παρέστη, ὕδωρ ζητῶν, ὁ νεφέλαις ὕδασι περιβαλλόμενος. διὸ πάντες οἱ Πιστοὶ προσκυνήσωμεν, τὸν δι' ἡμᾶς ἑκουσίως πτωχεύσαντα εὐσπλάγχνῳ βουλῇ.

Τῇ Ε'. τῆς Ε'. Ἑβδομάδος τῆς Σαμαρείτιδος Ἑσπέρας. εἰς τό, Κύριε ἐκέκραξα, στ. Προσόμοια, ἦχος δ'.

Κύριε ἀνελθὼν ἐν τῷ Σταυρῷ.

Ἴδετε ὃν προέγραψε Μωσῆς, Ἰησοῦν Μεσσίαν ἐν τῷ νόμῳ ἐλεύσεσθαι, ἐπὶ τῆς γῆς θεαθέντα, δι' εὐσπλαγχνίαν μοι, κἀμοὶ προσομιλήσαντα, ὡς βροτὸν ἐν τῷ φρέατι. ὄντως οὗτος ὑπάρχει ὁ Χριστός, ὁ ἐν Κόσμῳ ἐρχόμενος, τοῖς ἐν τῇ Σιχὰρ Σαμαρεῖτις ὤφθη λέγουσα.

Στόματος ἐξ ἡδέος γυναικός, ὕδατος ποτίμου γλυκεροῦ ἀναβλύζοντος, οἱ ἐν τῇ Πόλει πιόντες, καὶ πρὸς τὸ φρέαρ τὸ ῥέον τὴν δαψίλειαν, τὴν τοῦ νάματος, ἔσπευδον, ἀναχθῆναι τὸ τάχος, καὶ πηγὴν κατιδεῖν τὴν ἀέναον, τὴν τὰς ἐκτακείσας ψυχὰς ἐπαναψύχουσαν.

Ὑπόμορφον κατιδόντες τὴν πηγήν, καὶ ὁμοειδῆ τῆς τῶν ἀνθρώπων συστάσεως,



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΑΤΙΣΤΗΣ

τῇ γυναικὶ ἐπεβόων, οἱ ἐν τῇ πόλει· οὐκ ἔτι διὰ τὴν ἡμετέραν λαλιὰν πεπιστεύκαμεν, ἀληθῶς ἐπιγνόντες, ὅτι οὗτος ὑπάρχει, ἡ λύτρωσις, καὶ ἡ σωτηρία τοῦ Κόσμου ἡ αἰώνιος.

Καὶ τοῦ Μηναίου, γ΄.

Δόξα, καὶ νῦν, ἦχος, πλ. β΄.

Ἄρα τὸ φρέαρ τοῦ Ἰακὼβ, εὑρὼν ὁ Ἰησοῦς τὴν Σαμαρείτιδα, αἰτεῖ ὕδωρ παρ᾽ αὐτῆς, ὁ νέφεσι καλύπτων τὴν γῆν. ὢ τοῦ θαύματος, ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, πόρνῃ γυναικὶ διελέγετο. ὕδωρ αἰτῶν, ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας. ὕδωρ ζητῶν, ὁ πηγὰς καὶ λίμνας ὑδάτων ἐκχέων, θέλων ἑλκύσαι ὄντως αὐτὴν, τὴν θηρευομένην ὑπὸ τοῦ πολεμήτορος ἐχθροῦ, καὶ ποτίσασθαι ὕδωρ ζῶν, τὴν φλεγομένην ἐν τοῖς ἀτοπήμασι δεινῶς, ὡς μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Εἰς τὸν α΄ ἦχ. Σταυρώσιμον.

ἦχος, δ΄.

Ἄντοτε ἔχοντες Χριστὲ, τὸν Σταυρόν σου εἰς βοήθειαν, τὰς παγίδας τοῦ ἐχθροῦ, εὐχερῶς καταπατοῦμεν.

Ἀναστάσιμον.

Κύριε ἀνελθὼν ἐν τῷ Σταυρῷ, τὴν προγονικὴν ἡμῶν κατάραν ἐξήλειψας, καὶ κατελθὼν ἐν τῷ ᾅδῃ, τοὺς ἀπ᾽ αἰῶνος δεσμίους ἠλευθέρωσας, ἀφθαρσίαν δωρούμενος τῷ ἀνθρώπων τῷ γένει. διὰ τοῦτο ὑμνοῦντες δοξάζομεν, τὴν ζωοποιὸν, καὶ σωτήριόν σου ἔγερσιν.

Μαρτυρικόν.

Ἱερεῖα ἔμψυχα, ὁλοκαυτώματα λογικὰ, Μάρτυρες Κυρίου, θύματα τέλεια Θεοῦ, Θεὸν γινώσκοντα, καὶ Θεῷ γινωσκόμενα· πρόβατα, ὧν ἡ μάνδρα λύκοις ἀνεπίβατος· πρεσβεύσατε, καὶ ἡμᾶς συμποιμανθῆναι ὑμῖν, ἐπὶ ὕδατος ἀναπαύσεως.

Δόξα, καὶ νῦν. ἦχος, πλ. β΄.

Τάδε λέγει Κύριος τῇ Σαμαρείτιδι· εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι· δός μοι ὕδωρ πιεῖν; σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκέ σοι πιεῖν, ἵνα μὴ διψήσῃς εἰς τὸν αἰῶνα, λέγει Κύριος.

Τῇ ς΄. τῆς Ε΄. Ἑβδομάδος τῆς Σαμαρείτιδος. Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολογίαν τῆς Ὀκτωήχου Σταυρώσιμον, ἦχος, δ΄.

Ταχὺ προκατάλαβε.

Σταυρῷ σε προσήλωσαν οἱ Ἰουδαῖοι Σωτὴρ, δι᾽ οὗ ἐκ τῶν Ἐθνῶν ἡμᾶς ἀνεκαλέσω στοργῇ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἥπλωσας τὰς παλάμας, ἐν αὐτῷ σῇ βουλήσει, λόγχῃ δὲ τὴν πλευράν σου, κατεδέξω νυγῆναι· τῷ πλήθει τῶν οἰκτιρμῶν σου, δόξα φιλάνθρωπε.

Μαρτυρικόν.

Οἱ Μάρτυρές σου Κύριε ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο, τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν. ἔχοντες τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση. αὐτῶν ταῖς ἱκεσίαις σῶσον τὰς ψυχὰς ἡμῶν.

Σταυροθεοτοκίον.

Σταυρῷ σε ὑψούμενον ὡς ἐθεάσατο, ἡ ἄχραντος Μήτηρ σου, Λόγε Θεοῦ μητρικῶς, θρηνοῦσα ἐφθέγγετο· τί τὸ καινὸν καὶ ξένον, τοῦτο θαῦμα Υἱέ μου; πῶς ἡ ζωὴ τῶν ὅλων, ὁμιλεῖς τῷ θανάτῳ; ζωῶσαι τοὺς τεθνεῶτας θέλων ὡς εὔσπλαγχνος.

Μετὰ τὴν β΄. στιχολογίαν, Κάθισμα τῆς Ἑορτῆς, ἦχ. δ΄.

Ταχὺ προκατάλαβε.

Ἐκ φρέατος νάματα, τοῦ γηροῦ καὶ φθαρτοῦ, ἐλθοῦσα ὡς σύνηθες ἡ Σαμαρεῖτις ἀντλεῖν, τὸ ζῶν ὕδωρ ἤντλησεν. οὕτως εὐφρανθεῖσα τὴν πηγὴν καθημένην, ἔνθα πηγὴ καὶ φρέαρ, Ἰακὼβ διωρύχθη, Κόσμου τοὺς φλογοστρόφους ἀρδεύουσα καύσωνας.

Τὸ, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν΄. Οἱ Κανόνες, τῆς Σαμαρείτιδος μετὰ τῶν Εἱρμῶν, εἰς η΄. καὶ τοῦ Μηναίου, εἰς δ΄. Κοντάκιον, καὶ Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, ἦχ. Σταυρώσιμον τῆς Ὀκτωήχου, ἦχος, δ΄.

Ἔδωκας σημείωσιν, τοῖς φοβουμένοις σε Κύριε, τὸν Σταυρόν σου τὸν τίμιον, ἐν ᾧ ἐθριάμβευσας, τὰς ἀρχὰς τοῦ σκότους, καὶ τὰς ἐξουσίας, καὶ ἐπανήγαγες ἡμᾶς, εἰς τὴν ἀρχαίαν μακαριότητα. διό σου τὴν φιλάνθρωπον, οἰκονομίαν δοξάζομεν, Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἀναστάσιμον. Δίς.

Ψῶ, σῷ Σταυρῷ Χριστὲ Σωτὴρ, ὁδήγησον ἡμᾶς ἐπὶ τὴν ἀλήθειάν σου, καὶ ῥῦσαι ἡμᾶς τῶν παγίδων τοῦ ἐχθροῦ. ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἀνάστησον ἡμᾶς πεσόντας τῇ ἁμαρτίᾳ, ἐκτείνας τὴν χεῖρά σου φι-

λάνθρωπε Κύριε, τῇ πρεσβείᾳ τῶν Ἁγίων σου.

Μαρτυρικόν.

Τίμιος ὁ θάνατος, τῶν Ἁγίων σου Κύριε. ξίφεσι γὰρ καὶ πυρὶ καὶ ψύχει συντετριμμένοι, ἐξέχεαν τὸ αἷμα αὐτῶν· ἐλπίδα ἔχοντες εἰς σέ, ἀπολαβεῖν τοῦ καμάτου τὸν μισθόν. ὑπέμειναν καὶ ἔλαβον, παρὰ σοῦ Σῶτερ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος, πλ. β'.

Ἡ Πηγὴ τῆς ζωαρχίας, Ἰησοῦς ὁ Σωτὴρ ἡμῶν, ἐπὶ τὴν πηγὴν ἐπιστὰς τοῦ Πατριάρχου Ἰακώβ, πιεῖν ἐζήτει ὕδωρ παρὰ γυναικὸς Σαμαρείτιδος. τῆς δὲ τὸ ἀκοινώνητον τῶν Ἰουδαίων προσειπούσης, ὁ σοφὸς δημιουργὸς μετοχετεύει αὐτήν, ταῖς γλυκέσι προσρήσεσι, μᾶλλον πρὸς αἴτησιν τοῦ ἀϊδίου ὕδατος. ὃ καὶ λαβοῦσα τοῖς πᾶσιν ἐκήρυξεν εἰποῦσα· δεῦτε ἴδετε τῶν κρυπτῶν γνώστην καὶ Θεόν, παραγενόμενον σαρκί, διὰ τὸ σῶσαι τὸν ἄνθρωπον.

Εἰς τὸν στίχον. Προσόμοια, ἦχος, δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἡ ἐφ' ὑδρείας ἀρδεύσασθαι, ἀπελθοῦσα ἐν φρέατι, τὴν ὑδρίαν ἄνυδρον καταλείψασα, μόνη πρὸς πόλιν ἐπέδραμε, πηγὴν τὴν ζωήρρυτον, ἐκβοῶσα ἐφευρεῖν, Σαμαρεῖτις τὴν ἄφθονον. ὅθεν ἤρδευσε, τὸ σωτήριον νᾶμα, καὶ τὴν ταύτης, ἐπανέψυξε καρδίαν, τὴν ἐκτακεῖσαν τοῖς πάθεσιν.

Στίχ. Ἔντεινε καὶ κατευοδοῦ.

Ἀληθῶς εἶπας εἴρηκεν, ὁ Σωτὴρ Σαμαρείτιδι, ὡς οὐκ ἔχεις σήμερον ἄνδρα νόμιμον. πέντε γὰρ ἔσχες τὸ πρότερον, καὶ νῦν ὅνπερ κέκτησαι, οὐχ ὑπάρχει σου ἀνήρ, ἀλλὰ μόνον ἀλλότριος. ἡ καὶ ᾄσασα, τοῖς ἐν πόλει ἐβόα· εἶδον ἄνδρα, ὃς ἐξεῖπέ μοι τὰ πάντα, ὅσα κρυφίως ἐποίησα.

Στίχ. Ἠγάπησας δικαιοσύνην.

Ῥεῖθρον ἄλλο ζωήρρυτον, Οὐρανίου ἐκ φρέατος, Σαμαρεῖτις ἤντλησεν ἐπὶ φρέατος, τοῦτο ἄρσασα χεόμενον, ἐξ οὗ τὸ ἐπίκηρον, εἶχε συνήθες ἀντλεῖν, ὕδωρ ἄλλο τὸ χθόνιον, ὃ ἀλλόμενον, ἐν τῇ ταύτης καρδίᾳ, ἀνεδείχθη, ὡς πηγή τις ἄλλη νέα, παθῶν δροσίζουσα καύσωνας.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'.

Ὡς ὤφθης ἐν σαρκὶ Χριστὲ ὁ Θεός, δι' ἄφατον οἰκονομίαν, ἀκούσασα ἡ Σαμαρεῖτις τοῦ λόγου σου τοῦ φιλανθρώπου, κατέλιπε τὸ ἄντλημα ἐπὶ τὸ φρέαρ, καὶ ἔδραμε λέγουσα τοῖς ἐν τῇ πόλει· δεῦτε ἴδετε καρδιογνώστην. μήτι οὗτος ὑπάρχει ὁ προσδοκώμενος Χριστός; ὁ ἔχων τὸ μέγα ἔλεος.

Τῇ ς'. τῆς Ε'. Ἑβδομάδος τῆς Σαμαρείτιδος Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν τὰ τῆς Σαμαρείτιδος, γ'. καὶ τοῦ Μηναίου, γ'.

Ἦχος, α'.

Ἐπὶ τὴν πηγὴν ἐπέστης, ἡ πηγὴ τῶν θαυμάτων, ἐν τῇ ἕκτῃ ὥρᾳ τῆς Εὔας ζωγρῆσαι καρπόν· ἡ γὰρ Εὔα ἐν ταύτῃ ἐξεληλύθει ἐκ τοῦ Παραδείσου, ἀπάτῃ τοῦ ὄφεως. ἤγγικε γὰρ ἡ Σαμαρεῖτις ἀντλῆσαι ὕδωρ, ἣν ἰδὼν ἔφη ὁ Σωτήρ· δός μοι ὕδωρ πιεῖν, κἀγὼ ὕδατος ἀλλομένου ἐμπλήσω σε. καὶ εἰς τὴν πόλιν δραμοῦσα ἡ σώφρων, τοῖς ὄχλοις ἀπήγγειλεν εὐθύς· δεῦτε ἴδετε Χριστὸν τὸν Κύριον, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ἦχος, β'.

Ἐπὶ τὸ φρέαρ, ὡς ἦλθεν ὁ Κύριος, ἡ Σαμαρεῖτις ἠρώτα τὸν εὔσπλαγχνον, παράσχου μοι τὸ ὕδωρ τῆς Πίστεως, καὶ λήψομαι τῆς κολυμβήθρας τὰ νάματα, ἀγαλλίασιν καὶ λύτρωσιν, ζωοδότα Κύριε δόξα σοι.

Ὁ αὐτός.

Ὁ Συνάναρχος καὶ συναΐδιος Υἱὸς καὶ Λόγος τοῦ Πατρός, ἐπὶ τὴν πηγὴν ἐπέστη, ἡ πηγὴ τῶν ἰαμάτων. καὶ γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ παραγέγονεν. ἣν ἰδὼν ἔφη ὁ Σωτήρ· δός μοι ὕδωρ πιεῖν, καὶ ἀπελθοῦσα φώνησον σου τὸν ἄνδρα. ἡ δὲ ὡς ἀνθρώπῳ διαλεγομένη καὶ οὐ Θεῷ, λαθεῖν σπουδάζουσα ἔλεγεν· οὐκ ἔχω ἄνδρα. καὶ ὁ Διδάσκαλος πρὸς αὐτήν· ἀληθῶς εἶπας, οὐκ ἔχω ἄνδρα. πέντε γὰρ ἔσχες, καὶ νῦν ὃν ἔχεις, οὐκ ἔστι σου ἀνήρ. ἡ δὲ ἐπὶ τῷ ῥήματι ἐκπλαγεῖσα, καὶ εἰς τὴν πόλιν δραμοῦσα, τοῖς ὄχλοις ἐβόα λέγουσα· δεῦτε ἴδετε Χριστόν, ὃς δωρεῖται τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Καὶ τοῦ Μηναίου, γ'.

Δόξα, ἦχος, πλ. β'.

Παρὰ τὸ φρέαρ τοῦ Ἰακώβ, ὁρῶν ὁ Ἰησοῦς τὴν Σαμαρείτιδα, αἰτεῖ ὕδωρ παρ' αὐτῆς, ὁ νέφεσι καλύπτων τὴν γῆν· ὢ τοῦ

θαύ-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

θαύματος, ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, πόρνῃ γυναικὶ διελέγετο. ὕδωρ αἰτῶν, ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας. ὕδωρ ζητῶν, ὁ πηγὰς καὶ λίμνας ὑδάτων ἐκχέων. θέλων ἑλκύσαι ὄντως αὐτὴν, τὴν θηρευομένην ὑπὸ τοῦ πολεμήτορος ἐχθροῦ, καὶ ποτίσασθαι ὕδωρ ζῶν τὴν φλεγομένην ἐν τοῖς ἀτοπήμασι δεινῶς, ὡς μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Καὶ νῦν. Θε. ἦχος δ'.

Ὁ Διὰ σὲ Θεοπάτωρ Προφήτης Δαβὶδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖά σοι ποιήσαντι· παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου. σὲ γὰρ Μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεός· ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρὼν, πρόβατον τοῖς ὤμοις ἀναλαβὼν, τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι, ταῖς Οὐρανίαις συνάψῃ Δυνάμεσι, καὶ σώσῃ Θεοτόκε τὸν Κόσμον, Χριστὸς, ὁ ἔχων τὸ μέγα καὶ πλούσιον ἔλεος.

Εἰς τὸν Στ. Ἀναστάσιμα τῆς Ὀκτωήχου, ἦχος δ'.

Τὸν ζωοποιόν σου Σταυρὸν, ἀπαύστως προσκυνοῦντες Χριστὲ ὁ Θεὸς, τὴν τριήμερόν σου Ἀνάστασιν δοξάζομεν. δι' αὐτῆς γὰρ ἀνεκαίνισας, τὴν καταφθαρεῖσαν τῶν ἀνθρώπων φύσιν Παντοδύναμε, καὶ τὴν εἰς Οὐρανοὺς ἄνοδον καθυπέδειξας ἡμῖν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Στ. Ὁ Κύριος ἐβασίλευσεν.

Τοῦ ξύλου τῆς παρακοῆς, τὸ ἐπιτίμιον ἔλυσας Σωτὴρ, τῷ ξύλῳ τοῦ Σταυροῦ, ἑκουσίως προσηλωθεὶς· καὶ εἰς ᾅδου κατελθὼν δυνατὲ, τοῦ θανάτου τὰ δεσμὰ ὡς Θεὸς διέρρηξας. διὸ προσκυνοῦντες, τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν, ἐν ἀγαλλιάσει βοῶμεν, Παντοδύναμε Κύριε δόξα σοι.

Στ. Καὶ γὰρ ἐστερέωσε.

Πύλας ᾅδου συνέτριψας Κύριε, καὶ τῷ σῷ θανάτῳ, τοῦ θανάτου τὸ βασίλειον ἔλυσας. γένος δὲ τὸ ἀνθρώπινον, ἐκ φθορᾶς ἠλευθέρωσας, ζωὴν καὶ ἀφθαρσίαν τῷ Κόσμῳ δωρησάμενος, καὶ τὸ μέγα ἔλεος.

Στ. Τῷ οἴκῳ σου πρέπει.

Κύριε ἀνελθὼν ἐν τῷ Σταυρῷ, τὴν προγονικὴν ἡμῶν κατάραν ἐξήλειψας, καὶ κατελθὼν ἐν τῷ ᾅδῃ, τοὺς ἀπ' αἰώνων δεσμίους ἠλευθέρωσας, ἀφθαρσίαν δωρούμενος τῷ ἀνθρώπων τῷ γένει. διὰ τοῦτο ὑμνοῦντες δοξάζομεν, τὴν ζωοποιὸν καὶ σωτήριόν σου ἔγερσιν.

Δόξα, καὶ νῦν. ἦχος πλ.

Ὡς ὤφθης ἐν σαρκὶ Χριστὲ ὁ Θεὸς, δι' ἄφατον οἰκονομίαν, ἀκούσασα ἡ Σαμαρεῖτις τοῦ λόγου σου τοῦ φιλανθρώπου, κατέλιπε τὸ ἄντλημα ἐπὶ τὸ φρέαρ, καὶ ἔδραμε λέγουσα τοῖς ἐν τῇ Πόλει· δεῦτε ἴδετε καρδιογνώστην. μήτι οὗτος ὑπάρχει ὁ προσδοκώμενος Χριστός; ὁ ἔχων τὸ μέγα ἔλεος.

Τῷ Σαββάτῳ τῆς Ε'. Ἑβδομάδος τῆς Σαμαρείτιδος εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολ. κάθ. Ἀναστάσιμα.

Ἦχος δ'.

Ἀναβλέψασαι τοῦ τάφου τὴν εἴσοδον, καὶ τὴν φλόγα τοῦ Ἀγγέλου μὴ φέρουσαι, αἱ Μυροφόροι σὺν τρόμῳ ἐξίσταντο λέγουσαι· ἆρα ἐκλάπη ὁ τῷ λῃστῇ ἀνοίξας Παράδεισον; ἆρα ἠγέρθη ὁ καὶ πρὸ πάθους κηρύξας τὴν ἔγερσιν; ἀληθῶς ἀνέστη Χριστὸς ὁ Θεὸς, τοῖς ἐν ᾅδῃ παρέχων ζωὴν καὶ ἀνάστασιν. Θεοτοκίον.

Ὁ ἀπ' αἰώνων ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται. Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος. δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὴν β'. στιχολ. κάθ. ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀγαλλιάσθω Οὐρανὸς εὐφραινέσθω, τὰ ἐπὶ γῆς, ὅτι Χριστὸς ἐκ Παρθένου, ἐπιφανεὶς ὡς ἄνθρωπος, ἐρρύσατο φθορᾶς, ἅπαν τὸ ἀνθρώπινον, τῷ ἰδίῳ θανάτῳ. θαύμασιν ἐκλάμψας δὲ, γυναικὶ Σαμαρείτιδι, ὕδωρ αἰτῶν παρέχει τὴν πηγὴν, τῶν ἰαμάτων ὡς μόνος ἀθάνατος. Δίς.

Τὸ, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν'. Οἱ Κανόνες, τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν, εἰς ς'. τοῦ Ἁγίου τῆς Μονῆς, εἰς δ'. Καὶ τὰ [illegible] Κοντάκιον, καὶ Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Εἰς

Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχ. δ'. καὶ ψάλλομεν τὰ παρόντα Στιχηρὰ Ἀναστάσιμα, Ἦχος, δ'.

Ὁ Σταυρὸν ὑπομείνας καὶ θάνατον, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, Παντοδύναμε Κύριε, δοξάζομέν σου τὴν Ἀνάστασιν.

Ἐν τῷ Σταυρῷ σου Χριστὲ, τῆς ἀρχαίας κατάρας, ἠλευθέρωσας ἡμᾶς, καὶ ἐν τῷ θανάτῳ σου, τὸν τὴν φύσιν ἡμῶν τυραννήσαντα, διάβολον κατήργησας, ἐν δὲ τῇ ἐγέρσει σου, χαρᾶς τὰ πάντα ἐπλήρωσας. διὸ βοῶμέν σοι· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν Κύριε δόξα σοι.

Τῷ σῷ Σταυρῷ Χριστὲ Σωτὴρ, ὁδήγησον ἡμᾶς, ἐπὶ τὴν ἀλήθειάν σου, καὶ ῥῦσαι ἡμᾶς τῶν παγίδων τοῦ ἐχθροῦ, ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἀνάστησον ἡμᾶς πεσόντας τῇ ἁμαρτίᾳ, ἐκτείνας τὴν χεῖρά σου, φιλάνθρωπε Κύριε, τῇ πρεσβείᾳ τῶν Ἁγίων σου.

Τῶν πατρικῶν σου κόλπων μὴ χωρισθεὶς, μονογενὲς Λόγε τοῦ Θεοῦ, ἦλθες ἐπὶ γῆς διὰ φιλανθρωπίαν, ἄνθρωπος γενόμενος ἀτρέπτως. καὶ Σταυρὸν καὶ θάνατον ὑπέμεινας σαρκὶ, ὁ ἀπαθὴς τῇ Θεότητι. ἀναστὰς δὲ ἐκ νεκρῶν, ἀθανασίαν παρέσχες τῷ γένει τῶν ἀνθρώπων, ὡς μόνος Παντοδύναμος.

Δόξα, καὶ νῦν, Ἦχος, πλ. β'.

Ἡ Πηγὴ τῆς ζωαρχίας, Ἰησοῦς ὁ Σωτὴρ ἡμῶν, ἐπὶ τὴν πηγὴν ἐπιστὰς τοῦ Πατριάρχου Ἰακὼβ, πιεῖν ἐζήτει ὕδωρ παρὰ γυναικὸς Σαμαρείτιδος. τῆς δὲ τὸ ἀκοινώνητον τῶν Ἰουδαίων προσειπούσης, ὁ σοφὸς δημιουργὸς μετοχετεύει αὐτὴν, ταῖς γλυκέσι προσρήσεσι, μᾶλλον πρὸς αἴτησιν τοῦ ἀϊδίου ὕδατος· ὃ καὶ λαβοῦσα τοῖς πᾶσιν ἐκήρυξεν εἰποῦσα· δεῦτε ἴδετε τὸν κρυπτῶν γνώστην καὶ Θεὸν, παραγενόμενον σαρκὶ, διὰ τὸ σῶσαι τὸν ἄνθρωπον.

Εἰς τὸν Στίχ. Στιχηρὰ τῆς Ἑορτῆς, Ἦχος, δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τὴν πηγὴν ἐν τῷ φρέατι, κατιδὼν τὴν ἀέναον, καθημερινὴν γύναιον, φέρον καύσωνας, πλείστων παθῶν ἀκεσώδυνον, λαβεῖν ἐπεζήτησεν, ὕδωρ ζῶν τὸ ἐξ αὐτῆς, κρουνηδὸν ἐκχεόμενον. ὃ καὶ ἔλαβε, δωρεὰν ἐκ τοῦ Λόγου, καὶ οὐκ ἔτι, πρὸς τὸ φρέαρ ἐπισπεύδει, τὸ γεηρὸν καὶ ἐπίκηρον.

Στ. Ἔντεινε καὶ κατευοδοῦ καί.

Τὰ Ἰουδαίων τὰ ἔθιμα, τῆς γυναικὸς διώκοντος, καὶ τὸ σφῶν προβάλλοντος ἀκοινώνητον, τῇ μεταλήψει τοῦ ὕδατος, Χριστὸς μετοχετεύσεν, ὁ σοφὸς δημιουργὸς, τοῖς ἡδέσι προσφθέγμασιν, ἐξαιτήσασθαι, τὸ ζωόρρυτον πόμα, θεῖον ὕδωρ, ὃ πιοῦσα πρὸς τὴν Πόλιν, μετοχετεύει τὰ νάματα.

Στ. Ἠγάπησας δικαιοσύνην.

Οὔτε ἄντλημα κέκτησαι, καὶ τὸ φρέαρ βαθύτατον, πόθεν οὖν καὶ δώσεις μοι ὕδωρ ἄφθαρτον; ἡ Σαμαρεῖτις ἐβόα σοι, Χριστὲ σὲ ὡς ἄνθρωπον, οἰομένη οὐ Θεὸν, καὶ τοὺς λόγους θαυμάζουσα. ἣν προσρήμασι, γλυκυτάτοις ἀρδεύσας, καὶ Θεόν σε, τῶν ἁπάντων καὶ κτισμάτων, ὁμολογεῖν παρεσκεύασας.

Δόξα, καὶ νῦν, Ἦχος, πλ. β'.

Τάδε λέγει Κύριος τῇ Σαμαρείτιδι· εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, δός μοι ὕδωρ πιεῖν; σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκέ σοι πιεῖν, ἵνα μὴ διψήσῃς εἰς τὸν αἰῶνα, λέγει Κύριος.

Κυριακῇ ἕκτῃ τοῦ Τυφλοῦ, ὀψὲ Σαββάτῳ, ἐν τῷ μικρῷ Ἑσπερινῷ, εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ Ἀναστάσιμα, Ἦχος, πλ. α'.

Διὰ τοῦ τιμίου σου Σταυροῦ.

Ὁ τὴν Ἀνάστασιν διδούς.

Μέγα θαῦμα ὁ τῶν ἀοράτων.

Ἑσπερινὴν προσκύνησιν.

Δόξα, Ἦχος, πλ. α'.

Κύριε παράγων ἐν τῇ ὁδῷ.

Ταῦτα πάντα ζήτει εἰς τὸν μέγαν Ἑσπερινόν. Καὶ νῦν. Θεοτοκίον. τὸ παρὸν Δογματικόν. Ἦχος, πλ. α'.

Τὴν Θεοπρεπῆ καὶ σεβάσμιον Κόρην τιμήσωμεν, τὴν ὑπέρτιμον τῶν Χερουβίμ. ὁ γὰρ Δημιουργὸς τῶν ὅλων, ἐνανθρωπῆσαι βουληθεὶς, ἐν αὐτῇ ᾤκησεν ἀφράστως. ὢ ξένων πραγμάτων, καὶ παραδόξων μυστηρίων. τίς οὐκ ἐκπλαγείη, τοῦτο ἀκουτισθείς; ὅτι Θεὸς ἄνθρωπος γίνεται, καὶ τροπὴ ἐν αὐτῷ οὐχ ὑπῆρχε. καὶ τῆς Παρθενίας πύλας ἀνοίξας, μείωσις ἐν αὐτῇ οὐχ ὑπελείφθη, καθὼς ὁ Προφήτης λέγει· ἄνθρωπος ταύτην οὐ διοδεύσει ποτὲ,



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

εἰμὴ μόνος Κύριος ὁ Θεὸς Ἰσραήλ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἰς τὸν ς΄. τὸ Ἀναστάσιμον στιχηρὸν τοῦ ς΄. Εἶτα τὰ παρόντα δ΄. Προσόμοια τῆς Ὑπεραγίας Θεοτόκου, ἦχος, πλ. α΄.

Χαίροις ἀσκητικῶν.

ς΄. Μνησθήσομαι τοῦ ὀνόματός σου.

Χαίροις τῶν Προφητῶν ἡ σφραγὶς, τῶν θεηγόρων Ἀποστόλων τὸ κήρυγμα. Θεὸν γὰρ τὸν ὄντως ὄντα, σεσαρκωμένον ἡμῖν, ὑπὲρ νοῦν καὶ λόγον ἀπεκύησας. δι' οὗ τὴν ἀρχαίαν, ἀπολαβόντες εὐγένειαν, καὶ Παραδείσου τῆς τρυφῆς ἀπολαύοντες, σὲ τὴν πρόξενον, τῆς τοιαύτης λαμπρότητος, ὕμνοις καταγεραίρομεν, καὶ πρέσβιν εὐπρόσδεκτον, σὲ Παναγία πλουτοῦντες, τῆς ἀϊδίου ἐντεύξεως, ζωῆς τοῦ Υἱοῦ σου, διανέμοντος πλουσίως τὸ μέγα ἔλεος.

ς΄. Ἄκουσον θύγατερ, καὶ ἴδε.

Χαίροις ὁ λογικὸς Οὐρανὸς, ἐν ᾧ Θεὸς σωματωθεὶς κατεσκήνωσεν. ἡ στάμνος τοῦ θείου Μάννα, ἡ τοῦ Ἡλίου λαμπάς. τοῦ Θεοῦ τὸ ὄρος τὸ κατάσκιον. παστὰς Θεοχώρητος, ζωοπάροχε τράπεζα. χρυσῆ λυχνία. φωτοφόρε Παράδεισε. βάτε ἄφλεκτε. κιβωτὲ ἁγιάσματος. κλίμαξ ἡ Ἐπουράνιος. νεφέλη ἡ ἔμψυχος. ῥάβδος ἐκ ῥίζης Παρθένε, τοῦ Ἰεσσαὶ ἡ βλαστήσασα. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

ς΄. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Χαίροις ἡ τὸν Υἱὸν τοῦ Θεοῦ, ἀνερμηνεύτως συλλαβοῦσα Πανάμωμε. καὶ τοῦτον τεκοῦσα σάρκα, τὴν καθ' ἡμᾶς ἀληθῶς, ἐκ τῶν σῶν αἱμάτων προσλαβόμενον, ψυχὴν νοεράν τε, καὶ αὐτεξούσιον ἔχοντα. ἀνελλιπῶς δὲ, τὸν Ἀδὰμ ἐνδυσάμενον, διὰ ἔλεος, καὶ χρηστότητα ἄφατον. ὅθεν ἐν δύω φύσεσιν, ἡμῖν καταγγέλλεται, τῶν ἑκατέρων δεικνύων, ἐν ἑαυτῷ τὴν ἐνέργειαν, Χριστὸν ὃν δυσώπει, τοῖς ὑμνοῦσί σε δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα, ἦχος, πλ. δ΄.

Δικαιοσύνης Ἥλιε νοητὲ Χριστέ.

Καὶ νῦν. Θεοτοκίον.

ἦχος, πλ. α΄.

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, ἱστῶμεν ι΄. ἐ. καὶ ψάλλομεν δ΄. Ἀναστάσιμα, γ΄. Ἀνατολικὰ, δ΄. καὶ τὰ δύω Ἰδιόμελα τοῦ Τυφλοῦ. Δευτεροῦντες τὸ ἕν.

δ΄. Ἀναστάσιμα. ἦχος, πλ. α΄.

Διὰ τοῦ τιμίου σου Σταυροῦ Χριστὲ, διάβολον ᾔσχυνας, καὶ διὰ τῆς Ἀναστάσεώς σου, τὸ κέντρον τῆς ἁμαρτίας ἤμβλυνας, καὶ ἔσωσας ἡμᾶς, ἐκ τῶν πυλῶν τοῦ θανάτου· δοξάζομέν σε Μονογενές.

Τὴν Ἀνάστασιν διδοὺς, τῷ γένει τῶν ἀνθρώπων, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. ἔφριξαν τοῦτον οἱ ἄρχοντες τοῦ ᾅδου, καὶ ἐπήρθησαν πύλαι ὀδυνηραί. εἰσελήλυθε γὰρ ὁ Βασιλεὺς τῆς δόξης Χριστὸς, λέγων τοῖς ἐν δεσμοῖς ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλύπτεσθε.

Μέγα θαῦμα, ὁ τῶν ἀοράτων Κτίστης διὰ φιλανθρωπίαν, σαρκὶ παθὼν ἀνέστη ὁ ἀθάνατος. δεῦτε πατριαὶ τῶν Ἐθνῶν, τοῦτον προσκυνήσωμεν. τῇ γὰρ αὐτοῦ εὐσπλαγχνίᾳ, ἐκ πλάνης ῥυσθέντες, ἐν τρισὶν ὑποστάσεσιν, ἕνα Θεὸν ὑμνεῖν μεμαθήκαμεν.

Ἕτερα δ΄. Ἀνατολικά. ἦχος, ὁ αὐτός.

Ἑσπερινὴν προσκύνησιν, προσφέρομέν σοι τῷ ἀνεσπέρῳ φωτὶ, τῷ ἐπὶ τέλει τῶν αἰώνων, ὡς ἐν ἐσόπτρῳ διὰ σαρκὸς λάμψαντι τῷ Κόσμῳ, καὶ μέχρις ᾅδου κατελθόντι, καὶ τὸ ἐκεῖσε σκότος λύσαντι, καὶ τὸ φῶς τῆς Ἀναστάσεως τοῖς Ἔθνεσι δείξαντι· φωτοδότα Κύριε δόξα σοι.

Τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν, Χριστὸν δοξολογήσωμεν. αὐτοῦ γὰρ ἐκ νεκρῶν ἀναστάντος, Κόσμος ἐκ πλάνης σέσωσται. χαίρει χορὸς Ἀγγέλων, φεύγει δαιμόνων πλάνη. Ἀδὰμ πεσὼν ἀνίσταται, διάβολος κατήργηται.

Οἱ τῆς κουστωδίας ἐνηχοῦντο, ὑπὸ τῶν παρανόμων, καλύψατε Χριστοῦ τὴν ἔγερσιν, καὶ λάβετε ἀργύρια, καὶ εἴπατε, ὅτι ὑμῶν κοιμωμένων, ἐκ τοῦ Μνημείου ἐσυλήθη ὁ νεκρός. τίς εἶδε τίς; ἤκουσε νεκρὸν κλαπέντα ποτέ; μάλιστα ἐσμυρνισμένον καὶ γυμνὸν, καταλιπόντα καὶ ἐν τῷ τάφῳ τὰ ἐντάφια αὐτοῦ; μὴ πλανᾶσθε Ἰουδαῖοι,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΖΑΓΟΡΑΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Σιατίστης "Μανούσεια"

δαῖοι, μάθετε τὰς ῥήσεις τοῦ Προφήτου, καὶ γνῶτε, ὅτι αὐτός ἐστιν ἀληθῶς, ὁ Λυτρωτὴς τοῦ Κόσμου καὶ Παντοδύναμος.

Κύριε ὁ τὸν ᾅδην σκυλεύσας, καὶ τὸν θάνατον πατήσας Σωτὴρ ἡμῶν, ὁ φωτίσας τὸν Κόσμον, τῷ Σταυρῷ τῷ τιμίῳ, ἐλέησον ἡμᾶς.

Ἕτερα τοῦ Ἰδιόμ. τοῦ Τυφλοῦ. Ἦχος β'.

Ὁ Τυφλὸς γεννηθείς, ἐν τῷ ἰδίῳ λογισμῷ ἔλεγεν· ἆρα ἐγὼ δι' ἁμαρτίας γονέων ἐγεννήθην ἀόμματος; ἆρα ἐγὼ δι' ἀπιστίαν Ἐθνῶν ἐγεννήθην εἰς ἔνδειξιν; οὐχ ἱκανῶ τοῦ ἐρωτᾶν, πότε νύξ, πότε ἡμέρα; οὐκ ἀντομοῦσί μου οἱ πόδες τὰ τῶν λίθων προσκρούσματα. οὐ γὰρ εἶδον τὸν Ἥλιον λάμποντα, οὐδὲ ἐν εἰκόνι τὸν ἐμὲ πλαστουργήσαντα. ἀλλὰ δέομαί σου Χριστὲ ὁ Θεός, ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με.

Ὁ αὐτός.

Παράγων ὁ Ἰησοῦς ἐκ τοῦ Ἱεροῦ, εὗρεν ἄνθρωπον Τυφλὸν ἐκ γενετῆς. καὶ σπλαγχνισθεὶς ἐπέθηκε πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ εἶπε πρὸς αὐτόν· ὕπαγε νίψαι εἰς τὸν Σιλωάμ· καὶ νιψάμενος ἀνέβλεψε, δόξαν ἀναπέμπων Θεῷ. οἱ δὲ ἀγχισταὶ αὐτοῦ, ἔλεγον αὐτῷ· τίς σου τὰς κόρας διήνοιξεν, ἃς οὐδεὶς τῶν βλεπόντων ἰᾶσαι ἴσχυσεν; ὁ δὲ ἔφησι βοήσας· ἄνθρωπος Ἰησοῦς λεγόμενος, ἐκεῖνός μοι ἔφη, νίψαι εἰς τὸν Σιλωάμ, καὶ ἀνέβλεψα. αὐτός ἐστιν ἀληθῶς, ὃν ἔφη Μωϋσῆς ἐν τῷ νόμῳ Χριστὸν Μεσσίαν, αὐτός ἐστιν ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος, πλ. α'.

Κύριε παράγων ἐν τῇ ὁδῷ, εὗρες ἄνθρωπον Τυφλὸν ἐκ γενετῆς, καὶ ἔκθαμβοι γεγονότες οἱ Μαθηταί, ἐπηρώτων σε, λέγοντες· Διδάσκαλε, τίς ἥμαρτεν, οὗτος, ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ; σὺ δὲ Σωτήρ μου ἐβόας αὐτοῖς· οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ· ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ. ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με, ἃ οὐδεὶς δύναται ἐργάζεσθαι. καὶ ταῦτα εἰπών, πτύσας χαμαί, καὶ πηλὸν ποιήσας, ἐπέχρισας τοὺς ὀφθαλμοὺς αὐτοῦ, λέξας πρὸς αὐτόν· ὕπαγε νίψαι εἰς τὴν Σιλωὰμ τὴν κολυμβήθραν. ὁ δὲ νιψάμενος ὑγιὴς ἐγένετο, καὶ ἐβόα πρὸς σέ· πιστεύω Κύριε, καὶ προσεκύνησέ σοι. διὸ βοῶμεν καὶ ἡμεῖς· ἐλέησον ἡμᾶς.

Καὶ νῦν, Θεοτ. Ὁ αὐτός.

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, τῆς ἀπειρογάμου Νύμφης, εἰκὼν διεγράφη ποτέ. ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος, ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος. τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ, νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος. ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος, ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος. ὁ ὢν καὶ προών, καὶ φανεὶς ὡς ἄνθρωπος, Θεός, ἐλέησον ἡμᾶς.

Εἰς τὴν Λιτὴν τὸ Ἰδ. τοῦ Ἁγίου τῆς Μονῆς.

Δόξα, ἦχος, δ'.

Ὅλον τὸν βίον ὁ Τυφλός, νύκτα λογιζόμενος, ἐβόησε πρὸς σὲ Κύριε· ἄνοιξόν μου τὰς κόρας, Υἱὲ Δαβίδ, ὁ Σωτὴρ ἡμῶν, ἵνα μετὰ πάντων, κἀγὼ ὑμνήσω σου τὴν δύναμιν.

Καὶ νῦν, Θεοτ. Ὁ αὐτός.

Νεῦσον παρακλήσεσι, σῶν οἰκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα. σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι. σπεῦσον εἰς ἱκεσίαν τῶν σοὶ πιστῶς βοώντων· χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στ. Στιχ. ἦχος, πλ. α'.

Σὲ τὸν σαρκωθέντα Σωτῆρα Χριστόν, καὶ τῶν Οὐρανῶν μὴ χωρισθέντα, ἐν φωναῖς ᾀσμάτων μεγαλύνομεν, ὅτι Σταυρὸν καὶ θάνατον κατεδέξω, διὰ τὸ γένος ἡμῶν ὡς φιλάνθρωπος Κύριος. σκυλεύσας ᾅδου πύλας, τριήμερος ἀνέστης, σώζων τὰς ψυχὰς ἡμῶν.

Εἰ βούλει, ψάλλε τὰ Στιχ. τοῦ Πάσχα μετὰ τῶν στιχ. αὐτῶν. Εἰ δὲ μή, τὰ κατὰ Ἀλφάβητον, ἦχος, πλ. α'.

Ὑγιείσης σου τῆς πλευρᾶς, Ζωοδότα, κρουνοὺς ἀφέσεως, πᾶσιν ἐξέβλυσας ζωῆς καὶ σωτηρίας. σαρκὶ δὲ θάνατον κατεδέξω, ἀθανασίαν ἡμῖν δωρούμενος. οἰκήσας

τάφῳ, δὲ ἡμᾶς ἠλευθέρωσας, συναναστήσας ἑαυτῷ, ἐνδόξως ὡς Θεός. διὰ τοῦτο βοῶμεν· φιλάνθρωπε Κύριε δόξα σοι.

Ζένη σου ἡ Σταύρωσις, καὶ ἡ ἐν ᾅδου κάθοδος φιλάνθρωπε ὑπάρχει. σκυλεύσας γὰρ αὐτὸν, καὶ τοὺς πάλαι δεσμίους συναναστήσας ἑαυτῷ, ἐνδόξως ὡς Θεὸς, τὸν Παράδεισον ἀνοίξας, ἀπολαύειν τούτου ἠξίωσας. διὸ καὶ ἡμῖν τοῖς δοξάζουσι, τὴν σὴν τριήμερον ἔγερσιν, δώρησαι ἱλασμὸν ἁμαρτιῶν, Παραδείσου οἰκήτορας, καταξιῶν ὡς μόνος εὔσπλαγχνος.

Ὁ Δι' ἡμᾶς σαρκὶ πάθος δεξάμενος, καὶ τριήμερος ἐκ νεκρῶν ἀναστὰς, τῆς σαρκὸς ἡμῶν τὰ πάθη θεράπευσον, καὶ ἀνάστησον ἐκ πταισμάτων χαλεπῶν, Φιλάνθρωπε, καὶ σῶσον ἡμᾶς.

Δόξα, ἦχος, πλ. δ.

Δικαιοσύνης Ἥλιε, νοητὲ Χριστὲ ὁ Θεὸς, ὁ τὸν ἐκ μήτρας τοῦ φωτὸς ἐστερημένον, διὰ τῆς σῆς ἀχράντου προσψαύσεως, φωτίσας κατ' ἄμφω, καὶ ἡμῶν τὰ ὄμματα τῶν ψυχῶν αὐγάσας, Υἱοὺς ἡμέρας δεῖξον, ἵνα πίστει βοῶμέν σοι· πολλὴ σου, καὶ ἄφατος, ἡ εἰς ἡμᾶς εὐσπλαγχνία φιλάνθρωπε δόξα σοι.

Καὶ νῦν, Θε. Ὁ αὐτός.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκὶ, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Παναμώμε. ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει, σωθῆναι πάντας ἡμᾶς.

Ἀπολυτίκιον, ἦχος, πλ. α.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ, καὶ προσκυνήσωμεν, ὅτι ηὐδόκησε σαρκὶ, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

Θεοτοκίον. Ὅμοιον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ· χαῖρε ἀχείμαστε λιμὴν, καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ, τὸν ποιητήν σου καὶ Θεόν. πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

Τῇ Κυριακῇ εἰς τὸ Μεσονυκτικὸν, Κανὼν Τριαδικός. Οὗ ἡ ἀκροστ.

Κανὼν ὁ πέμπτος φωτὶ τῷ Τρισηλίῳ.

Ὠδὴ, α. ἦχος, πλ. α. Ἵππον καὶ ἀναβάτην.

Κράτος τῆς ἑνιαίας, καὶ τρισηλίου μορφῆς, ἀνυμνοῦντες βοῶμεν, τὸν νοῦν ἡμῶν καταύγασον, Θεὲ Παντοδύναμε, καὶ πρὸς τὴν σὴν Δέσποτα, μεταμόρφωσον δόξαν ἄφραστον.

Ἄνω σε τῶν Ἀγγέλων, διάκοσμοι νοεροὶ, ἀσιγήτως ὑμνοῦσιν, ἐν Τρισαγίοις ᾄσμασι, Μονάδα τρισάριθμον, καὶ Τριάδα σύμμορφον, ὑπερούσιον παντοδύναμον.

Νέκταρ τῆς σῆς ἀγάπης, γλυκύτατον φωτουργὸν, τῇ ψυχῇ μου παράσχου, Τριὰς Μονὰς, ἀρχίφωτε, καὶ θείαν κατάνυξιν, καθαρτικὴν Δέσποτα, πολυέλεε πάσης κτίσεως.

Θεοτοκίον.

Ὥσπερ ἐστὶ τὸν πόκον, κατῆλθεν ἀψοφητὶ, Οὐρανόθεν Παρθένε ὁ ὑετὸς ἐν μήτρᾳ σου, ὁ θεῖος καὶ ἔσωσε, ξηρανθεῖσαν ἅπασαν, τῶν ἀνθρώπων τὴν φύσιν Ἄχραντε.

Ὠδὴ, γ. Ὁ πήξας ἐπ' οὐδενός.

Νοήσας τὰς νοερὰς οὐσίας ὑπέστησας, ὑμνῳδοὺς ἀπαύστους τῆς σῆς Θεότητος, Τρίφωτε Θεὲ καὶ Παντουργὲ, ἀλλὰ καὶ τῶν πηλίνων καὶ γηγενῶν, δέξαι τὴν αἴνεσιν, καὶ τὴν ἱκεσίαν ὡς εὔσπλαγχνος.

Ὁ πάσης κτ. φύσιν τροπῆς ἀπαράδεκτος, τοῖς ἀλλοιουμένοις ἡμῖν καὶ μέλπουσι, τὴν ἀνεξιχνίαστον πηγὴν, τῆς σῆς ἀγαθωσύνης, πλημμελημάτων δὸς συγχώρησιν, Ἥλιε τῆς δόξης Τρισάκτινε.

Πατέρα καὶ τὸν Υἱὸν καὶ Πνεῦμα δοξάζομεν, ἐν ἀπαραλλάκτῳ μορφῇ Θεότητος, σὲ τὸν ἑνικὸν καὶ τρίλαμπη Κύριον τῶν ἁπάντων, ὡς οἱ Προφῆται καὶ Ἀπόστολοι, παρὰ σοῦ σαφῶς ἐδιδάχθησαν.

Θεοτοκίον.

Ἐφάνης τῷ Μωϋσῇ ἐν βάτῳ ὡς Ἄγγελος, βουλῆς τῆς μεγάλης τοῦ Παντοκράτορος, σοῦ τὴν ἐκ Παρθένου προδηλῶν, σάρκωσιν Θεοῦ Λόγε, δι' ἧς ἡμᾶς μετεστοιχείωσας, καὶ πρὸς Οὐρανοὺς ἀνεβίβασας.

Κάθισμα, ἦχος, πλ. α.

Τὸν συνάναρχον Λόγον.

Ἀλείμμων ὑπάρχεις Τριὰς ἀμέριστε, ἐλεεῖς γὰρ τοὺς πάντας ὡς Παντοδύνα-



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

μος, καὶ παμοικτίρμων συμπαθὴς καὶ πολυέλεος. διὸ προσφεύγομεν πρὸς σὲ, οἱ ἁμαρτήμασι πολλοῖς, βαρυνόμενοι κεκραγότες· ἱλάσθητι τοῖς σοῖς δούλοις, καὶ ῥῦσαι πάντας πάσης κολάσεως.

Θεοτοκίον. Ὅμοιον.

ΠΑναγία Παρθένε ἡμᾶς ἐλέησον, τοὺς προσφεύγοντας πίστει πρὸς σὲ τὴν εὔσπλαγχνον, καὶ αἰτουμένους τὴν θερμὴν σου μόνην ἀντίληψιν. δύνασαι γὰρ ὡς ἀγαθὴ, τοὺς πάντας σώζειν, ὡς οὖσα, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, ταῖς μητρικαῖς σου πρεσβείαις, ἀεὶ χρωμένη Θεοχαρίτωτε.

Ὠδὴ δ'. Τὴν θείαν ἐννοήσας σου.

ΜΥεῖται τῆς μιᾶς Κυριότητος, τὸ τριφαὲς ὁ Δανιὴλ, Χριστὸν κριτὴν θεασάμενος, πρὸς τὸν Πατέρα ἰόντα, καὶ Πνεῦμα τὸ προφαινόμενον τὴν ὅρασιν. Δίς.

ΠΗλίνοις τοὺς ὑμνοῦντάς σε στόμασι, τὸν ὑπερούσιον Θεὸν, τριαδικὸν ὑποστάσεσι, μοναδικὸν δὲ τῇ φύσει, τῆς δόξης τῶν Ἀγγέλων ἀξίωσον.

Θεοτοκίον.

ΤΟ ὄρος τὸ δασὺ καὶ κατάσκιον, ὃ εἶδε πρὶν ὁ Ἀββακοὺμ, ἐξ οὗ προῆλθεν ὁ ἅγιος, τὸν δυσθεώρητον τόκον, ἐδήλου τῆς Παρθένου συλλήψεως.

Ὠδὴ ε'. Ὁ ἀναβαλλόμενος.

ΟΔι' ἀγαθότητα κτίσας τὸν ἄνθρωπον, καὶ κατ' εἰκόνα τὴν σὴν ποιήσας, ἐν ἐμοὶ κατοίκησον, Τρίφωτε Θεέ μου, ὡς ἀγαθὸς καὶ εὔσπλαγχνος.

ΕΜὲ καθοδήγησον μονὰς τρισήλιε, πρὸς τρίβους θείας τῆς σωτηρίας, καὶ τῆς σῆς ἐλλάμψεως, πλήρωσον ὡς φύσει, Θεὸς ἀπειροδύναμος.

ΦΩς τὸ ἀδιαίρετον τῆς μιᾶς φύσεως, μεμερισμένον τοῖς χαρακτῆρσι, τρίλαμπες ἀνέσπερον, τὴν ἐμὴν καρδίαν, ταῖς αἴγλαις σου καταύγασον.

Θεοτοκίον.

ΩΣ κατεῖδε πάλαι σε Ἁγνὴ παμάχραντε, ὁ Ὑποφήτης, βλέπουσαν πύλην, πρὸς τὸ φῶς τὸ ἄδυτον, ἰθὺς σε ἐπέγνω, Θεοῦ κατοικητήριον.

Ὠδὴ ς'. Μαινομένων κλύδωνι.

ΤΡιφαὴς ὑπάρχουσα, Θεαρχία ὑποστατικῶς, ἑνιαία πέφυκας ὡς σύμμορφος, καὶ ἰσουργὸς, καὶ κατ' οὐσίαν καὶ βούλησιν. Δίς.

ΚΑθὼς ἐδήλωσεν, ὁ Προφήτης ᾄδων τῷ Πατρὶ, σῷ φωτὶ τῷ Πνεύματι ὀψόμεθα, φῶς τὸν Υἱὸν, ἕνα Θεὸν τὸν Τρισήλιον.

Θεοτοκίον.

ΤΩν πταισμάτων λύτρωσιν, καὶ κινδύνων εὔσπλαγχνε Θεὲ, ἑνικὲ καὶ τρίφωτε κατάπεμψον, τοῖς ὑμνηταῖς, πρεσβείαις τῆς Θεομήτορος.

Ὠδὴ ζ'. Τὸν Συνάναρχον Λόγον.

ΤΟ τρισήλιον σέλας δοξολογήσωμεν, καὶ ἁπλῆν τὴν Τριάδα μίαν προσκυνήσωμεν, ὅτι ἐφώτισεν ἡμᾶς καὶ ἠλέησε, καὶ ἐρρύσατο φθορᾶς, τὸ γένος ἅπαν τῶν βροτῶν, λυτρώσασα ἐκ τῆς πλάνης, εἰδώλων πάντα τὸν Κόσμον, καὶ Βασιλείαν ἡμῖν παρέσχετο.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

ἈΠορήσας ἐκ πάντων, πρὸς σὲ κατέφυγον, τὴν ἐλπίδα τῶν πάντων, καὶ τὸ προσφύγιον, ἁμαρτωλῶν καὶ ταπεινῶν, κράζων τὸ ἥμαρτον, ἀλλ' ἐπιμένω τοῖς κακοῖς, ἀναισθήτως ὁ ἄθλιος. ἐλέησόν με πρὸ τέλους, ἐπίστρεψόν με καὶ ῥῦσαι, πάσης κολάσεως τὸν ἀνάξιον.

Ὠδὴ ζ'. Ὁ ὑπερυψούμενος.

ΩΣ ἐλέους ἄβυσσον, κεκτημένος Κύριε, καὶ πέλαγος ἄπειρον, οἰκτίρμων ἐλέησον, τοὺς ἕνα σε ὑμνοῦντας, Τριλαμπῆ Θεὸν τῶν ὅλων. Δίς.

ΤΟν ἀπερινόητον, ἑνικὸν καὶ τρίφωτον, Θεόν σε καὶ Κύριον, οἱ ὑμνοῦντες βοῶμέν σοι· παράσχου τοῖς σοῖς δούλοις, ἱλασμὸν ἁμαρτημάτων.

Θεοτοκίον.

ΤἈδαμμον ἐβλάστησας, τοῦ Πατρὸς συνάναρχον, ἄνθος τῆς Θεότητος, βλαστὸν συναΐδιον, Παρθένε τὸν διδοῦντα, τὴν ζωὴν πᾶσιν ἀνθρώποις.

Ὠδὴ η'. Σοὶ τῷ παντουργῷ.

ΙΝα τῆς μιᾶς, ἀνακαλύψῃς πάλαι, σαφῶς Κυριότητος τριττὴν ὑπόστασιν, ὤφθης Θεέ μου, ἐν σχήματι ἀνθρώπων, Ἀβραὰμ ὑμνοῦντι, σὸν κράτος ἑνιαῖον. Δίς.

ΕΜὲ πρὸς τὰς σὰς, Θεουργικὰς ἀκτῖνας, δέρκειν καταξίωσον, φῶς τὸ ἀπρόσιτον, Πάτερ Παντοκράτορ, καὶ Λόγε καὶ τὸ Πνεῦμα, τὸ εὐαρεστεῖν σοι, ἀεὶ Κύριε πάντων.

Θεοτοκίον.

Ἔστραψας ἡμῖν, τῆς Τρισηλίου δόξης, τὸν σὲ ὦ πανύμνητε Χριστὸν τὸν Κύριον, πάντας μυοῦντα, τὴν μίαν Θεαρχίαν, ἐν τρισὶ προσώποις, ὑμνεῖν εἰς τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν.

Εἶτα τὸν Εἱρμόν.

Οἱ τῷ παντουργῷ ἐν τῇ καμίνῳ Παῖδες, παγκόσμιον πλέξαντες χορείαν ἔμελπον· πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἠσαΐα χόρευε.

Ἁλιαί σε βρότειαι, κατ' ἀξίαν ἄναρχε μονὰς, οὐ θεμίσιν ὑμνεῖν. πλὴν ὡς ἐφικτὸν, τολμῶντες ἐκ πίστεως, Θεαρχικὴ συνάναρχε Τριὰς, δόξαν προσφέρομεν, τῷ σῷ κράτει καὶ τὴν αἴνεσιν. Δίς.

Ἰσορρόπῳ δόξῃ σε, τὸν μοναρχικὴν τρίφωτον Θεὸν, ὑμνοῦσι τὰ Χερουβὶμ, καὶ τὰ Σεραφὶμ, ἀσιγήτοις ἐν στόμασι. μεθ' ὧν ἡμᾶς τοὺς ἁμαρτωλοὺς, πρόσδεξαι Κύριε, τὸ σὸν κράτος μεγαλύνοντας. Θε.

Ὡς Ἁγνὴ καὶ ἄμωμος, καὶ Παρθένος τέτοκας Υἱὸν, λυτρούμενον ἡμᾶς, ἀπὸ πειρασμῶν, Θεὸν ἀναλλοίωτον. ἀλλὰ καὶ νῦν, ἄφεσιν ἡμῖν, τῶν παραπτώσεων, καταπέμψαι καθικέτευε.

Τὸ, Ἄξιον ἐστίν. Καὶ τὰ λοιπὰ, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. Στιχολ.

Ἀνάστασιμα, ἦχος, πλ. α'.

Τὸν Σταυρὸν τοῦ Κυρίου ἐγκωμιάσωμεν, τὴν ταφὴν τὴν ἁγίαν ὕμνοις τιμήσωμεν, καὶ τὴν Ἀνάστασιν αὐτοῦ ὑπερδοξάσωμεν, ὅτι συνήγειρε νεκροὺς, ἐκ τῶν μνημάτων ὡς Θεὸς, σκυλεύσας κράτος θανάτου, καὶ ἰσχὺν διαβόλου, καὶ τοῖς ἐν ᾅδῃ φῶς ἐξέλαμψεν. Δόξα.

Κύριε νεκρὸς προσηγορεύθης ὁ νεκρώσας τὸν θάνατον. ἐν μνήματι ἐτέθης, ὁ κενώσας τὰ μνήματα. ἄνω στρατιῶται τὸν τάφον ἐφύλαττον, κάτω τοὺς ἀπ' αἰῶνος νεκροὺς ἐξανέστησας, Παντοδύναμε καὶ ἀκατάληπτε Κύριε δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον. χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε. χαῖρε ἡ μόνη πρὸς Θεὸν Κόσμου γέφυρα, ἡ μετάγουσα θνητοὺς, πρὸς τὴν αἰώνιον ζωήν. χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Μετὰ τὴν β'. Στιχ. Καθίσματα.

ἦχος, ὁ αὐτός.

Κύριε ἐν μέσῳ σε προσήλωσαν, οἱ παράνομοι τῶν καταδίκων, καὶ λόγχῃ τὴν πλευράν σου ἐξεκέντησαν, ὦ Ἐλεῆμον. ταφὴν δὲ κατεδέξω, ὁ λύσας ᾅδου τὰς πύλας, καὶ ἀνέστης τριήμερος. ἔδραμον γυναῖκες ἰδεῖν σε, καὶ ἀπήγγειλαν Ἀποστόλοις τὴν ἔγερσιν, ὑπερυψούμενε Σωτὴρ, ὃν ὑμνοῦσιν Ἄγγελοι, εὐλογημένε Κύριε δόξα σοι. Δόξα.

Ὡς ξένον σου Σωτὴρ μου Μυστήριον, τῷ Κόσμῳ σωτηρία γεγένηται. ἀναστὰς γὰρ ἐκ τάφου θεοπρεπῶς, τοὺς φθαρέντας συνήγειρας ὡς Θεὸς, ἡ πάντων ζωὴ, Κύριε δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπερόγαμε Μήτηρ Θεοκυήτωρ Ἁγνὴ, ἡ τῆς Εὔας τὴν λύπην χαροποιήσασα, ἀνυμνοῦμέν σε οἱ πιστοὶ καὶ προσκυνοῦμέν σε, ὅτι ἀνήγαγες ἡμᾶς ἐκ τῆς ἀρχαίας ἀρᾶς. καὶ νῦν δυσώπει ἀπαύστως, Πανύμνητε Παναγία εἰς τὸ σωθῆναι ἡμᾶς.

Μετὰ τὸν Ἄμωμον, τὰ Ἀναστάσιμα Εὐλογητάρια, ἦχος, πλ. α'.

Τῶν Ἀγγέλων ὁ δῆμος.

Καὶ τὰ λοιπὰ, ὡς ἔθος, καὶ εὐθὺς ἡ Ὑπακοή. ἦχος, πλ. α'.

Ἀγγελικῇ ὁράσει, τὸν νοῦν ἐκθαμβούμεναι, καὶ θεϊκῇ ἐγέρσει τὴν ψυχὴν φωτιζόμεναι, αἱ Μυροφόροι τοῖς Ἀποστόλοις εὐηγγελίζοντο. ἀναγγείλατε ἐν τοῖς Ἔθνεσι, τὴν Ἀνάστασιν τοῦ Κυρίου, συνεργοῦντος τοῖς θαύμασι, καὶ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

Οἱ Ἀναβαθμοί. Ἀντίφωνον, Α'. ἦχος, πλ. α'.

Ἐν τῷ θλίβεσθαί με, δαβιτικῶς ᾄδω σοι Σωτήρ μου, ῥῦσαί μου τὴν ψυχὴν, ἐκ γλώσσης δολίας.

Τοῖς ἐρημικοῖς, ζωὴ μακαρία ἐστὶ, θεΐκῷ ἔρωτι πτερουμένοις. Δόξα.

Ἁγίῳ Πνεύματι, περικρατεῖται πάντα, τὰ ὁρατά τε σὺν τοῖς ἀοράτοις. αὐτοκρατὲς γὰρ ὢν τῆς Τριάδος, ἓν ἐστὶν ἀφράστως.

Καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοτική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

Καὶ νῦν, τὸ αὐτό. Ἀντίφωνον, Β΄.

Εἰς τὰ ὄρη ψυχὴ ἀρθῶμεν. δεῦρο ἐκεῖσε, ὅθεν βοήθεια ἥκει.

Δεξιά σου χεὶρ κᾀμὲ Χριστὲ ἱπταμένη, σκαιωρίας πάσης περιφυλαξάτω.

Δόξα.

Ἁγίῳ Πνεύματι, θεολογοῦντες φῶμεν· σὺ εἶ Θεὸς, ζωὴ, ἔρως, φῶς, νοῦς, σὺ χρηστότης, σὺ βασιλεύεις, εἰς τοὺς αἰῶνας.

Καὶ νῦν, τὸ αὐτό. Ἀντίφωνον, Γ΄.

Ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς τὰς αὐλὰς προσβῶμεν Κυρίου, χαρᾶς πολλῆς πλησθεὶς, εὐχὰς ἀναπέμπω.

Ἐπὶ οἶκον Δαβὶδ, τὰ φοβερὰ τελεσιουργεῖται. πῦρ γὰρ ἐκεῖ φλέγον, ἅπαντα αἰσχρὸν νοῦν. Δόξα.

Ἁγίῳ Πνεύματι, ζωαρχικὴ ἀξία, ἐξ οὗ πᾶν ζῶον ἐμψυχοῦται, ὡς ἐν Πατρὶ ἅμα τε καὶ Λόγῳ.

Καὶ νῦν, τὸ αὐτό.

Προκείμενον, ἦχος, πλ. α΄.

Ἀνάστηθι Κύριε ὁ Θεός μου.

Στίχ. Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου.

Εὐαγγέλιον κατὰ Ἰωάννην, Ἑωθινὸν, η΄.

Τῷ καιρῷ ἐκείνῳ, Μαρία εἱστήκει.

Τό, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν΄. Οἱ Κανόνες. Ὁ Ἀναστάσιμος μετὰ τοῦ Σταυροαναστασίμου, εἰς η΄. καὶ τοῦ Τυφλοῦ, εἰς ς΄. Ὁ Ἀναστάσιμος.

Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.

» Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν Λαοὶ, Πάσχα Κυρίου Πάσχα. ἐκ γὰρ θανάτου πρὸς ζωὴν, καὶ ἐκ γῆς πρὸς Οὐρανὸν, Χριστὸς ὁ Θεὸς, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

Καθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψόμεθα τῷ ἀπροσίτῳ φωτὶ, τῆς Ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καὶ χαίρετε φάσκοντα, τρανῶς ἀκουσώμεθα, ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ Κόσμος, ὁρατός τε ἅπας καὶ ἀόρατος. Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Θανατώσεως τὸν ὅρον ἀνεμόχλευσας, τὴν αἰωνίαν ζωὴν, κυοφορήσασα Χριστὸν, τὸν ἐκ τάφου ἀληθῶς, ἀναλάμψαντα σήμερον, Παρθένε πανάμωμε, καὶ τὸν Κόσμον φωτίσαντα.

Ἀναστάντα κατιδοῦσα σὸν Υἱὸν καὶ Θεὸν, χαίροις σὺν Ἀποστόλοις, Θεοχαρίτωτε Ἁγνὴ, καὶ τὸ χαῖρε πρωτουργῶς, ὡς πάντων χαρᾶς, αἰτία εἰσδέδεξαι, Θεομῆτορ Πανάμωμε.

Ἕτερος Κανὼν τοῦ Τυφλοῦ. Ἰωσήφ.

Ὠδὴ α΄. ἦχος, πλ. α΄. Ὁ Εἱρμός.

» Τὴν ἐφ' ἣν οὐκ ἔλαμψεν, οὐκ εἶδεν Ἥλιος ποτὲ, ἄβυσσον ἣν οὐχ ἑώρακε γυμνὴν, τὸ κύτος Οὐρανοῦ, Ἰσραὴλ διώδευσεν ἀβρόχως Κύριε, καὶ εἰσήγαγες αὐτὸν εἰς ὄρος ἁγιάσματός σου, ᾄδοντα, ψάλλοντα, ἐπινίκιον ᾠδήν.

Σταύρωσιν ἑκούσιον, καταδεξάμενος σαρκὶ, ἐπήγασας εὐλογίαν, καὶ ζωὴν τῷ Κόσμῳ Δέσποτα, μόνε παντευλόγητε, καὶ τοῦ παντὸς δημιουργέ. ὅθεν εὐλογοῦμέν σε, ὑμνοῦμεν καὶ δοξάζομεν, ᾄδοντες, ψάλλοντες, ἐπινίκιον ᾠδήν.

Ἐν λάκκῳ κατωτάτῳ σε, νεκρὸν γενόμενον Χριστὲ, ἔθετο ὁ εὐσχήμων Ἰωσὴφ, καὶ προσεκύλισε λίθον, τῇ θύρᾳ τοῦ Μνήματος, μακρόθυμε. ἀλλ' ἀνέστης ἐν δόξῃ, καὶ Κόσμον συνανέστησας, ᾄδοντα, ψάλλοντα, ἐπινίκιον ᾠδήν.

Ἵνα τί κομίζετε, μετὰ δακρύων ὑμεῖς; ἔλεγε ταῖς τιμίαις γυναιξὶν, ὁ Ἄγγελος φανείς. ὁ Χριστὸς ἐγήγερται, δραμοῦσαι εἴπατε, τοῖς θεόπταις Μαθηταῖς, πενθοῦσί τε καὶ κλαίουσιν, ὅπως σκιρτήσωσι, καὶ χορεύσωσι φαιδρῶς.

Θαύματα παράδοξα, ἐπιτελῶν ὁ λυτρωτὴς, ἰάσατο καὶ Τυφλὸν ἐκ γενετῆς, πηλὸν ἐπιχρίσας, καὶ εἰπὼν, πορεύθητι καὶ νίψαι ἐν τῷ Σιλωὰμ, ὅπως γνώσῃ με Θεὸν ἐπὶ γῆς βαδίζοντα, σάρκα φορέσαντα, διὰ σπλάγχνα οἰκτιρμῶν. Δόξα.

Μίαν Τρισυπόστατον, οὐσίαν σέβοντες Πιστοὶ, δοξάσωμεν τὸν Πατέρα καὶ Υἱὸν, Πνεῦμα τὸ εὐθὲς, ποιητὴν καὶ Κύριον, καὶ λυτρωτὴν τοῦ παντὸς, ἕνα ἄκτιστον Θεὸν, σὺν Ἀσωμάτοις κράζοντες· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Βασιλεῦ.

Θεοτόκιον.

Μήτηρ ἀπειρόγαμον, τὴν σὴν κατῴκησεν ἁγνὴ, Κύριος διὰ σπλάγχνα



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

οἰκτιρμῶν, σῶσαι βουλόμενος, τὸν φθαρέντα ἄνθρωπον, ταῖς μεθοδείαις τοῦ ἐχθροῦ. αὐτὸν οὖν ἱκέτευε, τὴν Πόλιν ταύτην σώζεσθαι, πάσης ἁλώσεως, καὶ ἐχθρῶν ἐπιδρομῆς.

Καταβασία.

Ὡ Σωτῆρι Θεῷ, τῷ ἐν θαλάσσῃ Λαὸν, ποσὶν ἀβρόχοις ὁδηγήσαντι, καὶ Φαραὼ πανστρατιᾷ καταποντίσαντι, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Δεῦτε πόμα πίωμεν καινὸν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγὴν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

Νῦν πάντα πεπλήρωται φωτὸς, Οὐρανός τε, καὶ γῆ, καὶ τὰ καταχθόνια. ἑορταζέτω γοῦν πᾶσα Κτίσις, τὴν ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

Χθὲς συνεθαπτόμην σοι Χριστέ· συνεγείρομαι σήμερον ἀναστάντι σοι· συνεσταυρούμην σοι χθὲς, αὐτός με συνδόξασον Σωτὴρ ἐν τῇ Βασιλείᾳ σου.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἐπὶ τὴν ἀκήρατον ζωὴν, ἐπανέρχομαι σήμερον ἀγαθότητι, τοῦ γεννηθέντος ἐκ σοῦ, καὶ πᾶσι τοῖς πέρασιν Ἁγνὴ, τὸ φέγγος ἀστράψαντος.

Θεὸν ὃν ἐκύησας σαρκὶ, ἐκ νεκρῶν καθὼς εἶπεν ἐξεγειρόμενον, θεασαμένη Ἁγνὴ, χόρευε καὶ τοῦτον ὡς Θεὸν, Ἄχραντε μεγάλυνε.

Εἱρμὸς ἄλλος.

Σαλευομένην τὴν καρδίαν μου Κύριε, τοῖς κύμασι τοῦ βίου στερέωσον, εἰς λιμένα εὔδιον καθοδηγῶν ὡς Θεός.

Σαλευομένας τὰς καρδίας ἐστήριξας, τὴν γῆν πᾶσαν σαλεύσας μακρόθυμε, τῇ σεπτῇ Σταυρώσει σου, ἣν καθυπέστης σαρκί.

Καινῷ Μνημείῳ, Ἰωσήφ σε κατέθετο, Οἰκτίρμων ὁ Εὐσχήμων. ἀνέστης δὲ ἐκ νεκρῶν τριήμερος, καινοποιήσας ἡμᾶς.

Τί ὡς νεκρὸν ἐπιζητεῖτε τὸν Κύριον; ἀνέστη καθὼς εἶπεν, ὁ Ἄγγελος, γυναιξὶν ἐφθέγγετο, ἀστράπτων θείᾳ μορφῇ.

Τυφλὸν ποτὲ ἐκ γενετῆς, προσελθόντα σοι ἰάσω Πανοικτίρμων, δοξάζοντα τὴν οἰκονομίαν σου καὶ τὰ θαυμάσια.

Δόξα.

Θεὸν Πατέρα προσκυνοῦμεν προάναρχον, Υἱὸν καὶ Πνεῦμα θεῖον, τρισάκτιστον, φύσιν τρισυπόστατον, ἓν Θεὸν τοῦ παντός.

Καὶ νῦν. Θεοτοκίον.

Παρθενικῆς ἀπὸ γαστρὸς ἀπεκύησας, Θεὸν σεσαρκωμένον, ὃν αἴτησαι, Παναγία Δέσποινα, κατοικτειρῆσαι ἡμᾶς.

Καταβασία.

Δυνάμει τοῦ Σταυροῦ σου Χριστὲ, στερέωσόν μου τὴν διάνοιαν, εἰς τὸ ὑμνεῖν, καὶ δοξάζειν σου, τὴν σωτήριον Ἀνάληψιν.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ Λόγον.

Ὁ τῶν ὅλων Δεσπότης καὶ ποιητὴς, παρερχόμενος εὗρεν ἐν τῇ ὁδῷ, Τυφλὸν καθεζόμενον, θρηνῳδοῦντα καὶ λέγοντα· οὐ κατεῖδον ἐν βίῳ, τὸν Ἥλιον λάμποντα, οὐδὲ τὴν Σελήνην τὸ φέγγος αὐγάζουσαν. ὅθεν ἐκβοῶ σοι· ὁ τεχθεὶς ἐκ Παρθένου, φωτίσαι τὰ σύμπαντα, φώτισόν με ὡς εὔσπλαγχνος, ἵνα κράζω προσπίπτων σοι. Δέσποτα Χριστὲ ὁ Θεὸς, τῶν πταισμάτων ἄφεσίν μοι δώρησαι, διὰ πλῆθος ἐλέους μόνε φιλάνθρωπε. Δίς.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Ἐπὶ τῆς θείας φυλακῆς, ὁ θεηγόρος Ἀββακοὺμ, στήτω μεθ' ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα· σήμερον σωτηρία τῷ Κόσμῳ, ὅτι ἀνέστη Χριστὸς ὡς Παντοδύναμος.

Ἄρσεν μὲν ὡς διανοῖξαν, τὴν παρθενεύουσαν νηδὺν, πέφηνε Χριστὸς, ὡς βροτὸς δὲ ἀμνὸς προσηγόρευται, ἄμωμος δὲ ὡς ἄγευστος, κηλῖδος τὸ ἡμέτερον Πάσχα, καὶ ὡς Θεὸς ἀληθὴς, τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνὸς, ὁ εὐλογούμενος ἡμῖν, στέφανος Χριστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ καθαρτήριον, καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν ἔλαμψεν Ἥλιος.

Ὁ θεοπάτωρ μὲν Δαβὶδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν. ὁ Λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν, ὁρῶντες εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστὸς ὡς Παντοδύναμος.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ὁ διαπλάσας τὸν Ἀδὰμ, τὸν σὸν προπάτορα Ἁγνὴ, πλάττεται ἐκ σοῦ, καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

θανάτῳ, τῷ οἰκείῳ ἔλυσε, τὸν δι' ἐκείνου θάνατον σήμερον, καὶ κατηύγασε πάντας, ταῖς θεϊκαῖς ἀστραπαῖς τῆς Ἀναστάσεως.

Ὃν ἀπεκύησας Χριστὸν, ὡραιοτάτως ἐκ νεκρῶν, λάμψαντα Ἁγνὴ καθορῶσα, ἡ καλὴ καὶ ἄμωμος, ἐν γυναιξὶν ὡραία τε, σήμερον εἰς πάντων σωτηρίαν, σὺν Ἀποστόλοις αὐτὸν χαίρουσα δόξαζε.

Εἱρμὸς ἄλλος.

Εἰσακήκοα Κύριε τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. κατενόησα τὴν οἰκονομίαν σου, καὶ ἐδόξασά σε μόνε φιλάνθρωπε.

Τεθνήξαντα ξύλῳ με, τεθεὶς Σωτήρ μου, ζωὴ ὑπάρχων, ἀνεζώωσας διὰ μέγα ἔλεος. διὰ τοῦτο Λόγε δοξάζω σε.

Τοῖς Μαθηταῖς Κύριε, συναυλιζόμενος παραδόξως, τούτοις ἔλεγες· ἄπιτε, κηρύξατε πανταχοῦ, τὴν ἐμὴν Ἀνάστασιν.

Πιστούμενος Κύριε, τὴν ἔγερσίν σου τὴν ἐκ τοῦ τάφου, τοῖς φίλοις σου Χριστὲ, ἐν ἡμέραις πλείοσι, συνηυλίζου χαροποιῶν αὐτούς.

Ὠμμάτωσας Κύριε, Τυφλὸν ἐκ μήτρας γεγεννημένον, εἰπών· ἄπελθε νίψαι, καὶ ἀνάβλεψον, τὴν ἐμὴν δοξάζων Θεότητα.

Δόξα.

Ὁμότιμε ἄναρχε Τριὰς, ἀμέριστε τῇ οὐσίᾳ, μεριστὴ ταῖς ὑποστάσεσι, σῶζε πάντας, τοὺς πιστῶς σε φόβῳ δοξάζοντας.

Καὶ νῦν. Θεοτοκίον.

Τὸν τόκον σου Ἄχραντε, τὸν ὑπὲρ φύσιν δοξολογοῦμεν, μακαρίζοντες πίστει σε, Παναμώμε, ὡς Θεοῦ τῶν ὅλων λοχεύτριαν.

Καταβασία.

Εἰσακήκοα τὴν ἀκοὴν τῆς δυναστείας τοῦ Σταυροῦ σου, ὡς Παράδεισος ἠνοίγη δι' αὐτοῦ, καὶ ἐβόησα· δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης Ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ ᾅδου σειραῖς συνεχόμενοι, δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο Χριστὲ, ἀγαλλομένῳ ποδὶ, Πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ Μνήματος, ὡς Νυμφίῳ, καὶ συνεορτάσωμεν, ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεοῦ τὸ σωτήριον.

Τῆς Θεοτόκου, ὁ αὐτός.

Φωτίζεται θείαις ἀκτῖσι, καὶ ζωηφόροις ταῖς τῆς Ἀναστάσεως, τοῦ Υἱοῦ σου Θεομῆτορ Ἄχραντε, καὶ χαρμονῆς ἐμπίπλαται, τῶν εὐσεβῶν ἡ ὁμήγυρις.

Οὐκ ἤνοιξας πύλας Παρθένου ἐν τῷ σαρκωθῆναι. Μνήματος οὐκ ἔλυσας τὰς σφραγῖδας, Βασιλεῦ τῆς Κτίσεως. ὅθεν ἐξαναστάντα σε, θεασαμένη ἠγάλλετο.

Εἱρμὸς ἄλλος.

Τὴν ταλαίπωρον ψυχήν μου νυκτομαχοῦσαν, τῷ σκότει τῶν παθῶν, προφθάσας οἰκτίρμον, καὶ λάμψον νοητὲ Ἥλιε, ἡμεροφαεῖς ἀκτῖνας ἐν ἐμοὶ, τοῦ διαυγάσαι τὴν νύκτα εἰς φῶς.

Ὑψώθης ἐπὶ ξύλου, καὶ συνανύψωσας πάντας τοὺς βροτοὺς, καὶ τὸν πολέμιον Οἰκτίρμων, ὄφιν ἐθανάτωσας, καὶ ἐζωώσας τὸ πλάσμα τῶν χειρῶν τῶν σῶν, ὡς μόνος Θεὸς τοῦ παντός.

Ἐτέθης ἐν Μνημείῳ, ὁ ἑκουσίως γενόμενος νεκρὸς, καὶ τὰ βασίλεια τοῦ ᾅδου, Βασιλεῦ ἀθάνατε, ἅπαντα ἐκένωσας, νεκροὺς τῇ Ἀναστάσει ἐγείρας τῇ σῇ.

Θαυμάσια μεγάλα, ἐκτελῶν Λόγε ἐπὶ γῆς, Λαός σε ἀπέκτεινεν ἀνόμων. ἀλλ' αὐτὸς Κύριε, μόνος δυνατὸς ὑπάρχων, ἐκ νεκρῶν καθὼς προεῖπας, ἀνέστης Χριστέ.

Τὰ ὄμματα ἀνοίξας, τοῦ μὴ ἰδόντος τὸ φῶς τὸ αἰσθητὸν, ψυχῆς ἐφώτισας τὰς κόρας, καὶ δοξάζειν ἔπεισας, τοῦτον ἐπιγνόντα σε ποιητὴν, δι' εὐσπλαγχνίαν ὀφθέντα βροτόν.

Δόξα.

Τριάδα ἐν Μονάδι, καὶ ἐν Τριάδι Μονάδα οἱ Πιστοὶ δοξολογήσωμεν, Πατέρα καὶ Υἱὸν ἅπαντες, Πνεῦμα τὸ ἅγιον, ἕνα Θεὸν δημιουργὸν τοῦ παντὸς ἀληθῶς.

Καὶ νῦν. Θεοτοκίον.

Πῶς τέτοκας μὴ γνοῦσα, Παρθενομήτωρ Ἁγνὴ, πεῖραν ἀνδρὸς Θεοχαρίτωτε; πῶς τρέφεις τὸν τὴν Κτίσιν τρέφοντα; μόνος ὡς ἐπίσταται αὐτὸς, ὁ τοῦ παντὸς ποιητὴς καὶ Θεός.

Κα-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη

Καταβασία.

Ὀρθρίζοντες βοῶμέν σοι Κύριε, σῶσον ἡμᾶς· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν.

Ὠδὴ ϛ'. Ὁ Εἱρμός.

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστέ, καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.

Φυλάξας τὰ σήμαντρα σῶα Χριστέ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς Παρθένου μὴ λυμηνάμενος ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν, Παραδείσου τὰς πύλας.

Σῶτέρ μου τὸ ζῶν τε καὶ ἄθυτον, ἱερεῖον ὡς Θεός, σεαυτὸν ἑκουσίως, προσαγαγὼν τῷ Πατρί, συνανέστησας, παγγενῆ τὸν Ἀδάμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Νενίκηται τὸ πάλαι κρατούμενον, τῷ θανάτῳ καὶ φθορᾷ, διὰ τοῦ σαρκωθέντος ἐκ σῆς ἀχράντου γαστρός, πρὸς τὴν ἄφθαρτον, καὶ ἀΐδιον ζωήν, Θεοτόκε Παρθένε.

Κατῆλθεν ἐν τοῖς κατωτάτοις τῆς γῆς, ὁ λαγόσι σου Ἁγνή, κατελθών, καὶ οἰκήσας, καὶ σαρκωθεὶς ὑπὲρ νοῦν, καὶ συνήγειρεν ἑαυτῷ τὸν Ἀδάμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Εἱρμὸς ἄλλος.

Ὡς τὸν Προφήτην τοῦ θηρός, ἐρρύσω Κύριε, κἀμὲ τοῦ βυθοῦ, τῶν ἀκαθέκτων παθῶν, ἀνάγαγε δέομαι· ἵνα προσθήσω τοῦ ἐπιβλέψαι με, πρὸς Ναὸν τὸν ἅγιόν σου.

Ὁ Σταυρωθεὶς μετὰ λῃστῶν, ἐρρύσω Δέσποτα, λῃστῶν πονηρῶν, καὶ ψυχοφθόρων παθῶν, φιλάνθρωπε Κύριε, πάντας τοὺς ὑμνοῦντάς σου τὴν Σταύρωσιν, καὶ τὴν ἔγερσιν συμφώνως.

Ἔθεντο ἄπνουν σε νεκρὸν, Χριστὲ ἐν Μνήματι, τὸν πᾶσι νεκροῖς, ἐμπνέοντα τὴν ζωήν· ἀνέστης δὲ Κύριε, πάντα κενώσας Λόγε τὰ μνήματα, θεϊκῇ σου δυναστείᾳ.

Μετὰ τὴν ἔγερσιν Χριστέ, τοῖς φίλοις ἔλεγες· καθίσατε δή, ἐν τῇ Ἱερουσαλήμ, ἕως ἂν ἐνδύσησθε, θεσμὸς ἐξ ὕψους ἀήττητον, καὶ βεβαίαν συμμαχίαν.

Πηλὸν ποιήσας ὀφθαλμοὺς, Τυφλοῦ ἐπέχρισας, τοῦ ἐκ γεννετῆς, καὶ ἐχαρίσω αὐτῷ τὸ βλέπειν, ὑμνοῦντί σου Λόγε, τὴν ἄχραντον δύναμιν, δι' ἧς ἔσωσας τὸν Κόσμον. Δόξα.

Τρισυπόστατος μονάς, Πάτερ ἀγέννητε, Υἱὲ γεννητέ, καὶ Πνεῦμα ἐκπορευτόν, Τρισάγιε Κύριε, μία οὐσία καὶ δύναμις, σῶζε πάντα τὸν Λαόν σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὰ μεγαλεῖά σου Ἁγνή, τίς διηγήσεται; Θεὸν γὰρ ἐν σαρκί, ἔτεκες ὑπερφυῶς, Κόσμον διὰ σοῦ ῥυόμενον, Παρθένε Παναμώμε, ἀπὸ πάσης ἁμαρτίας.

Καταβασία.

Ἐκύκλωσέ με ἄβυσσος, ταφή μοι τὸ κῆτος ἐγένετο. ἐγὼ δὲ ἐβόησα πρὸς σὲ τὸν φιλάνθρωπον, καὶ ἔσωσέ με ἡ δεξιά σου Κύριε.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῆς ψυχῆς τὰ ὄμματα πεπηρωμένος, σοὶ Χριστὲ προσέρχομαι, ὡς ὁ Τυφλὸς ἐκ γενετῆς, ἐν μετανοίᾳ κραυγάζων σοι· Σὺ τῶν ἐν σκότει, τὸ φῶς τὸ ὑπέρλαμπρον.

Ὁ Οἶκος.

Ῥεῖθρόν μοι δώρησαι Χριστέ, σοφίας τῆς ἀρρήτου, καὶ γνώσεως τῆς ἄνω, τὸ φῶς τῶν ἐν τῷ σκότει, καὶ πλανωμένων ὁδηγέ· ἵνα διηγήσωμαι, ἅπερ ἡ Θεία Βίβλος ἐδίδαξε τοῦ Εὐαγγελίου τῆς εἰρήνης, δηλονότι, τὴν τοῦ Τυφλοῦ θαυματοποιΐαν. ὅτι ἐκ γενετῆς Τυφλὸς ὑπάρχων, ὀφθαλμοὺς τοὺς αἰσθητοὺς ἀπολαμβάνει, καὶ τοὺς τῆς ψυχῆς, ἐν πίστει ἀνακραυγάζων· Σὺ τῶν ἐν σκότει τὸ φῶς τὸ ὑπέρλαμπρον.

Τὸ Συναξάριον τοῦ Μηναίου. Εἶτα τὸ παρόν.

Φωτὸς χορηγὸς ἐκ φωτὸς πέλων Φάος,
Τὸν ἐκ γενετῆς ὀμματοῖς Τυφλὸν Λόγε.

Τῇ αὐτῇ Κυριακῇ ἕκτῃ ἀπὸ τοῦ Πάσχα, τὸ εἰς τὸν ἐκ γενετῆς Τυφλὸν ἑορτάζομεν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ θαῦμα. ὃ δὴ καὶ αὐτὸ ἐξ ὑγροῦ διεπράχθη, καθὰ καὶ τὸ τῆς Σαμαρείτιδος, καὶ τὸ τοῦ Παραλύτου. γέγονε δὲ οὕτω. Τοῦ Χριστοῦ διαλεγομένου τοῖς Ἰουδαίοις, καὶ ἑαυτὸν ἴσον ἀποδεικνύντος τῷ Πατρί, καὶ πρὶν Ἀβραὰμ γενέσθαι, ἐγὼ

εἶναι λέγοντος, ἐκεῖνοι λίθους κατ' αὐτοῦ βάλλουσιν. ὁ δὲ ἀναχωρῶν ἐκεῖθεν, εὑρίσκει τὸν Τυφλὸν παραπαίοντα. ἦν δὲ οὕτω γεννηθεὶς, τύπον καὶ τὰ κοῖλα ἔχων μόνον τῶν ὀφθαλμῶν. Εὑρὼν οὖν αὐτὸν ὁ Σωτὴρ οὕτως ἔχοντα, ἐρωτᾶται παρὰ τῶν Μαθητῶν (ἀκηκοότων ἐν τῷ εἰς τὸν Παράλυτον· ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε· καὶ ὅτι ἁμαρτία γονέων ἐπὶ τέκνα.) Ῥαββὶ, τίς ἥμαρτεν; οὗτος, ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα Τυφλὸς γεννηθῇ; ἄλλως τε καὶ δόξα Ἐπικούρειός τις ἐκράτει, τὰς ψυχὰς προϋπάρχειν, καὶ ἁμαρτησάσας αὔλως κατάγεσθαι εἰς τὰ σώματα, ἅπερ ἅπαντα ἀναιρῶν ὁ Χριστὸς, ἔφησεν· οὐ διὰ ταῦτα, ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ, ἤγουν ἐμοῦ. οὐ γὰρ περὶ τοῦ Πατρὸς ὁ λόγος. τὸ δὲ, ἵνα, τῆς ἀποφάσεώς ἐστιν, οὐ τῆς αἰτίας. καὶ τοῦτο εἰπὼν ὁ Χριστὸς, πτύσας χαμαὶ, καὶ πηλὸν ποιήσας, ἐπέχρισε τοὺς τύπους τῶν ὀφθαλμῶν αὐτοῦ, καὶ πρὸς τὴν τοῦ Σιλωὰμ πηγὴν ἀπελθεῖν, καὶ νίψασθαι ἐγκελεύεται, ἵνα δείξῃ ὅτι αὐτός ἐστιν ὁ κατ' ἀρχὰς χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ πλάσας τὸν ἄνθρωπον. ἐπεὶ δὲ πάντων ὁ ὀφθαλμὸς τῶν ἐν τῷ σώματι κυριώτερον, τοῦτον πλάττει μὴ ὄντα, δεικνύων ὅτι καὶ τῇ ψυχικῇ δυνάμει κίνησιν αὐτός ἐστιν ὁ παρέχων. οὐκ ἐχρήσατο δὲ ὕδατι, ἀλλὰ πτύσματι, ἵνα γνώριμον εἴη, ὡς ἡ χάρις ἅπασα ἀπὸ τοῦ ἐμπτύσαντος στόματος ἦν. καὶ ὅτι πρὸς τὸν Σιλωὰμ αὐτὸν ἀποπέμπειν ἔμελλε. νίψασθαι δὲ αὐτὸν προτρέπει, ἵνα μήτις τῇ ἐκεῖθεν γῇ καὶ τῷ πηλῷ δῴη τὴν θεραπείαν. στέλλει δὲ αὐτὸν πρὸς τὸν Σιλωὰμ, ἵνα πολλοὺς ἔχῃ τῆς ἰάσεως μάρτυρας. πολλοῖς γὰρ ἂν συνήντησεν ἀπιὼν, κεχρισμένος πηλῷ τὰ ὄμματα. Φασὶ δέ τινες, ὡς νιψάμενος, οὐκ ἀπεβάλλετο τὸν ἐκ τοῦ πτύσματος πηλὸν, ἀλλ' αὐτὸς ὁ πηλὸς τῇ προσβολῇ τοῦ ὑγροῦ, πρὸς ὀφθαλμῶν πλάσιν μετεσχηματίζετο. Σιλωὰμ δὲ, ἀπεσταλμένος ἑρμηνεύεται. ἡ γὰρ κολυμβήθρα αὕτη, ἔξω τῆς Πόλεως Ἱερουσαλὴμ ἐτύγχανεν. ἐπὶ δὲ Ἐζεκίου, πολεμίων παρακαθισάντων τὴν Πόλιν, καὶ τὸν Σιλωὰμ καταδεχόντων, ἀνεχαιτίσθη τὸ ὕδωρ ἐκεῖθεν. πρὶν δὲ φρέατα καὶ λάκκους ὀρύξαι, τοὺς ἔνδον εἰς ὑποδοχὴν ὕδατος, εἴτις κελεύσει τοῦ Προφήτου Ἠσαΐου ἐστέλλετο, τὸ ὕδωρ πάλιν ἀθρόον ἐξήρχετο, καὶ ὑδρεύετο. εἰδέ τις ἐξ ἑαυτοῦ, ἢ καὶ πολέμιοις, ἐπείχετο ἡ τοῦ ὕδατος ἔκροια, καὶ ἐξ ἐκείνου οὕτως ἐγίνετο. ἵνα τοίνυν δείξῃ καὶ ὁ Χριστὸς, ὅτι ἐκ Θεοῦ καὶ αὐτὸς, διὰ τοῦτο τὸν Τυφλὸν ἀποστέλλει ἐκεῖ, καὶ τὸ φῶς αὐτίκα ἐφέπεται. Τισὶ μέν τοι ἔδοξεν ἀπεσταλμένον τὸν Σιλωὰμ ἑρμηνεύεσθαι, καὶ διὰ τὸν παρόντα Τυφλὸν, ἀποσταλέντα παρὰ Χριστοῦ. Ὀμματοῦται τοίνυν νιψάμενος ὁ Τυφλὸς ἀρρήτῳ τινὶ δυνάμει, μηδ' αὐτοῦ τοῦ παθόντος τὸ μυστήριον ἐξειδότος. Οἱ δὲ γειτνιῶντες αὐτῷ, καὶ ἄλλως γνώριμοι, κατιδόντες αὐτὸν ἐξεπίτηδες ἀναβλέψαντα, ἀμφιβάλλοντες ἦσαν. ἐκεῖνος δ' οὖν ὡμολόγει ὁ πρώην εἶναι Τυφλός. καὶ τὸ αἴτιον τῆς ὁράσεως ἐρωτώμενος, ἰατρὸν τοῦ πάθους τὸν Χριστὸν ἀνεκήρυσσε. Τῶν οὖν Φαρισαίων τὸ παράδοξον ἀκηκοότων σημεῖον, πάλιν ὁ Σωτὴρ βλασφημεῖται, ὡς τὸ Σάββατον μὴ τηρῶν. ἐν Σαββάτῳ γὰρ ὡς ἔοικε καὶ τὸ κατὰ τὸν Τυφλὸν διεπράχθη. σχίσμα τοίνυν γίνεται τούτων μεταξὺ, τῶν μὲν λεγόντων ἐκ Θεοῦ εἶναι τὸν Ἰησοῦν, διὰ τὰ γενόμενα θαύματα, τῶν δὲ μὴ ἀπὸ Θεοῦ, ὅτι τὸ Σάββατον οὐ τηρεῖ. Οἱ οὖν ἀγαθὴν περὶ αὐτοῦ δόξαν ἔχοντες, τὸν Τυφλὸν ἐρωτῶσι· σὺ τί λέγεις περὶ αὐτοῦ; ὁ δὲ, Προφήτην τοῦτον ἀνακηρύσσει· ὃ δὴ παρ' ἐκείνοις ἦν τιμιώτερον. οἱ δὲ πάλιν διαπιστοῦσιν, ὅτι τυφλῷ γε ὄντι, τὴν θεραπείαν ὁ Χριστὸς ἐχαρίσατο. ἀμέλει καὶ τοὺς γονεῖς αὐτοῦ μεταστέλλονται, μὴ τοῖς γείτοσιν ἴσως πιστεύοντες. ὅθεν καὶ μᾶλλον αὐτὸ συσκιάσαι θέλοντες, καὶ πλέον ποιοῦσι κατάδηλον, τῶν γεννητόρων ἅπαντα διομολογούντων, κἂν διὰ τὸ μὴ ἀποσυνάγωγοι γενέσθαι, εἰς τὴν ἐκείνου ἡλικίαν τὴν πρᾶξιν ἀνάγουσιν. Ἀλλὰ καὶ πάλιν πρὸς τὸν Τυφλὸν λέγουσι· δὸς δόξαν τῷ Θεῷ, ὅτι ἐκεῖθεν ἡ ἴασις δῆθεν, οὐχ ὑπὸ τοῦ Χριστοῦ. ἁμαρτωλὸς γάρ ἐστιν ὅτι λύει τὸ Σάββατον. ὁ δὲ, ἔργοις δη-

λῶ-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

λῶσαι θέλων, ὅτι Θεός ἐστιν, οὐκ οἶδα φησίν. ἓν ἐπίσταμαι, ὅτι Τυφλὸς ὤν, δι' αὐτοῦ βλέπω. Πάλιν οὖν εἶπον αὐτῷ· πῶς ἤνοιξέ σου τοὺς ὀφθαλμούς; ὁ δ' ἀχθόμενος, οὐ καταλεπτὸν λέγει, ἀλλὰ συνιστᾷ, ὅτι εἰμὴ ἀπὸ Θεοῦ ἦν, οὐκ ἂν τοιοῦτο σημεῖον ἐποίησε. καὶ πρῶτον μὲν, ὑβρίζεται παρ' ἐκείνων, ὡς ὁμολογήσας Μαθητὴς εἶναι ἐκείνου. καὶ ὅτι εἶπεν, οὐδεὶς ἀνέῳξεν ὀφθαλμοὺς Τυφλοῦ γεγεννημένου. Τυφλοὺς γὰρ καὶ ἄλλοι ὠμμάτωσαν. γεγεννημένου δὲ Τυφλοῦ, οὐδείς. ἐμπαίζοντες τοίνυν αὐτὸν, πόῤῥω τῆς συναγωγῆς ἔβαλον. Μετὰ δὲ ταῦτα, εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς, καὶ λέγει αὐτῷ· σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ; ὁ δὲ μαθὼν, ὅς τις ἐστὶν, ὁ μετ' αὐτοῦ λαλῶν, καὶ ὁρώμενος δι' αὐτοῦ· (οὐ γὰρ ᾔδει αὐτὸν πρότερον ἅτε Τυφλὸς ὤν·) προσεκύνησεν αὐτῷ, καὶ Μαθητὴς αὐτοῦ ἐχρημάτισε, τὴν εὐεργεσίαν ἀνακηρύττων. Ῥηθείη δ' ἂν καὶ ἀναγωγικῶς. Τυφλὸς μὲν, καὶ ὁ ἐξ Ἐθνῶν Λαὸς, ὅντινα παράγων ἀντὶ τοῦ ἐν τῇ γῇ διατρίβων, οὐκ ἐν Οὐρανῷ, εὗρεν ὁ Χριστός. ἢ καὶ ὅτι διὰ τὸν Ἑβραϊκὸν ἦλθε Λαὸν, παροδικῶς δὲ διέβη καὶ εἰς τὰ Ἔθνη. καὶ πτύσας χαμαὶ, καὶ πηλὸν ποιήσας ἔχρισεν, ἀντὶ τοῦ ἐδίδαξεν αὐτοὺς πρῶτον, ὅτι ὡσεὶ σταγὼν κατέβη ἐπὶ τῆς γῆς, καὶ ἐσαρκώθη ἐκ τῆς ἁγίας Παρθένου, εἶτα καὶ τὸ θεῖον Βάπτισμα παραδέδωκεν· ὃ δηλοῖ ὁ Σιλωάμ. Ἔπειτα ὁ ἐξ Ἐθνῶν Χριστιανικὸς Λαὸς, ὑπὲρ Χριστοῦ πρὸς πάντας παῤῥησιάζεται καὶ διώκεται, καὶ μαρτυρεῖ, καὶ ὕστερον παρ' αὐτοῦ ἀνακηρύττεται καὶ δοξάζεται. Τῷ ἀπείρῳ ἐλέει σου φωτοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„ Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός. καὶ διὰ πάθους τὸ θνητὸν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον· ὃν δὲ ὡς θνητὸν μετὰ δακρύων ἐζήτουν, προσεκύνησαν, χαίρουσαι ζῶντα Θεόν. καὶ Πάσχα τὸ μυστικὸν, σοῖς Χριστὲ Μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν, Ἅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς τῆς αἰωνίου ἀπαρχήν. καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν, τῶν Πατέρων Θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος νὺξ, καὶ φωταυγὴς, τῆς λαμπροφόρου ἡμέρας τῆς ἐγέρσεως, οὖσα προάγγελος. ἐν ᾗ τὸ ἄχρονον φῶς, ἐκ τάφου σωματικῶς πᾶσιν ἐπέλαμψεν.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Νεκρώσας ὁ Υἱός σου τὸν θάνατον, Πανάμωμε σήμερον, πᾶσι τοῖς θνητοῖς, τὴν διαμένουσαν ζωὴν, εἰς αἰῶνας αἰώνων δεδώρηται, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὁ πάσης βασιλεύων τῆς Κτίσεως, γενόμενος ἄνθρωπος, ᾤκησε τὴν σὴν, Θεοχαρίτωτε νηδὺν, καὶ Σταυρὸν ὑπομείνας καὶ θάνατον, ἀνέστη θεοπρεπῶς, συνεγείρας ἡμᾶς ὡς Παντοδύναμος.

Εἱρμὸς, Ἄλλος.

Πυρὸς σβεστήριον τῶν Παίδων ἡ προσευχὴ, δροσίζουσα κάμινον, κήρυξ τοῦ θαύματος, μὴ φλογίζουσα, μηδὲ συγκαίουσα, τοὺς ὑμνολόγους Θεοῦ τῶν Πατέρων ἡμῶν.

Ἀναρτηθέντος σου ἐπὶ τοῦ ξύλου Σωτὴρ, ἐσβέσθη ὁ Ἥλιος, γῆ ἐκυμαίνετο, ἐσαλεύετο ἡ Κτίσις ἅπασα, καὶ ἐκ τῶν τάφων νεκροὶ ἐξεγείροντο.

Ἐξεγερθέντος σου ἐκ τῶν νεκρῶν Βασιλεῦ, ψυχαὶ συνηγέρθησαν ἐκεῖ καθεύδουσαι, καὶ δοξάζουσι τὴν δυναστείαν σου, δι' ἧς θανάτου δεσμὰ διελύθησαν.

Ὄρθρου μυρίσαι σε γυναίων ἦλθε χορὸς, μαθοῦσαι δὲ Κύριε ἐξεγερθέντα σε, συνέχαιρον τοῖς ἱεροῖς Μαθηταῖς, δι' ὧν παράσχου ἡμῖν ἱλασμὸν τῶν κακῶν.

Πηλὸν ἐπέχρισας, τοὺς ὀφθαλμοὺς τοῦ Τυφλοῦ, καὶ τούτῳ προσέταξας πρὸς Σιλωὰμ ἀπελθεῖν. νιψάμενος δὲ ἀνέβλεψεν, ὑμνολογῶν σε Χριστὲ, Βασιλεῦ τοῦ παντός.

Δόξα.

Πατέρα ἄναρχον, συνάναρχόν τε Υἱὸν, καὶ Πνεῦμα πανάγιον ὑμνολογήσω-

μῶν. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεὸς, Βασιλεῦ τοῦ παντός.

Καὶ νῦν. Θεοτοκίον.

Μετὰ τὴν κύησιν Παρθένος ὤφθης Ἁγνή. Θεὸν γὰρ ἐγέννησας καινοτομήσαντα, Φύσεις Ἄχραντε, τῇ δυνάμει αὐτοῦ, ὃν ἐκδυσώπει σωθῆναι πάντας ἡμᾶς.

Καταβασία.

Ὁ Ἐν καμίνῳ πυρὸς, τοὺς ὑμνολόγους σώσας Παῖδας, ἀλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ Βασιλὶς καὶ κυρία. Ἑορτῶν Ἑορτὴ, καὶ πανήγυρις ἐστὶ πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος, τῆς θείας εὐφροσύνης, ἐν τῇ ἐπισήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, Βασιλείας τοῦ Χριστοῦ κοινωνήσωμεν, ὑμνοῦντες αὐτὸν, ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν, καὶ ἴδε. ἰδοὺ γὰρ ἥκασί σοι θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ Δυσμῶν καὶ Βοῤῥᾶ καὶ θαλάσσης, καὶ Ἑῴας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ Παντοκράτορ, καὶ Λόγε, καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη, ἐν ὑποστάσεσι φύσις, Ὑπερούσιε καὶ Ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἦλθε διὰ σοῦ εἰς τὸν Κόσμον ὁ Κύριος, Παρθένε Θεοτόκε, καὶ τὴν γαστέρα τοῦ ᾅδου, διαῤῥήξας θνητοῖς, τὴν ἀνάστασιν ἡμῖν ἐδωρήσατο. διὸ εὐλογοῦμεν, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὅλον καθελὼν τοῦ θανάτου τὸ κράτος, ὁ Υἱός σου Παρθένε, ἐν τῇ αὐτοῦ Ἀναστάσει, ὡς Θεὸς κραταιὸς, συνανύψωσεν ἡμᾶς, καὶ ἐθέωσε. διὸ ἀνυμνοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἱρμὸς Ἄλλος.

Ἀγγέλων σύστημα, ἀνθρώπων σύλλογος, τὸν Βασιλέα καὶ Κτίστην τοῦ παντὸς, Ἱερεῖς ὑμνεῖτε, εὐλογεῖτε Λευῖται, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀγγέλων τάγματα, Σταυρῷ κρεμάμενον, κατεῖδόν σε Χριστὲ Παμβασιλεῦ, καὶ τὴν Κτίσιν πᾶσαν ἀλλοιοῦντα τῷ φόβῳ, ἐξέστησαν ὑμνοῦντα, τὴν σὴν φιλανθρωπίαν.

Ὁ Ἅδης κάτωθεν, ἰδὼν ἐστέναξε, καὶ ἀπεδίδου σπουδαίως τοὺς νεκροὺς, τοὺς ἐκ τοῦ αἰῶνος ἐκεῖσε φρουρουμένους, Χριστὲ ὑμνολογοῦντας, τὴν σὴν φιλανθρωπίαν.

Τελῶν τεράστια, Χριστὲ ἐξαίσια, ἐθελουσίως ὑψώθης ἐν Σταυρῷ. καὶ νεκροῖς συνήφθης, ὁ νεκρώσας τὸν ᾅδην, καὶ πάντας ἐν ἀνδρείᾳ, ἀπέλυσας δεσμίους.

Τυφλὸν ὀμμάτωσας, σοὶ προσελθόντα Χριστὲ, τούτῳ προστάξας πηγῇ τοῦ Σιλωὰμ, νίψασθαι καὶ βλέψαι, καὶ Θεόν σε κηρύξαι, σαρκὶ ἐπιφανέντα, εἰς Κόσμου σωτηρίαν.

Δόξα.

Τριὰς ἀμέριστε, Μονὰς ἀσύγχυτε, Θεὲ τῶν ὅλων καὶ Κτίστα τοῦ παντὸς, τοὺς ὑμνολογοῦντας, καὶ πιστῶς προσκυνοῦντας, τὸ κράτος σου παντοίων, πειρατηρίων σῶζε.

Καὶ νῦν. Θεοτοκίον.

Πάρθενε Ἄχραντε Θεοχαρίτωτε, τὸν σὸν δυσώπει Υἱὸν διαπαντὸς, μή με καταισχυνθῆναι ἐν ἡμέρᾳ τῆς δίκης, ἀλλὰ συναριθμῆσαι τοῖς ἐκλεκτοῖς προβάτοις.

Καταβασία.

Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων γεννηθέντα, Υἱὸν καὶ Θεὸν, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων, σαρκωθέντα, ἐκ Παρθένου Μητρὸς, Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Φωτίζου, φωτίζου ἡ Νέα Ἱερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. χόρευε νῦν, καὶ ἀγάλλου Σιών· σὺ δὲ Ἁγνὴ, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὢ θείας, ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς, μεθ' ἡμῶν ἀψευδῶς γὰρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστέ. ἣν οἱ πιστοὶ, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Ὢ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστὲ, ὢ σοφία καὶ Λόγε, τοῦ Θεοῦ καὶ δύναμις, δίδου ἡμῖν ἐκτυπώτερον σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς Βασιλείας σου.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Εὐφρόνως Παρθένε, σὲ μακαρίζομεν πιστοί. χαῖρε πύλη Κυρίου. χαῖρε πόλις ἔμψυχε. χαῖρε δι᾽ ἧς ἡμῖν ἔλαμψε σήμερον φῶς, τοῦ ἐκ σοῦ τεχθέντος, τῆς ἐκ νεκρῶν Ἀναστάσεως.

Εὐφραίνου ἀγάλλου, ἡ θεία πύλη τοῦ φωτός. ὁ γὰρ δύνας ἐν τάφῳ Ἰησοῦς ἀνέτειλε, λάμψας Ἡλίου φαιδρότερον, καὶ τοὺς πιστοὺς, πάντας καταυγάσας, Θεοχαρίτωτε Δέσποινα.

Εἱρμὸς Ἄλλος.

„ Ὅτι ἐποίησέ σοι μεγαλεῖα ὁ δυνατὸς, Παρθένον ἀναδείξας σε Ἁγνὴν, μετὰ τὴν κύησιν, ὡς τεκοῦσαν ἀσπόρως τὸν ἑαυτῆς ποιητήν. διό σε Θεοτόκε μεγαλύνομεν.

Ξύλῳ προσεπάγης τοῦ Σταυροῦ Χριστὲ ὁ Θεὸς, καὶ πάσας ἐθριάμβευσας ἐχθροῦ, τὰς ἁμαρτίας ἀρχὰς, καὶ τὴν πρώην κατάραν Σῶτερ ἠφάνισας. διό σε καταχρέως μεγαλύνομεν.

Ὡς ἔβλεψέ σε Λόγε, ᾅδης κάτω μετὰ ψυχῆς, ἐστέναξε, καὶ πάντας τοὺς νεκροὺς, φόβῳ ἀπέλυσεν, ἐπιγνόντας τὸ κράτος τῆς ἐξουσίας σου. διό σε καταχρέως μεγαλύνομεν.

Σημεῖα ἐκτελοῦντα καὶ τεράστια φοβερὰ, ὁ δῆμος τῶν Ἑβραίων καθορῶν, φθόνῳ ἀπέκτεινε, τὸν σκυλεύσαντα ᾅδην τῇ Ἀναστάσει αὐτοῦ, καὶ πάντας ὡς δυνατὸς συνεγείραντα.

Ἠγέρθης καθὼς εἶπας, ζωοδότα ἐκ τῶν νεκρῶν, καὶ ὤφθης τοῖς ἁγίοις Μαθηταῖς μετὰ τὴν ἔγερσιν· ὁ σημεῖα ποιήσας, καὶ ὀμματώσας Τυφλοὺς, μεθ᾽ ὧν σε εἰς αἰῶνας μεγαλύνομεν.

Δόξα.

Φῶς τὸν Πατέρα σέβω, φῶς δοξάζω καὶ τὸν Υἱὸν, φῶς ἀνυμνῶ τὸ Πνεῦμα τὸ θεῖον, ἓν φῶς ἀμέριστον, ἐν τρισὶ χαρακτῆρσι καταγινόμενον Θεὸν, Βασιλέα πάσης Κτίσεως.

Καὶ νῦν. Θεοτοκίον.

Φανεῖσα πλατυτέρα Οὐρανῶν, Παρθένε Ἁγνὴ, ἐχώρησας Θεὸν σωματικῶς, τὸν ἀπερίγραπτον, καὶ ἐκύησας πάντων εἰς ἀπολύτρωσιν, τῶν πίστει ἀδιστάκτῳ ἀνυμνούντων σε.

Καταβασία.

„ Σὲ τὴν ὑπὲρ νοῦν, καὶ Λόγον Μητέρα Θεοῦ, τὴν ἐν χρόνῳ τὸν ἄχρονον ἀφράστως κυήσασαν, οἱ Πιστοὶ ὁμοφρόνως μεγαλύνομεν.

Ἐξαποστειλάριον.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. Ἦχος γ'.

Καὶ τοῦ Πάσχα.

Σαρκὶ ὑπνώσας ὡς θνητός.

Ἕτερον τοῦ Τυφλοῦ. Ὅμοιον.

Τοὺς νοερούς μου ὀφθαλμοὺς, πεπηρωμένους Κύριε, ἐκ ζοφερᾶς ἁμαρτίας, σὺ φωταγώγησον ἐλθὼν, Οἰκτίρμων τῇ ταπεινώσει, καὶ τοῖς τῆς μετανοίας, ἀποπλύνον δάκρυσιν.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Παράγων ὁ Σωτὴρ ἡμῶν, εὗρε Τυφλὸν ἀόμματον, πτύσας χαμαὶ καὶ ποιήσας, πηλὸν ἐπέχρισε τοῦτον, πρὸς Σιλωὰμ ἀπέστειλε, τοῦ ἀπελθεῖν καὶ νίψασθαι. ὁ δὲ νιψάμενος ἦλθε, βλέπων τὸ φῶς σου Χριστέ μου.

Εἰς τοὺς Αἴνους, ἵστωμεν στίχους η'. καὶ ψάλλομεν η'. Ἀναστάσιμα, δ'. καὶ Ἀνατολικὰ, γ'. καὶ τοῦ Τυφλοῦ, α'. ἦχος. πλ. δ'. μετὰ τοῦ η'.

Ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με.

Ἀναστάσιμα. ἦχος, πλ. α'.

Κύριε, ἐσφραγισμένου τοῦ τάφου ὑπὸ τῶν παρανόμων, προῆλθες ἐκ τοῦ Μνήματος, καθὼς ἐτέχθης ἐκ τῆς Θεοτόκου. οὐκ ἔγνωσαν πῶς ἐσαρκώθης, οἱ ἀσώματοί σου Ἄγγελοι. οὐκ ᾔσθοντο πότε ἀνέστης, οἱ φυλάσσοντές σε στρατιῶται. ἀμφότερα γὰρ ἐσφράγισται τοῖς ἐρευνῶσι. πεφανέρωται δὲ τὰ θαύματα, τοῖς προσκυνοῦσιν ἐν πίστει τὸ μυστήριον. ὃ ἀνυμνοῦσιν, ἀπόδος ἡμῖν ἀγαλλίασιν, καὶ τὸ μέγα ἔλεος.

Κύριε, τοὺς μοχλοὺς τοὺς αἰωνίους συντρίψας, καὶ δεσμὰ διαῤῥήξας τοῦ Μνήματος ἀνέστης, καταλιπών σου τὰ ἐντάφια, εἰς μαρτύριον τῆς ἀληθοῦς τριημέρου ταφῆς σου. καὶ προῆγες ἐν τῇ Γαλιλαίᾳ, ὁ ἐν σπηλαίῳ τηρούμενος. μέγα σου τὸ ἔλεος, ἀκατάληπτε Σωτὴρ, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Κύριε, αἱ Γυναῖκες ἔδραμον ἐπὶ τὸ Μνῆμα, τοῦ ἰδεῖν σε τὸν Χριστὸν, τὸν δι᾽ ἡμᾶς παθόντα. καὶ προσελθοῦσαι, εὗρον Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τὸν φόβῳ κυλισθέντα, καὶ πρὸς αὐτὰς ἐβόησε λέγων· ἀνέστη ὁ Κύριος· εἴπατε τοῖς Μα-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

θηταῖς, ὅτι ἀνέστη ἐκ νεκρῶν, ὁ σώζων τὰς ψυχὰς ἡμῶν.

Κύριε, ὥσπερ ἐξῆλθες ἐσφραγισμένου τοῦ τάφου, οὕτως εἰσῆλθες καὶ τῶν θυρῶν κεκλεισμένων πρὸς τοὺς Μαθητάς σου, δεικνύων αὐτοῖς τὰ τοῦ σώματος πάθη, ἅπερ κατεδέξω Σωτὴρ μακροθυμήσας. ὡς ἐκ σπέρματος Δαβὶδ, μώλωπας ὑπήνεγκας. ὡς Υἱὸς δὲ τοῦ Θεοῦ, Κόσμον ἠλευθέρωσας. μέγα σου τὸ ἔλεος, ἀκατάληπτε Σωτὴρ, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ἕτερα δ'. Ἀνατολικά. Ἦχος, πλ. α'.

Κύριε, ὁ Βασιλεὺς τῶν αἰώνων, καὶ ποιητὴς τῶν ἁπάντων, ὁ δι' ἡμᾶς σταύρωσιν καὶ ταφὴν σαρκὶ καταδεξάμενος, ἵνα ἡμᾶς τοῦ ᾅδου, ἐλευθερώσῃς πάντας. σὺ εἶ ὁ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Κύριε, τὰ ὑπερλάμποντά σου θαύματα, τίς διηγήσεται; ἢ τίς ἀπαγγελεῖ τὰ φρικτά σου μυστήρια; ἐνανθρωπήσας γὰρ δι' ἡμᾶς, ὡς αὐτὸς ἠθέλησας, τὸ κράτος ἐφανέρωσας τῆς δυνάμεώς σου. ἐν γὰρ τῷ Σταυρῷ σου, τῷ λῃστῇ Παράδεισον ἤνοιξας, καὶ ἐν τῇ ταφῇ σου, τοὺς μοχλοὺς τοῦ ᾅδου συνέτριψας, καὶ ἐν τῇ Ἀναστάσει σου, τὰ σύμπαντα ἐπλούτισας, εὔσπλαγχνε δόξα σοι.

Μυροφόροι γυναῖκες, τὸν τάφον σου καταλαβοῦσαι λίαν πρωῒ, ἐπεζήτουν σε μυρίσαι, τὸν ἀθάνατον Λόγον καὶ Θεόν. καὶ τοῦ Ἀγγέλου τοῖς ῥήμασιν ἐνηχηθεῖσαι, ὑπέστρεφον ἐν χαρᾷ, τοῖς Ἀποστόλοις μηνύουσαι ἐμφανῶς· ὅτι ἀνέστης ἡ ζωὴ τῶν ἁπάντων, καὶ παρέχεις τῷ Κόσμῳ ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος.

δ'. Ἐπίβλεψον ἐπ' ἐμέ.

Τοῦ Τυφλοῦ Ἰδιόμελον, Ἦχος, πλ. β'.

Ὁ διὰ σπλάγχνα ἐλέους, σαρκωθεὶς Χριστὲ ὁ Θεὸς, τὸν τοῦ φωτὸς ἐστερημένον ἀπὸ μήτρας, σπλάγχνοις ἀφάτοις οἰκτιρμῶν, λαμπηδόνος θείας κατηξίωσας· τούτου τὰς κόρας, τῷ χοῒ τοῖς σοῖς πλαστουργοῖς δακτύλοις σου προσψαύσας. αὐτὸς καὶ νῦν φωτοπάροχε καὶ ἡμῶν καταύγασον, τὰ τῆς ψυχῆς αἰσθητήρια, ὡς μόνος ἀφθονοπάροχος.

Δόξα, Ἦχος, πλ. β'.

Τίς λαλήσει τὰς δυναστείας σου Χριστέ; ἢ τίς ἐξαριθμήσει τῶν θαυμάτων σου τὰ πλήθη; διπλοῦς γὰρ ὡς ὡράθης ἐπὶ γῆς δι' ἀγαθότητα, διπλᾶς καὶ τὰς ἰάσεις τοῖς νοσοῦσιν ἐχορήγεις. οὐ μόνον γὰρ τοῦ σώματος ὀφθαλμοὺς διήνοιξας τοῦ ἀπὸ μήτρας πηρωθέντος, ἀλλὰ καὶ τοὺς τῆς ψυχῆς. ὅθεν Θεόν σε ὡμολόγει τὸν κρυπτόμενον, καὶ πᾶσι παρέχοντα τὸ μέγα ἔλεος.

Καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν α'. Ὥραν τὸ Ἑωθινόν. Ἦχος, πλ. δ'.

Τὰ τῆς Μαρίας δάκρυα, οὐ μάτην χεῖνται θερμῶς. ἰδοὺ γὰρ κατηξίωται, καὶ διδασκόντων Ἀγγέλων, καὶ τῆς ὄψεως τῆς σῆς ὦ Ἰησοῦ. ἀλλ' ἔτι πρόσγεια φρονεῖ, οἷα γυνὴ ἀσθενής. διὸ καὶ ἀποπέμπεται μὴ προσψαῦσαί σοι Χριστέ· ἀλλ' ὅμως κῆρυξ πέμπεται τοῖς σοῖς Μαθηταῖς, οἷς Εὐαγγέλια φέρουσα, τὴν πρὸς τὸν πατρῷον κλῆρον ἄνοδον ἀπαγγέλλουσα. μεθ' ἧς ἀξίωσον καὶ ἡμᾶς, τῆς ἐμφανείας σου Δέσποτα Κύριε.

Εἰς τὴν Λειτουργίαν οἱ Μακαρισμοὶ τοῦ Ἤχου.

Ὁ Λῃστὴς ἐν τῷ Σταυρῷ, Θεὸν εἶναί σε πιστεύσας Χριστὲ, ὡμολόγησέ σε εἰλικρινῶς ἐκ καρδίας· μνήσθητί μου Κύριε βοῶν, ἐν τῇ Βασιλείᾳ σου.

Τὸν ἐν τῷ ξύλῳ τοῦ Σταυροῦ ζωὴν ἀνθήσαντα τῷ γένει ἡμῶν, καὶ ξηράναντα τὴν ἐκ τοῦ ξύλου κατάραν, ὡς Σωτῆρα καὶ δημιουργὸν, συμφώνως ὑμνήσωμεν.

Σταυρωθέντος σου Χριστὲ, ἐν μέσῳ δύο καταδίκων λῃστῶν· ὁ μὲν εἷς βλασφημῶν σε κατεκρίθη δικαίως· ὁ δὲ ἄλλος σὲ ὁμολογῶν, Παράδεισον ᾤκησε.

Τῶν Ἀποστόλων τὸν χορὸν, παραγενόμεναι γυναῖκες σεμναὶ, ἀνεβόησαν· ὁ Χριστὸς ἀνέστη, ὡς Δεσπότην καὶ δημιουργὸν, αὐτὸν προσκυνήσωμεν.

Καὶ ἀπὸ τοῦ Κανόνος τῆς Ἑορτῆς τοῦ Τυφλοῦ, ᾠδὴ, ς'.

Τῇ Κυριακῇ τοῦ Τυφλοῦ Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, δ'. τῆς Ἑορτῆς, γ'. καὶ τοῦ Μηναίου, γ'. τῆς Ἑορτῆς, Ἦχος, πλ. α'.

Χαίροις ἀσκητικῶν.

Ὄμμα ὁλομελίας βροτῶν, καὶ ὀφθαλμὸς τοῦ κοσμικοῦ τούτου σώματος, ὑπάρχων

Θεέ

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θεὲ καὶ Λόγε, καὶ τῶν ὀμμάτων κοινὸς, δημιουργὸς καὶ πλάστης χρηματιζόμενος· καὶ νῦν ἐκ τοῦ κράμματος, τοῦ πηλοῦ καὶ τοῦ πτύσματος, Τυφλὸν ἀῤῥήτως, ὀμματοῖς ἐν δακτύλοις σοῖς, καταπλάττουσι, καὶ πηλὸν καὶ τὴν ὅρασιν· ἧς καὶ τυχὼν ὁ πρὶν, ἐν γεννητοῖς χρηματιζόμενος, Ἥλιον ὅλως μὴ βλέπων, σὲ τὸν γλυκὺν ὁρᾷ Ἥλιον, ἰδὼν τὴν εἰκόνα, τοῦ ἡμᾶς δι' εὐσπλαγχνίαν, ἄφατον πλάσαντος.

Μέλη καὶ ἀρτίαν πλουτῶν, τῆς τῶν βροτῶν σωματικῆς ὀργανώσεως, ὁ πρώην Τυφλὸς ἐκ μήτρας, τῆς μητρικῆς προελθὼν, ὡς μηδὲ τὴν πλάσιν εἶναι ᾤετο, ὀμμάτων τὴν στέρησιν, ἀπορήσας ἀνάθατον. ἐξ ἧς τοὺς πόδας, καὶ τὰ πλείω τοῦ σώματος, τοῖς προσκρούσμασι, τοῖς τῶν λίθων ἐξήρθρωτο· ὃς διὰ σοῦ καὶ τοῦτον, τὸν πλουτισμὸν ἐπικτώμενος, βλέπει τὸ φῶς τὸ τοῦ Κόσμου, καὶ τὸν τῶν φώτων σε πρύτανιν, Θεὸν καὶ Δεσπότην, τῶν κτισμάτων καταγγέλλει, Κτίστην παγκόσμιον.

Ὕποπτος γραμματεῦσι τυφλοῖς, ὀμματωθεὶς ὁ πρὶν τυφλώττων τεθέαται. ὡς τύχα μηδ' ὅλως βλέπων, Σαββατισμοῖς νομικοῖς, τὴν ἐν Σαββάτῳ τούτου ὀμματουργησιν· τυφλώττειν ἐθέλουσι, σκοτασμοῖς τοῖς τοῦ γράμματος· ἐν οἷς ἐκλάμπει, ὁ γλυκὺς Χριστὸς Ἥλιος, Σαββατουργησιν, καινουργῶν διαπράξασθαι· ὃς τὸ σκιῶδες τούτου, φωτουργῶν καὶ τὸ κάλυμμα, αἴρων τὸ φῶς τὸ ἐν τούτοις, καὶ τοῖς Τυφλοῖς ἐχορήγησε, Θεὸν θεωμένοις, τὸν τῶν φώτων φωτεργάτην, καὶ Σαββάτων Κύριον.

Δόξα, καὶ νῦν. Ἦχος β΄.

Ὁ Τυφλὸς γεννηθεὶς, ἐν τῷ ἰδίῳ λογισμῷ ἔλεγεν· ἆρα ἐγὼ δι' ἁμαρτίας γονέων ἐγεννήθην ἀόμματος; ἆρα ἐγὼ δι' ἀπιστίαν ἐθνῶν ἐγεννήθην εἰς ἔνδειξιν; οὐχ ἱκανῶ τοῦ ἐρωτᾶν, πότε νὺξ, πότε ἡμέρα. οὐκ ἀντομοῦσί μου οἱ πόδες τὰ τῶν λίθων προσκρούσματα. οὐ γὰρ εἶδον τὸν Ἥλιον λάμποντα, οὐδὲ ἐν εἰκόνι τὸν ἐμὲ πλαστουργήσαντα. ἀλλὰ δέομαί σου Χριστὲ ὁ Θεὸς, ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με.

Εἰς τὸν [illegible] Ἀναστάσιμον τῆς Ὀκτωήχου, ἦχος πλ. α΄.

Διὰ τοῦ τιμίου σου Σταυροῦ Χριστὲ, διάβολον ᾔσχυνας. καὶ διὰ τῆς Ἀναστάσεώς σου, τὸ κέντρον τῆς ἁμαρτίας ἤμβλυνας. καὶ ἔσωσας ἡμᾶς, ἐκ τῶν πυλῶν τοῦ θανάτου· δοξάζομέν σε μονογενές.

Πρὸς σὲ ἦρα. Κατανυκτικόν.

Κύριε ἁμαρτάνων οὐ παύομαι, φιλανθρωπίας ἀξιούμενος οὐ γινώσκω. νίκησόν μου τὴν πώρωσιν, μόνε ἀγαθὲ καὶ ἐλέησόν με.

Ἐλέησον ἡμᾶς. Μαρτυρικόν.

Τῶν ἐπιγείων ἁπάντων καταφρονήσαντες, καὶ τῶν βασάνων ἀνδρείως κατατολμήσαντες, τῶν μακαρίων ἐλπίδων οὐκ ἠστοχήσατε, ἀλλ' Οὐρανῶν Βασιλείας κληρονόμοι γεγόνατε, πανεύφημοι Μάρτυρες· ἔχοντες παῤῥησίαν πρὸς τὸν φιλάνθρωπον Θεὸν, τῷ Κόσμῳ τὴν εἰρήνην αἰτήσασθε, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Ἦχος β΄.

Παράγων ὁ Ἰησοῦς ἐκ τοῦ Ἱεροῦ, εὗρεν ἄνθρωπον Τυφλὸν ἐκ γενετῆς, καὶ σπλαγχνισθεὶς, ἐπέθηκε πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ εἶπε πρὸς αὐτόν· ὕπαγε νίψαι εἰς τὸν Σιλωάμ. καὶ νιψάμενος ἀνέβλεψε, δόξαν ἀναπέμπων Θεῷ. οἱ δὲ ἀγχισταὶ αὐτοῦ, ἔλεγον αὐτῷ· τίς σου τὰς κόρας διήνοιξεν, ἃς οὐδεὶς τῶν βλεπόντων ἰάσαι ἴσχυσεν; ὁ δὲ φησὶ βοήσας· ἄνθρωπος Ἰησοῦς λεγόμενος, ἐκεῖνός μοι ἔφη, νίψαι εἰς τὸν Σιλωὰμ, καὶ ἀνέβλεψα. αὐτός ἐστιν ἀληθῶς, ὃν ἔφη Μωϋσῆς ἐν τῷ νόμῳ Χριστὸν Μεσσίαν. αὐτός ἐστιν ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Τῇ Β΄. τοῦ Τυφλοῦ, εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολογίαν, Κάθισμα, ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον.

Τὸν Σταυρὸν τοῦ Κυρίου ἐγκωμιάσωμεν, τὴν ταφὴν τὴν ἁγίαν ὕμνοις τιμήσωμεν, καὶ τὴν Ἀνάστασιν αὐτοῦ ὑπερδοξάσωμεν· ὅτι συνήγειρε νεκροὺς, ἐκ τῶν μνημάτων ὡς Θεὸς, σκυλεύσας κράτος θανάτου, καὶ ἰσχὺν διαβόλου, καὶ τοῖς ἐν ᾅδῃ φῶς ἀνέτειλε.

Κατανυκτικόν.

Πάντες ἀγρυπνήσωμεν, καὶ Χριστῷ ὑπαντήσωμεν Πιστοὶ, μετὰ πλήθους ἐλαίου καὶ λαμπάδων φαεινῶν, ὅπως τοῦ

νυμφῶνος ἔνδον ἀξιωθῶμεν. ὁ γὰρ τῆς θύρας ἔξω φθανόμενος, ἄπρακτα τῷ Θεῷ κέκραγεν, ἐλέησόν με. Μαρτυρικόν.

Κύριε τὸ ποτήριον τοῦ πάθους σου οἱ Ἀθλοφόροι σου ζηλώσαντες, κατέλιπον τὴν τοῦ βίου τερπνότητα, καὶ γεγόνασι τῶν Ἀγγέλων συμμέτοχοι. αὐτῶν ταῖς παρακλήσεσι, παράσχου ταῖς ψυχαῖς ἡμῶν, εἰρήνην Χριστὲ ὁ Θεός, καὶ τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Μετὰ Ἀγγέλων τὰ οὐράνια, μετὰ ἀνθρώπων τὰ ἐπίγεια, ἐν φωνῇ ἀγαλλιάσεως Θεοτόκε βοῶμέν σοι· χαῖρε Πύλη τῶν οὐρανῶν πλατυτέρα· χαῖρε μόνη τῶν γηγενῶν Σωτηρία· χαῖρε σεμνή, χαῖρε κεχαριτωμένη· ἡ τεκοῦσα Θεὸν σεσωματωμένον.

Μετὰ τὴν β'. στιχολ. κάθ. ἦχος, πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Πρὸ τοῦ Σταυροῦ σου Οἰκτίρμων καὶ τῆς ἐγέρσεως, παριόντι σοι τηρὸς ἀπὸ γεννήσεως, ἀνεβόα σοι θερμῶς· Υἱὲ Δαβὶδ ἐλέησον. δός μοι τὸ φῶς τῶν ὀφθαλμῶν, ἵνα βλέψω σε κἀγώ. οὗ τὰς κόρας ἐπιχρίσας, πηλὸν ἐκ πτύσματος Λόγε, αὐτῷ τὸ φῶς λαμπρῶς ἐχορήγησας.

Δόξα, καὶ νῦν, τὸ αὐτό.

Τό, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν'. Καὶ ψάλλομεν τὸν Κανόνα τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν, εἰς η'. καὶ τοῦ Μηναίου, εἰς δ'. Κοντάκιον, καὶ Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχ. Ἀναστάσιμα, τῆς Ὀκτωήχου.

Ἦχος, πλ. α'.

Κύριε, ἐσφραγισμένου τοῦ τάφου ὑπὸ τῶν παρανόμων, προῆλθες ἐκ τοῦ Μνήματος, καθὼς ἐτέχθης ἐκ τῆς Θεοτόκου. οὐκ ἔγνωσαν πῶς ἐσαρκώθης, οἱ ἀσώματοί σου Ἄγγελοι. οὐκ ᾔσθοντο πότε ἀνέστης, οἱ φυλάσσοντές σε στρατιῶται. ἀμφότερα γὰρ ἐσφράγισται τοῖς ἐρευνῶσι. πεφανέρωται δὲ τὰ θαύματα, τοῖς προσκυνοῦσιν ἐν πίστει τὸ μυστήριον. ὃ ἀνυμνοῦσιν, ἀπόδος ἡμῖν ἀγαλλίασιν, καὶ τὸ μέγα ἔλεος.

Δίς. Κατανυκτικόν.

Οἴμοι, τί ὡμοιώθην ἐγὼ τῇ ἀκάρπῳ συκῇ, καὶ πτοοῦμαι τὴν κατάραν σὺν τῇ ἐκκοπῇ. ἀλλ' Ἐπουράνιε γεωργὲ, Χριστὲ ὁ Θεὸς τὴν χερσωθεῖσάν μου ψυχήν, καρποφόρον ἀνάδειξον, καὶ ὡς τὸν ἄσωτον Υἱὸν δέξαι με καὶ ἐλέησόν με.

Μαρτυρικόν.

Εὐλογημένος ὁ στρατὸς τοῦ Βασιλέως τῶν Οὐρανῶν. εἰ γὰρ καὶ γηγενεῖς ὑπῆρχον οἱ Ἀθλοφόροι, ἀλλὰ Ἀγγελικὴν ἀξίαν ἔσπευδον φθάσαι, τῶν σωμάτων καταφρονήσαντες, καὶ διὰ τῶν παθημάτων, τῆς τῶν Ἀσωμάτων ἀξιωθέντες τιμῆς. εὐχαῖς αὐτῶν Κύριε, κατάπεμψον ἡμῖν τὸ μέγα σου ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος δ'.

Ὅλον τὸν βίον ὁ Τυφλὸς νύκτα λογιζόμενος, ἐβόησε πρὸς σὲ Κύριε· ἄνοιξόν μου τὰς κόρας Υἱὲ Δαβίδ, ὁ Σωτὴρ ἡμῶν, ἵνα μετὰ πάντων κἀγὼ ὑμνήσω σου τὴν δύναμιν.

Εἰς τὸν στίχ. τὰ στιχ. τῆς Ἑορτῆς, ἦχος, πλ. α'.

Ὅσιε Πάτερ.

Ὕφλωσις ὤφθη, ὁ Τυφλὸς τοῖς τάχα βλέπουσι, σκοτίζων καὶ τὰς φρένας, καὶ τὰς ψυχάς, καὶ τὸν νοῦν, τὴν τούτου θεωροῦσιν ἄωρον βλέψιν. καὶ φωνήσαντες ἠρώτων δεινῶς· πῶς ἄρτι ὁρᾶσαι ὡς εἷς τῶν φῶς ὁρώντων, Τυφλὸς ὑπάρχων ἐκ γενετῆς, καὶ προσκαθήμενος τρίβοις, καὶ προσαιτῶν; ὅθεν ὑπέδειξε τὸν τὸ φῶς χορηγοῦντα, καὶ πλαστουργήσαντα τὰ φῶτα ἐν τῷ Κόσμῳ. ὃς ὢν κηρύττεται, Υἱὸς Θεοῦ προάναρχος, ἐπ' ἐσχάτων ἐκ τῆς Παρθένου βροτὸς φανείς, δι' οἶκτον ἐκ θείου Πνεύματος.

Στίχ. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με.

Ὥσπερ φορτίον, καὶ γεῶδες ἀχθοφόρημα, ὡρᾶτο τοῖς ἐν Κόσμῳ περιπατῶν ὁ Τυφλός, καὶ ἐν ταῖς πλατείαις πόδας συντρίβων, τάχα ὡς ὅρασιν τὴν ῥάβδον πλουτῶν. ὅθεν καταφεύγει νῦν πρὸς τὸν φωτοδότην· ἐξ οὗ λαμβάνει τὸ φῶς ὁρᾶν, καὶ ὀφθαλμοῖς αὐτοῦ βλέπειν τὸν ποιητήν, τὸν καθ' ὁμοίωσιν αὐτοῦ, καὶ κατ' εἰκόνα, δημιουργήσαντα τὴν φύσιν τῶν ἀνθρώπων, ἐκ γῆς τὸ πρότερον, καὶ νῦν χοῒ καὶ πτύσματι, καταυγάσαντα τούτου τὰς κόρας, καὶ δόντα φιλανθρώπως βλέπειν τὸν Ἥλιον.

Στίχ. Τὰ διαβήματά μου κατεύθυνον.

Ἔμμορφον εἶδε, τῆς ἀνθρώπων διαπλάσεως, τὸν Λόγον τὸν Πανσθενον, τὸ

φῶς ἰδὼν ὁ Τυφλός· ἐξ οὗ καὶ τὸν φωσφόρον καὶ ἡμεράρχην, ἔβλεψεν Ἥλιον ὡς ἄλλοι βροτοὶ, χαίρων τῇ ὁράσει τῇ καινοπρεπεστέρᾳ, δι' ἧς ὡράθη εὐθυπορῶν, καὶ ἀπροσκόπτως βαδίζων τὰς ἀτραπούς. καὶ τὸν φωτίσαντα Υἱὸν Θεοῦ γνωρίζων, ἐνανθρωπήσαντα δι' ἄκραν εὐσπλαγχνίαν, καὶ ὃ ἦν μείναντα, Θεὸν βροτὸν γενόμενον, καὶ λαβόντα ὃ οὐχ ὑπῆρχεν, ἀσύγχυτόν τε τηροῦντα, τὴν τούτου ἕνωσιν.

Δόξα, καὶ νῦν, ἦχος, πλ. α'.

Χριστὲ παράγων ἐν τῇ ὁδῷ, εὗρες ἄνθρωπον Τυφλὸν ἐκ γενετῆς. καὶ ἔκθαμβοι γενόμενοι οἱ Μαθηταὶ, ἐπηρώτων σε, λέγοντες· Διδάσκαλε, τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα Τυφλὸς γεννηθῇ; σὺ δὲ Σωτήρ μου ἐβόας αὐτοῖς· οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ, ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ. ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με, ἃ οὐδεὶς δύναται ἐργάζεσθαι. καὶ ταῦτα εἰπὼν, πτύσας χαμαὶ, καὶ πηλὸν ποιήσας, ἐπέχρισας τοὺς ὀφθαλμοὺς αὐτοῦ, λέξας πρὸς αὐτόν· ὕπαγε νίψαι εἰς τὴν Σιλωὰμ τὴν κολυμβήθραν. ὁ δὲ νιψάμενος ὑγιὴς ἐγένετο, καὶ ἐβόα πρός σε· πιστεύω Κύριε, καὶ προσεκύνησέ σοι. διὸ βοῶμεν καὶ ἡμεῖς· ἐλέησον ἡμᾶς.

Τῇ Β. τοῦ Τυφλοῦ, Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα, ϛ'. τῆς Ἑορτῆς, γ'. καὶ τοῦ Μηναίου, γ'. τῆς Ἑορτῆς ἦχος, πλ. α.

Χαίροις ἀσκητικῶν.

Στόματι καὶ ψυχῇ καὶ νοῒ, τὸν ἐκ χοὸς πλαστουργικῶς καὶ τοῦ πτύσματος, ὀμμάτων τὰς κόρας δόντα, καὶ τὸν καινὸν φωτισμὸν, ὁ τὸ πρὶν τυφλώττων ὡμολόγησε, κτισμάτων παγκόσμιον, προβολέα καὶ πρύτανιν, δι' οἶκτον μόνον, βροτωθέντα τοῦ πλάσματος, καὶ ἐκήρυττεν, ὡς Θεὸν Παντοδύναμον. οἱ γραμματεῖς τὸν ζῆλον, καὶ τὴν πρὸς τούτους διάλεξιν, ὅλως μὴ φέροντες βλέπειν, ἀποσυνάγωγον κρίνουσι, τυφλώττοντες πλέον, τοῦ ποτὲ τυφλοῦ τὰς κόρας, ψυχῇ καὶ σώματι.

Τρόπαιον ἀριστείας τυφλὸς, κατὰ βλεπόντων κατὰ κράτος ἐξήρατο. τὸν Κτίστην καὶ γὰρ τὸν τούτου, καὶ πλαστουργὸν τοῦ παντὸς, καὶ τυφλὸς ὑπάρχων ἐθεάσατο. ἰδὼν τὴν ὀμμάτωσιν, τὴν πλασθεῖσαν ἐκ πτύσματος, καὶ ταύτῃ μόνῃ, ἐπιγνοὺς τὸν φωτίσαντα, καὶ Υἱὸν Θεοῦ, καὶ Δεσπότην παγκόσμιον. ὃν οἱ ὁρῶντες φθόνου, κακίᾳ τυφλώττοντες, ὅλως οὐκ εἶδον, καὶ ταῦτα, πολλαπλάσιονα βλέποντες, ἐκ τούτου θαυμάτων, ἐνεργείας παραδόξους, μόνοις τοῖς ῥήμασιν.

Ὕποπτος Γραμματεῦσι τυφλοῖς, ὀμματωθεὶς ὁ πρὶν τυφλώττων τεθέαται· ὡς τάχα μηδ' ὅλως βλέπων, ἀλλὰ ψευδῶς τὸ ὁρᾷν, τοῦ Σωτῆρος χάριν προσποιούμενος. τυφλώττειν ἐθέλουσι, σκοτασμοῖς, τοῖς τοῦ γράμματος· ἐν οἷς ἐκλάμπει, ὁ γλυκὺς ὄντως Ἥλιος, Σαββατούργησιν, καινουργῶν διαπράξας μοι· ὃς τὸ σκιῶδες τούτου, φωτουργῶν καὶ τὸ κάλυμμα, αἴρων καὶ φῶς τὸ ἐν τούτοις, τοῖς πρὶν τυφλοῖς ἐχορήγησε, καὶ νῦν καθορῶντες, τὸν τῶν φώτων παροχέα, Κόσμῳ κηρύττουσι.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'.

Δικαιοσύνης Ἥλιε νοητὲ Χριστὲ ὁ Θεὸς, ὁ τὸν ἐκ μήτρας τοῦ φωτὸς ἐστερημένον, διὰ τῆς σῆς ἀχράντου προσψαύσεως, φωτίσας κατ' ἄμφω· καὶ ἡμῶν τὰ ὄμματα, τῶν ψυχῶν αὐγάσας, Υἱοὺς ἡμέρας δεῖξον, ἵνα πίστει βοῶμέν σοι· πολλή σου καὶ ἄφατος, ἡ εἰς ἡμᾶς εὐσπλαγχνία, Φιλάνθρωπε δόξα σοι.

Εἰς τὸν Στ. τὰ Ἀναστάσιμα.

ἦχος, πλ. α.

Τὴν Ἀνάστασίν σου διδοὺς τῷ γένει τῶν ἀνθρώπων, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθης. ἔφριξαν τοῦτον οἱ ἄρχοντες τοῦ ᾅδου, καὶ ἐπήρθησαν πύλαι ὀδυνηραί. εἰσελήλυθε γὰρ ὁ Βασιλεὺς τῆς δόξης Χριστὸς, λέγων τοῖς ἐν δεσμοῖς, ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλύπτεσθε.

Κατανυκτικόν.

Χριστὲ καὶ τὸν φόβον σου πτοοῦμαι, καὶ τὸ πονηρὸν ποιεῖν οὐ παύομαι. τίς ἐν Δικαστηρίῳ τὸν Δικαστὴν οὐ πτοεῖται; ἢ τίς ἰαθῆναι βουλόμενος, τὸν Ἰατρὸν παροργίζει ὡς κἀγώ; μακρόθυμε Κύριε, ἐπὶ τῇ ἀσθενείᾳ μου σπλαγχνίσθητι καὶ ἐλέησόν με.

Μαρ-

Μαρτυρικόν.

ΤΟν θυρεὸν τῆς Πίστεως περιβαλλόμενοι, καὶ τῷ τύπῳ τοῦ Σταυροῦ ἑαυτοὺς διαμαστήσαντες, πρὸς τὰς βασάνους ἀνδρείως ἀπηυτομόλησαν, καὶ διαβόλου τὴν πλάνην, καὶ τὸ θράσος κατήργησαν, οἱ Ἅγιοί σου Κύριε. αὐτῶν ταῖς ἱκεσίαις, ὡς Παντοδύναμος Θεὸς, τῷ Κόσμῳ τὴν εἰρήνην κατάπεμψον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ.

Ὁ Διὰ σπλάγχνα ἐλέους, σαρκωθεὶς Χριστὲ ὁ Θεὸς, τὸν τοῦ φωτὸς ἐστερημένον ἀπὸ μήτρας, σπλάγχνοις ἀφάτων οἰκτιρμῶν, λαμπηδόνος θείας κατηξίωσας. τούτου τὰς κόρας, πηλὸν τοῖς σοῖς πλαστουργοῖς δακτύλοις ἐπέχρισας. αὐτὸς καὶ νῦν φωτοπάροχε, καὶ ἡμῶν καταύγασον, τὰ τῆς ψυχῆς αἰσθητήρια, ὡς μόνος ἀφθονοπάροχος.

Τῇ Γ. τοῦ Τυφλοῦ. Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α. στιχολ. Κάθισμα Ἀναστάσιμον.

Ἦχος, πλ. α.

ΚΎριε νεκρὸς προσηγορεύθης, ὁ νεκρώσας τὸν θάνατον. ἐν Μνήματι ἐτέθης, ὁ κενώσας τὰ μνήματα. ἄνω στρατιῶται τὸν τάφον ἐφύλαττον, κάτω τοὺς ἀπ᾽ αἰῶνος νεκροὺς ἐξανέστησας. Παντοδύναμε καὶ ἀκατάληπτε Κύριε δόξα σοι.

Κατανυκτικόν.

ΚΡιτοῦ καθεζομένου, καὶ Ἀγγέλων ἑστώτων, σάλπιγγος ἠχούσης, καὶ φλογὸς καιομένης, τί ποιήσεις ψυχή μου ἀπαγομένη εἰς κρίσιν; τότε γὰρ τὰ δεινά σοι παρίστανται, τὰ κρυπτά σου ἐλέγχονται ἐγκλήματα. διὸ πρὸ τέλους βόησον τῷ Κριτῇ· ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με.

Μαρτυρικόν.

ΛΑμπει σήμερον ἡ μνήμη τῶν Ἀθλοφόρων, ἔχει γὰρ οὐρανόθεν ἀπαύγασμα. ὁ χορὸς τῶν Ἀγγέλων πανηγυρίζει, καὶ τῶν ἀνθρώπων τὸ γένος συνεορτάζει. διὸ πρεσβεύουσι τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

ΜΉτηρ Θεοῦ Παναγία, τὸ τεῖχος τῶν Χριστιανῶν, ῥῦσαι Λαόν σου συνήθως, κραυγάζοντά σοι ἐκτενῶς· ἀντιτάχθητι αἰσχροῖς καὶ ἀλαζόσι λογισμοῖς, ἵνα βοῶμέν σοι· χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὴν β. στιχολ. Κάθ. ἦχος, πλ. α.

Τὸν συνάναρχον Λόγον.

ἈΝαβλέψας ὁρᾶται Τυφλὸς τῷ πτύσματι, τοῦ τὴν βροτῶν διαρτίαν πρὶν πλαστουργήσαντος, μὴ ὁρῶν ἐκ γενετῆς, τὸν μέγαν Ἥλιον. ὅθεν καὶ χάριτας Θεῷ, ἀναπέμπει ἐκ ψυχῆς, τὴν τούτου ἰδὼν εἰκόνα, καθ᾽ ὁμοίωσιν πεπλασμένην, τοῦ τὴν εἰκόνα πλαστουργήσαντος.

Δόξα, καὶ νῦν, τὸ αὐτό.

Τὸ, Ἀνάστασιν Χριστοῦ θεασάμενοι.

Ὁ Ν. Καὶ ψάλλομεν τὸν Κανόνα τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν, εἰς η. καὶ τοῦ Μηναίου, εἰς δ. Κοντάκιον, καὶ Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, στ. Ἀναστάσιμον, τῆς Ὀκτωήχου. ἦχος, πλ. α.

ΚΎριε, τοὺς μοχλοὺς τοὺς αἰωνίους συντρίψας, καὶ δεσμὰ διαρρήξας τοῦ Μνήματος ἀνέστης. καταλιπών σου τὰ ἐντάφια, εἰς μαρτύριον τῆς ἀληθοῦς τριημέρου ταφῆς σου. καὶ προῆγες ἐν τῇ Γαλιλαίᾳ, ὁ ἐν σπηλαίῳ τηρούμενος. μέγα σου τὸ ἔλεος, ἀκατάληπτε Σωτὴρ, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Δίς. Κατανυκτικόν.

ΤΑ πλήθη τῶν πταισμάτων μου πάριδε Κύριε, ὁ ἐκ Παρθένου τεχθεὶς, καὶ πάσας ἐξάλειψον τὰς ἀνομίας μου, λογισμόν μοι παρέχων ἐπιστροφῆς, ὡς μόνος φιλάνθρωπος δέομαι καὶ ἐλέησόν με.

Μαρτυρικόν.

ΟΙ Ἀθλοφόροι σου Κύριε, τὰς τάξεις τῶν Ἀγγέλων μιμησάμενοι, ὡς ἀσώματοι ταῖς βασάνοις ἐνεκαρτέρησαν, μονολόγιστον ἐλπίδα ἔχοντες, τῶν ἐπηγγελμένων ἀγαθῶν τὴν ἀπόλαυσιν. ταῖς αὐτῶν πρεσβείαις Χριστὲ ὁ Θεὸς ἡμῶν, τὴν εἰρήνην δώρησαι τῷ Κόσμῳ σου, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ.

ΤΊς λαλήσει τὰς δυναστείας σου Χριστέ; ἢ τίς ἐξαριθμήσει τῶν θαυμάτων σου τὰ πλήθη; διπλοῦς γὰρ ὡς ὤφθης ἐπὶ γῆς δι᾽ ἀγαθότητα, διπλᾶς καὶ τὰς ἰάσεις τοῖς νοσοῦσιν ἐχορήγεις. οὐ μόνον γὰρ τοῦ σώματος

ὀφ-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

ὀφθαλμοὺς διήνοιξας τοῦ ἀπὸ μήτρας πηρωθέντος, ἀλλὰ καὶ τοὺς τῆς ψυχῆς. ὅθεν Θεόν σε ὡμολόγει τὸν κρυπτόμενον, καὶ πᾶσι παρέχοντα τὸ μέγα ἔλεος.

Εἰς τοὺς Αἴνους. Προσόμοια, ἦχος πλ. α'.

Ὅσιε Πάτερ.

Λάμψιν φωσφόρον, καταλάμψασαν θεώμενοι, προδήλως ἐν Σαββάτῳ τῷ φωτοφόρῳ Τυφλῷ, οἱ νόμοις τοῖς Μωσέως ἐντεθραμμένοι, γνώμῃ τυφλώττοντες, ὁρῶντες σκιᾷ, σκίασμα μὴ γνόντες τὸ συγκαλύπτον νόμους. ἐξ οὗ οὐκ εἶδον τὸν φωτουργὸν, καὶ τὸν τῷ λόγῳ Σαββάτου δημιουργὸν, τὸν ὀμματώσαντα τυφλὸν τῇ ἀπονίψει, καὶ τῇ τοῦ πτύσματος καινῇ πηλεργασίᾳ. μεθ' οὗ μιμνῄσκοντες, Θεὸν αὐτὸν κατίδωμεν, τὴν ἐκτύφλωσιν Φαρισαίων, ἐλέγχοντες ὁράσει, τῇ ἐκ τοῦ κρείττονος.

Στ. Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με.

Ὄρθρος ἀνίσχει, τῷ ἐν σκότει διατρίβοντι, νυκτὸς ἀορασίας πολυοδύνῳ Τυφλῷ, ἐν ῥείθροις λουσαμένῳ, τὸ φῶς ὀμμάτων, θείῳ κελαδήματι πηγῇ Σιλωάμ. ὅθεν σελασφόρος καινότερος ὁρᾶται, ὁμίχλην σκότους νυκτοποιῶν, τῶν νομικῶν διελέγχων Γραμματιστῶν, καὶ τὴν σκοτεινὴν, τῆς τούτων ἀβλεψίας, ταῖς ἀναλάμψεσι φωτίζων ταῖς φωσφόροις. ἐξ ὧν ἡ τύφλωσις τοῦ πρὶν σκιώδους γράμματος, ὀμματοῦται ταῖς ἐκ τοῦ λόγου, ἡμῖν παρεχομέναις, φαιδραῖς ἐλλάμψεσιν.

Στ. Τὰ διαβήματά μου κατεύθυνον.

Ὕψους ἐπέβη, φωτοφόρου ἐπιβάσεως, φωτὶ θεογνωσίας καταλαμφθεὶς ὁ Τυφλός. κἂν πρώην ἐτυφλοῦτο ἐξ ἀμφοῖν, τὸν φωτοδότην γνωρίζει καὶ φωτουργὸν, τὸν ἀναλάμψαντα ἐκ τάφου τριημέρως, καὶ γῆν φαιδρύναντα αὐτοῦ τῇ Ἀναστάσει. ἐξ ἧς ἐπέλαμψε, τὸ φῶς τῆς ἀναπλάσεως, τοῖς ἐν σκότει κεκρατημένοις, βροτοῖς δι' εὐσπλαγχνίαν, καὶ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Ἦχος, πλ. δ'.

Δικαιοσύνης Ἥλιε νοητὲ Χριστὲ ὁ Θεὸς, ὁ τὸν ἐκ μήτρας τοῦ φωτὸς ἐστερημένον, διὰ τῆς σῆς ἀχράντου προσψαύσεως, φωτίσας κατ' ἄμφω, καὶ ἡμῶν τὰ ὄμματα τῶν ψυχῶν αὐγάσας, Υἱοὺς ἡμέρας δεῖξον, ἵνα πίστει βοῶμέν σοι· πολλή σου καὶ ἄφατος, ἡ εἰς ἡμᾶς εὐσπλαγχνία, φιλάνθρωπε δόξα σοι.

Τῇ Γ'. τοῦ Τυφλοῦ. Ἑσπέρας, Ἀπόδοσις τῆς Ἑορτῆς τοῦ Πάσχα. Μετὰ τὸν Εὐλογητὸν, ψάλλομεν τὸ, Χριστὸς ἀνέστη, μετὰ τῶν στ. αὐτοῦ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ς'. καὶ ψάλλομεν τὰ παρόντα Ἰδιόμελα τοῦ Τυφλοῦ, ἦχος, β'.

Ὁ Τυφλὸς γεννηθεὶς, ἐν τῷ ἰδίῳ λογισμῷ ἔλεγεν. ἆρα ἐγὼ δι' ἁμαρτίας γονέων ἐγεννήθην ἀόμματος; ἆρα ἐγὼ δι' ἀπιστίαν Ἐθνῶν ἐγεννήθην εἰς ἔνδειξιν; οὐχ ἱκανῶ τοῦ ἐρωτᾶν, πότε νὺξ, πότε ἡμέρα; οὐκ ἐφόρουσί μου οἱ πόδες τὰ τῶν λίθων προσκρούσματα. οὐ γὰρ εἶδον τὸν Ἥλιον λάμποντα, οὐδὲ ἐν εἰκόνι τὸν ἐμὲ πλαστουργήσαντα. ἀλλὰ δέομαί σου Χριστὲ ὁ Θεὸς, ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με.

Ὁ αὐτός.

Παράγων ὁ Ἰησοῦς ἐκ τοῦ Ἱεροῦ, εὗρεν ἄνθρωπον Τυφλὸν ἐκ γενετῆς. καὶ σπλαγχνισθεὶς, ἐπέθηκε πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ εἶπε πρὸς αὐτόν· ὕπαγε νίψαι εἰς τὸν Σιλωάμ. καὶ νιψάμενος ἀνέβλεψε, δόξαν ἀναπέμπων Θεῷ. οἱ δὲ ἀγχισταὶ αὐτοῦ, ἔλεγον αὐτῷ· τίς σου τὰς κόρας διήνοιξεν, ἃς οὐδεὶς τῶν βλεπόντων ἰάσαι ἴσχυσεν; ὁ δέ φησι βοήσας· ἄνθρωπος Ἰησοῦς λεγόμενος, ἐκεῖνός μοι ἔφη, νίψαι εἰς τὸν Σιλωὰμ, καὶ ἀνέβλεψα. αὐτός ἐστιν ἀληθῶς, ὃν ἔφη Μωϋσῆς ἐν τῷ νόμῳ Χριστὸν Μεσσίαν. αὐτός ἐστιν ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος, δ'.

Ὅλον τὸν βίον ὁ Τυφλὸς νύκτα λογιζόμενος, ἐβόησε πρὸς σὲ Κύριε· ἄνοιξόν μου τὰς κόρας Υἱὲ Δαβὶδ, ὁ Σωτὴρ ἡμῶν· ἵνα μετὰ πάντων κἀγὼ ὑμνήσω σου τὴν δύναμιν.

Ἦχος, πλ. α'.

Κύριε παράγων ἐν τῇ ὁδῷ, εὗρες ἄνθρωπον Τυφλὸν ἐκ γενετῆς. καὶ ἔκθαμβοι γενόμενοι οἱ Μαθηταὶ, ἐπηρώτων σε, λέγοντες· Διδάσκαλε, τίς ἥμαρτεν, οὗτος, ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα Τυφλὸς γεννηθῇ; σὺ δὲ Σωτήρ μου ἐβόας αὐτοῖς·

οὔτε

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ. ἀλλ᾽ ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ· ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με, ἃ οὐδεὶς δύναται ἐργάζεσθαι. καὶ ταῦτα εἰπών, πτύσας χαμαί, καὶ πηλὸν ποιήσας, ἐπέχρισας τοὺς ὀφθαλμοὺς αὐτοῦ, λέξας πρὸς αὐτόν· ὕπαγε νίψαι εἰς τὴν Σιλωὰμ τὴν κολυμβήθραν. ὁ δὲ νιψάμενος ὑγιὴς ἐγένετο, καὶ ἐβόα πρός σε· πιστεύω Κύριε, καὶ προσεκύνησέ σοι. διὸ βοῶμεν καὶ ἡμεῖς· ἐλέησον ἡμᾶς.

Ἦχος, πλ. δ'.

Δικαιοσύνης Ἥλιε νοητὲ Χριστὲ ὁ Θεός, ὁ τὸν ἐκ μήτρας τοῦ φωτὸς ἐστερημένον, διὰ τῆς σῆς ἀχράντου προσψαύσεως, φωτίσας κατ᾽ ἄμφω, καὶ ἡμῶν τὰ ὄμματα τῶν ψυχῶν αὐγάσας, Υἱοὺς ἡμέρας δεῖξον, ἵνα πίστει βοῶμέν σοι· πολλή σου καὶ ἄφατος, ἡ εἰς ἡμᾶς εὐσπλαγχνία, φιλάνθρωπε δόξα σοι.

Ὁ αὐτός.

Ὁ διὰ σπλάγχνα ἐλέους, σαρκωθεὶς Χριστὲ ὁ Θεός, τὸν τοῦ φωτὸς ἐστερημένον ἀπὸ μήτρας, σπλάγχνοις ἀφάτων οἰκτιρμῶν, λαμπηδόνος θείας κατηξίωσας. τούτου τὰς κόρας, πηλὸν τοῖς σοῖς πλαστουργοῖς δακτύλοις ἐπέχρισας. αὐτὸς καὶ νῦν φωτοπάροχε καὶ ἡμῶν καταύγασον, τὰ τῆς ψυχῆς αἰσθητήρια, ὡς μόνος ἀφθονοπάροχος.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'.

Τίς λαλήσει τὰς δυναστείας σου Χριστέ; ἢ τίς ἐξαριθμήσει τῶν θαυμάτων σου τὰ πλήθη; διπλοῦς γὰρ ὡς ὡράθης ἐπὶ γῆς δι᾽ ἀγαθότητα, διπλᾶς καὶ τὰς ἰάσεις τοῖς νοσοῦσιν ἐχορήγεις. οὐ μόνον γὰρ τοῦ σώματος ὀφθαλμοὺς διήνοιξας τοῦ ἀπὸ μήτρας πηρωμένου, ἀλλὰ καὶ τοὺς τῆς ψυχῆς. ὅθεν Θεόν σε ὡμολόγει τὸν κρυπτόμενον, καὶ πᾶσι παρέχοντα τὸ μέγα ἔλεος.

Εἰς τὸν στ. στ. ἦχος, πλ. α'.

Σὲ τὸν σαρκωθέντα Σωτῆρα Χριστόν, καὶ τῶν Οὐρανῶν μὴ χωρισθέντα, ἐν φωναῖς ᾀσμάτων μεγαλύνομεν. ὅτι Σταυρὸν καὶ θάνατον κατεδέξω, διὰ τὸ γένος ἡμῶν ὡς φιλάνθρωπος Κύριος. σκυλεύσας ᾅδου πύλας, τριήμερος ἀνέστης, σώζων τὰς ψυχὰς ἡμῶν.

Εἶτα τῆς Ἑορτῆς, ἦχος, πλ. α'.

Στ. Ἀναστήτω ὁ Θεός.

Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται. Πάσχα καινὸν ἅγιον. Πάσχα μυστικόν. Πάσχα πανσεβάσμιον. Πάσχα Χριστὸς ὁ Λυτρωτής. Πάσχα ἄμωμον, Πάσχα μέγα. Πάσχα τῶν Πιστῶν. Πάσχα τὸ πύλας ἡμῖν τοῦ Παραδείσου ἀνοῖξαν. Πάσχα πάντας ἁγιάζον πιστούς.

Στ. Ὡς ἐκλείπει καπνός.

Δεῦτε ἀπὸ θέας γυναῖκες εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε· δέχου παρ᾽ ἡμῶν χαρᾶς εὐαγγέλια, τῆς Ἀναστάσεως Χριστοῦ. τέρπου χόρευε, καὶ ἀγάλλου Ἱερουσαλήμ, τὸν Βασιλέα Χριστόν, θεασαμένη ἐκ τοῦ Μνήματος, ὡς Νυμφίον προερχόμενον.

Στ. Οὕτως ἀπολοῦνται.

Αἱ Μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἐπιστᾶσαι πρὸς τὸ Μνῆμα τοῦ ζωοδότου, εὗρον Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, καὶ αὐτὸς προσφθεγξάμενος, αὐταῖς οὕτως ἔλεγε· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν φθορᾷ; ἀπελθοῦσαι κηρύξατε τοῖς ἑαυτοῦ Μαθηταῖς.

Στ. Αὕτη ἡ ἡμέρα.

Πάσχα τὸ τερπνόν, Πάσχα Κυρίου Πάσχα. Πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε. Πάσχα ἐν χαρᾷ ἀλλήλους περιπτυξώμεθα. ὢ Πάσχα λύτρον λύπης· καὶ γὰρ ἐκ τάφου σήμερον, ὥσπερ ἐκ παστοῦ ἐκλάμψας Χριστός, τὰ γύναια χαρᾶς ἔπλησε λέγων· κηρύξατε Ἀποστόλοις.

Δόξα, καὶ νῦν, ἦχος, ὁ αὐτός.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς, συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Τό, Χριστὸς ἀνέστη, ἐκ γ'. τό, Νῦν ἀπολύεις, τό, Τρισάγιον, καὶ τὰ λοιπά.

Εἶτα τὸ Ἀπολυτίκιον.

Τὸν συνάναρχον Λόγον.

Καὶ Θεοτοκίον. Χαῖρε πύλη Κυρίου.

Καὶ Ἀπόλυσις.

Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας

Τῇ Δ΄. Τοῦ Τυφλοῦ.

Εἰς τὸν Ὄρθρον, Θεὸς Κύριος.

Τὸ Ἀναστάσιμον Τροπάριον. Δίς. καὶ τὸ Θεοτοκίον.

Μετὰ τὴν α΄. Στιχολογίαν. Καθίσματα. Ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον.

Τὸν Σταυρὸν τοῦ Κυρίου ἐγκωμιάσωμεν, τὴν ταφὴν τὴν ἁγίαν ὕμνοις τιμήσωμεν, καὶ τὴν Ἀνάστασιν αὐτοῦ ὑπερδοξάσωμεν, ὅτι συνήγειρε νεκροὺς, ἐκ τῶν μνημάτων ὡς Θεὸς, σκυλεύσας κράτος θανάτου, καὶ ἰσχὺν διαβόλου, καὶ τοῖς ἐν ᾅδῃ φῶς ἀνέτειλε.

Κύριε νεκρὸς προσηγορεύθης, ὁ νεκρώσας τὸν θάνατον, ἐν Μνήματι ἐτέθης, ὁ κενώσας τὰ μνήματα. ἄνω στρατιῶται τὸν τάφον ἐφύλαττον, κάτω τοὺς ἀπ' αἰῶνος νεκροὺς ἐξανέστησας. Παντοδύναμε καὶ ἀκατάληπτε, Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον. χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε. χαῖρε ἡ μόνη πρὸς Θεὸν Κόσμου γέφυρα, ἡ μετάγουσα θνητοὺς πρὸς τὴν αἰώνιον ζωήν. χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Μετὰ τὴν β΄. Στιχολογίαν. Καθίσματα. Ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον.

Ὁ Πατρὶ καὶ τῷ Πνεύματι ὁ συνάναρχος, ὁ τὸ φῶς ὡς χιτῶνα περιβαλλόμενος, φιλανθρώπως τὴν ἡμῶν φύσιν ἐνεδέδυτο, καὶ τὰς νόσους τῶν βροτῶν, ἀπελαύνων ὡς Θεὸς, ἐφώτισε καὶ τὰς κόρας, τοῦ ἐκ μηδύος μητρώας, ἐστερημένου φωτός. Δίς.

Τὸ, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν΄. Ὁ Κανὼν τοῦ Πάσχα μετὰ τῶν Εἱρμῶν εἰς ς΄. τοῦ Τυφλοῦ, εἰς δ΄. καὶ ὁ Προεόρτιος τῆς Ἀναλήψεως, εἰς δ΄. τοῦ Πάσχα.

Ὠδὴ, α΄. Ἦχος, α΄. Ὁ Εἱρμός.

,, Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν
,, Λαοὶ, Πάσχα Κυρίου Πάσχα· ἐκ
,, γὰρ θανάτου πρὸς ζωὴν, καὶ ἐκ γῆς πρὸς
,, Οὐρανὸν, Χριστὸς ὁ Θεὸς, ἡμᾶς διεβίβα-
,, σεν, ἐπινίκιον ᾄδοντας.

Καθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψόμεθα, τῷ ἀπροσίτῳ φωτὶ τῆς Ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καὶ χαίρετε φάσκοντα, τρανῶς ἀκουσώμεθα, ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω. ἑορταζέτω δὲ Κόσμος, ὁρατός τε ἅπας καὶ ἀόρατος. Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

Ἕτερος Κανὼν τοῦ Τυφλοῦ.

Ὠδὴ, α΄. Ἦχος, πλ. α΄.

Τὴν ἐφ' ἣν οὐκ ἔλαμψεν.

Σταύρωσιν ἑκούσιον, καταδεξάμενος σαρκὶ, ἐπήγασας εὐλογίαν καὶ ζωὴν, τῷ Κόσμῳ Δέσποτα, μόνε παντευλόγητε, καὶ τοῦ παντὸς δημιουργέ. ὅθεν εὐλογοῦμέν σε, ὑμνοῦμεν καὶ δοξάζομεν, ᾄδοντες, ψάλλοντες, ἐπινίκιον ᾠδήν.

Λάκκῳ κατωτάτῳ σε, νεκρὸν γενόμενον Χριστὲ, ἔθετο ὁ εὐσχήμων Ἰωσὴφ, καὶ προσεκύλισε τῇ θύρᾳ τοῦ Μνήματος, λίθον Μακρόθυμε. ἀλλ' ἀνέστης ἐν δόξῃ, καὶ Κόσμον συνανέστησας, ᾄδοντα, ψάλλοντα, ἐπινίκιον ᾠδήν.

Θαύματα παράδοξα, ἐπιτελῶν ὁ λυτρωτὴς, ἰάσατο καὶ Τυφλὸν ἐκ γενετῆς, πηλὸν ἐπιχρίσας, καὶ εἰπών· πορεύθητι καὶ νίψαι ἐν τῷ Σιλωὰμ, ὅπως γνώσῃ με Θεὸν, ἐπὶ γῆς βαδίζοντα, σάρκα φορέσαντα, διὰ σπλάγχνα οἰκτιρμῶν.

Θεοτοκίον.

Μήτηρ ἀπειρόγαμον, τὴν σὴν κατῴκησεν Ἀγνὴ, Κύριος διὰ σπλάγχνα οἰκτιρμῶν, σῶσαι βουλόμενος, τὸν φθαρέντα ἄνθρωπον, ταῖς μεθοδείαις τοῦ ἐχθροῦ. αὐτὸν οὖν ἱκέτευε, τὴν Πόλιν ταύτην σώζεσθαι, πάσης ἁλώσεως, καὶ ἐχθρῶν ἐπιδρομῆς.

Ἕτερος Κανὼν Προεόρτιος. Οὗ ἡ ἀκροστιχίς· Κατὰ Ἀλφάβητον. Ἰωσήφ.

Ὠδὴ, α΄. Ἦχος, ὁ αὐτός.

Ἵππον καὶ ἀναβάτην.

Ἄνω πρὸς τὸν Πατέρα Χριστὸς ἀνέρχεται, καὶ προσάγει τὴν σάρκα, ἣν ἐξ ἡμῶν ἀνέλαβεν. αὐτὸν ἀνυμνήσωμεν, ἐν αἰνέσει σήμερον, ἐπινίκιον ὕμνον ᾄδοντες.

Βίβλοι γραφῶν ἐνθέων, καὶ τὰ κηρύγματα, τῶν σοφῶν Θεηγόρων, πέρας σαφῶς ἐδέξαντο. μετὰ γὰρ τὴν ἔγερσιν, ὁ Δεσπότης ἄνεισι, μετὰ δόξης εἰς τὰ οὐράνια.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Ἡ μυστικὰς χοραύει, καὶ τὰ οὐράνια, θυμηδίας πληροῦται, ἐπὶ τῇ Ἀναλήψει Χριστοῦ, τοῦ τὰ πρὶν ἑνώσαντος, διεστῶτα χάριτι, καὶ τῆς Εὔας τὸν φραγμὸν λύσαντος.

Καταβασία.

„ Ὡς Σωτῆρι Θεῷ, τῷ ἐν θαλάσσῃ
„ Λαὸν, ποσὶν ἀβρόχοις ὁδηγήσαντι,
„ καὶ Φαραὼ πανστρατιᾷ καταποντίσαντι,
αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

„ Δεῦτε πόμα πίωμεν καινὸν, οὐκ ἐκ πέ-
„ τρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀ-
„ φθαρσίας πηγὴν, ἐκ τάφου ὀμβρήσαντος
„ Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

Νῦν πάντα πεπλήρωται φωτὸς, Οὐρανός τε, καὶ γῆ, καὶ τὰ καταχθόνια. ἑορταζέτω γοῦν πᾶσα Κτίσις, τὴν ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

Χθὲς συνεθαπτόμην σοι Χριστέ. συνεγείρομαι σήμερον ἀναστάντι σοι. συνεσταυρούμην σοι χθές. αὐτός με συνδόξασον Σωτὴρ ἐν τῇ Βασιλείᾳ σου.

Ἄλλος. Σαλευομένην τὴν καρδίαν μου.

Καινῷ μνημείῳ, Ἰωσὴφ σε κατέθετο, Οἰκτίρμων ὁ εὐσχήμων. ἀνέστης δὲ, ἐκ νεκρῶν τριήμερος, καινοποιήσας ἡμᾶς.

Σαλευομένων τὰς καρδίας ἐστήριξας, τὴν γῆν πᾶσαν σαλεύσας μακρόθυμε, τῇ σεπτῇ Σταυρώσει σου, ἣν καθυπέστης σαρκί.

Τυφλὸν ποτὲ ἐκ γενετῆς, προσελθόντα σοι, ἰάσω Πανοικτίρμων, δοξάζοντα, τὴν οἰκονομίαν σου, καὶ τὰ θαυμάσια.

Θεοτοκίον.

Παρθενικῆς ἀπὸ γαστρὸς, ἀπεκύησας, Θεὸν σεσαρκωμένον. ὃν αἴτησαι, Παναγία Δέσποινα, κατοικτειρῆσαι ἡμᾶς.

Ἄλλος. Ὁ πήξας ἐπ' οὐδενός.

Νεκρώσας τῷ σῷ θανάτῳ, Λόγε τὸν θάνατον, ἐκ νεκρῶν ἀνέστης, σαφῶς τριήμερος. καὶ πρὸς τὰ οὐράνια Σωτὴρ, ἀνῆλθες μετὰ δόξης, ὑμνολογούντων Ἀσωμάτων, σοῦ τὴν οἰκονομίαν τὴν ἄφατον.

Ἐπέστης τοῖς ἐπὶ γῆς, Χριστὲ ἄνευ σώματος, καὶ φορέσας σάρκα, Σταυρὸν ὑπέμεινας, καὶ ἐξαναστὰς ἐκ τῶν νεκρῶν, ἀνῆλθες μετὰ δόξης, πρὸς τὸν ἀρχίφωτον Πατέρα σου, εἰρηνοποιήσας τὰ σύμπαντα.

Ζητήσας Χριστὲ τὸ ἐπὶ γῆς, πλανώμενον πρόβατον, ἀπλανέσι Λόγε τοῦτο συνέταξας, καὶ ἀναληφθεὶς πρὸς Οὐρανοὺς, ἐκάθισας ἐν δόξῃ, ἐκ δεξιῶν τοῦ σοῦ Γεννήτορος. δόξα τῇ πολλῇ εὐσπλαγχνίᾳ σου.

Καταβασία.

Τμάμει τοῦ Σταυροῦ σου Χριστὲ, στερέω- „
σόν μου τὴν διάνοιαν, εἰς τὸ ὑμνεῖν καὶ „
δοξάζειν σου, τὴν σωτήριον Ἀνάληψιν. „

Κοντάκιον τοῦ Τυφλοῦ. Ἦχος δ΄.

Ἐπεφάνης σήμερον.

Τῆς ψυχῆς τὰ ὄμματα πεπηρωμένος, σοὶ Χριστὲ προσέρχομαι, ὡς ὁ Τυφλὸς ἐκ γενετῆς, ἐν μετανοίᾳ κραυγάζων σοι· Σὺ τῶν ἐν σκότει τὸ φῶς τὸ ὑπέρλαμπρον.

Ὁ Οἶκος.

Ῥεῖθρόν μοι δώρησαι Χριστὲ, σοφίας τῆς ἀῤῥήτου, καὶ γνώσεως τῆς ἄνω, τὸ φῶς τῶν ἐν τῷ σκότει, καὶ πλανωμένων ὁδηγὲ, ἵνα ἐκχύσω τὰ θαυμάσια τὰ σὰ ὁ τάλας διηγήσασθαι. ἅπερ ἡ θεία Βίβλος ἐδίδαξε, τοῦ Εὐαγγελίου τῆς εἰρήνης, δηλονότι, τὴν τοῦ Τυφλοῦ θαυματοποιΐαν. ὅτι ἐκ γενετῆς Τυφλὸς ὑπάρχων, ὀφθαλμοὺς τοὺς αἰσθητοὺς ἀπολαμβάνει, καὶ τοὺς τῆς ψυχῆς, ἐν πίστει ἀνακραυγάζων· Σὺ τῶν ἐν σκότει τὸ φῶς τὸ ὑπέρλαμπρον.

Ἦχος πλ. α΄. Τὸν τάφον σου Σωτήρ.

Ὀμμάτωσας Χριστὲ, τὸν ἐκ μήτρας τεχθέντα, ἀόμματον δεικνὺς, Ἰουδαίοις Σωτήρ μου, τὴν δόξαν σου τὴν ἄῤῥητον, καὶ ὡς φῶς πάντων πέφυκας. ἀλλὰ φθόνῳ σε, πεπηρωμένοι τὰς φρένας, ἐμπεδοῦντες, τὸν τῆς ζωῆς παροχέα, νεκρῶσαι ἠπείγοντο.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Ἐτέχθης ὡς αὐτὸς, ὁ Σωτήρ μου θελήσας, ἐφάνης πάλιν δὲ, ὡς αὐτὸς ἠβουλήθης. καὶ ἔπαθες ὡς ἄνθρωπος, ὡς Θεὸς δὲ ἀνίστασαι. ἀνελήλυθας, εἰς Οὐρανοὺς μετὰ δόξης, καὶ ἀνήγαγες, τὴν τῶν ἀνθρώπων οὐσίαν, καὶ δόξῃ κατεκάλυψας.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Ἐπὶ τῆς θείας φυλακῆς, ὁ Θεηγόρος „
Ἀββακοὺμ, στήτω μεθ' ἡμῶν καὶ δεικνύ- „
τω, φαεσφόρον Ἄγγελον, διαπρυσίως „
λέγοντα· σήμερον σωτηρία τῷ Κόσμῳ, „
ὅτι ἀνέστη Χριστὸς ὡς Παντοδύναμος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἄρσεν μὲν ὡς διανοῖξαν, τὴν παρθενεύουσαν νηδὺν, πέφηνε Χριστὸς, ὡς βροτὸς δὲ ἀμνὸς προσηγόρευται, ἄμωμος δὲ ὡς ἄγευστος κηλῖδος, τὸ ἡμέτερον Πάσχα, καὶ ὡς Θεὸς ἀληθὴς, τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνὸς, ὁ εὐλογούμενος ἡμῖν, στέφανος Χριστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ καθαρτήριον, καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν ἔλαμψεν Ἥλιος.

Ὁ θεοπάτωρ μὲν Δαβὶδ, πρὸ τῆς σκιώδους Κιβωτοῦ, ἥλατο σκιρτῶν· ὁ Λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν, ὁρῶντες εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστὸς ὡς Παντοδύναμος.

Ἄλλος. Ἀκήκοα Κύριε τὴν ἀκοήν.

Τοῖς Μαθηταῖς Κύριε, συναυλιζόμενος παραδόξως, τούτοις ἔλεγες· ἄπιτε, κηρύξατε πανταχοῦ, τὴν ἐμὴν Ἀνάστασιν.

Ὠμμάτωσας Κύριε, Τυφλὸν ἐκ μήτρας γεγεννημένον, εἰπών· ἄπελθε, νίψαι καὶ ἀνάβλεψον, τὴν ἐμὴν δοξάζων Θεότητα.

Τεθνήξαντα ξύλῳ με, τεθεὶς ἐν ξύλῳ, ζωὴ ὑπάρχων, ἀνεζώωσας διὰ μέγα ἔλεος. διὰ τοῦτο Λόγε δοξάζω σε.

Θεοτοκίον.

Τὸν τόκον σου Ἄχραντε, τὸν ὑπὲρ φύσιν δοξολογοῦντες, μακαρίζομεν πίστει σε, Πανάμωμε, ὡς Θεοῦ τῶν ὅλων λοχεύτριαν.

Ἄλλος. Τὴν θείαν ἐννοήσας.

Πεσὼν τῇ ἁμαρτίᾳ κατάκριτος, φύσις ἡμῶν Παμβασιλεῦ, τῇ σῇ προσλήψει ἠλέηται, ὑμνολογοῦσα φόβῳ, σὴν ἔγερσιν, καὶ θείαν Ἀνάληψιν.

Θαμβεῖται Ἀσωμάτων τὰ τάγματα, κατανοοῦντα σε Χριστὲ, φορέσαντα σῶμα γήϊνον, καὶ ἐπιβάντα νεφέλῃ, καὶ πρὸς τοὺς Οὐρανοὺς ἀνερχόμενον.

Ἐδῦσαι ἐρυθρὰ τὰ ἱμάτια, τὰ σὰ Χριστὲ Παμβασιλεῦ, τῇ σῇ ἀνόδῳ ἐξέστησαν, αἱ τῶν Ἀγγέλων Δυνάμεις, καὶ φόβῳ καὶ χαρᾷ προσεκύνησαν.

Κροτήσωμεν τὰς χεῖρας, ὁ Κύριος, ἐξεγερθεὶς ἐκ τῶν νεκρῶν, πρὸς Οὐρανοὺς ἀνελήλυθεν, ὑποταγέντων Ἀγγέλων, αὐτῷ ὡς ποιητῇ καὶ Θεῷ ἡμῶν.

Καταβασία.

Εἰσακήκοα Κύριε τὴν ἀκοὴν, τῆς δυναστείας τοῦ Σταυροῦ σου, ὡς Παράδεισος ἠνοίγη δι' αὐτοῦ, καὶ ἐβόησα· δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης Ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ ᾅδου σειραῖς, συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο Χριστὲ, ἀγαλλομένῳ ποδὶ, Πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ Μνήματος, ὡς Νυμφίῳ, καὶ συνεορτάσωμεν, ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεοῦ τὸ σωτήριον.

Ἄλλος. Τὴν πάλαιμαν ψυχήν μου.

Ἐτέθης ἐν Μνημείῳ, ὁ ἑκουσίως γενόμενος νεκρὸς, καὶ τὰ βασίλεια τοῦ ᾅδου, Βασιλεῦ ἀθάνατε, ἅπαντα ἐκένωσας, νεκροὺς τῇ Ἀναστάσει ἐγείρας τῇ σῇ.

Τὰ ὄμματα ἀνοίξας, τοῦ μὴ ἰδόντος τὸ φῶς τὸ αἰσθητὸν, ψυχῆς ἐφώτισας τὰς κόρας, καὶ δοξάζειν ἔπεισας τοῦτον, ἐπιγνόντα σε Ποιητὴν, δι' εὐσπλαγχνίαν ὀφθέντα βροτόν.

Ὑψώθης ἐν τῷ ξύλῳ, καὶ συνανύψωσας πάντας τοὺς βροτούς· καὶ τὸν πολέμιον οἰκτίρμων, ὄφιν ἐθανάτωσας, καὶ ἐζώωσας τὸ πλάσμα τῶν χειρῶν σου, ὡς μόνος ὢν Θεὸς τοῦ παντός.

Θεοτοκίον.

Πῶς τέτοκας μὴ γνοῦσα, Παρθενομήτωρ Ἁγνὴ, πεῖραν ἀνδρὸς Θεοχαρίτωτε; πῶς τρέφεις τὸν τὴν Κτίσιν τρέφοντα; μόνος ὡς ἐπίσταται αὐτὸς, ὁ τοῦ παντὸς ποιητὴς καὶ Θεός.

Ἄλλος. Ὁ ἀναβαλλόμενος.

Ἄρας τὸ κατάκριμα τῆς ἀνθρωπότητος, Χριστὸς ἀνέστη, καὶ ἀνελήφθη, πρὸς τὰ Ἐπουράνια, Πατρὸς συνεδρείᾳ, τιμήσας οὓς ἠγάπησεν.

Μετὰ τὴν Ἀνάστασιν χαροποιήσας Χριστὲ, τοὺς Μαθητάς σου, ἀνῆλθες ἄνω, πρὸς τὸν σὸν Γεννήτορα, οὐκ ἐχωρίσθης, κἂν τοῖς βροτοῖς ὡμίλησας.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Νόμου προσκιάσματα καὶ τὰ κηρύγματα, τῶν θεηγόρων Χριστὲ, πληρώσας, ἀνῆλθες νεφέλης σε, καθυπολαβούσης, Σωτὴρ πρὸς τὰ Οὐράνια.

Καταβασία.

Ὀρθρίζοντες βοῶμέν σοι Κύριε, σῶσον ἡμᾶς· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν.

Ὠδὴ ϛ'. Ὁ Εἱρμός.

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς, αἰωνίους κατόχους, πεπεδημένων Χριστὲ, καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.

Φυλάξας τὰ σήμαντρα σῶα Χριστὲ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς Παρθένου μὴ λυμηνάμενος, ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν, Παραδείσου τὰς πύλας.

Σῶτέρ μου, τὸ ζῶν τε καὶ ἄθυτον, ἱερεῖον ὡς Θεὸς, σεαυτὸν ἑκουσίως, προσαγαγὼν τῷ Πατρὶ, συνανέστησας, παγγενῆ τὸν Ἀδὰμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Ἄλλος. Ὡς τὸν Προφήτην.

Ὁ Σταυρωθεὶς μετὰ ληστῶν, ἐρρύσω Δέσποτα, ληστῶν πονηρῶν, καὶ ψυχοφθόρων παθῶν, φιλάνθρωπε Κύριε, πάντας τοὺς ὑμνοῦντάς σου τὴν σταύρωσιν, καὶ τὴν ἔγερσιν συμφώνως.

Πηλὸν ποιήσας ὀφθαλμοὺς, τυφλοῦ ἐπέχρισας, τοῦ ἐκ γενετῆς, καὶ ἐχαρίσω αὐτῷ τὸ βλέπειν, ὑμνοῦντί σου Λόγε τὴν ἄφατον δύναμιν, δι' ἧς ἔσωσας τὸν Κόσμον.

Ἔθεντο ἄπνουν σε νεκρὸν, Χριστὲ ἐν Μνήματι, τὸν πᾶσι νεκροῖς, ἐμπνέοντα τὴν ζωήν· ἀνέστης δὲ Κύριε, πάντα κενώσας Λόγε τὰ μνήματα, θεϊκῇ σου δυναστείᾳ.

Θεοτοκίον.

Τὰ μεγαλεῖά σου Ἁγνὴ, τίς διηγήσεται, Θεὸν γὰρ ἐν σαρκὶ, ἔτεκες ὑπερφυῶς. Κόσμον διὰ σοῦ ῥυόμενον, Παρθένε Πανάμωμε, ἀπὸ πάσης ἁμαρτίας.

Εἱρμὸς ἄλλος. Μαινομένην κλύδωνι.

Ξένον ὤφθης θέαμα, τοῖς Ἀγγέλοις βρότειον μορφὴν, φέρων τῇ ἀνόδῳ σου φιλάνθρωπε, τῇ φρικώδει. ὅθεν ἐν φόβῳ ἀνυμνοῦμέν σε.

Ὁ Τῶν ὅλων Κύριος, μετὰ δόξης ἄνεισι φαιδρῶς, πρὸς τὸν τούτου ἄναρχον Γεννήτορα· πᾶσα Κτίσις, νῦν ἑορτάζει χορεύουσα.

Θεοτοκίον.

Πᾶσα γλῶσσα σήμερον, ἐκβοάτω ἐν ἀλαλαγμῷ· ὁ Χριστὸς ἀνέβη, καὶ ἐν σάλπιγγος, θείᾳ φωνῇ, πρὸς Οὐρανοὺς, οὓς οὐκ ἔλιπεν.

Καταβασία.

Ἐκύκλωσέ με ἄβυσσος, ταφή μοι τὸ κῆτος ἐγένετο. ἐγὼ δὲ ἐβόησα, πρὸς σὲ τὸν φιλάνθρωπον, καὶ ἔσωσέ με ἡ δεξιά σου Κύριε.

Τὸ Κοντάκιον τοῦ Πάσχα.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅδου καθεῖλες τὴν δύναμιν. καὶ ἀνέστης ὡς νικητὴς Χριστὲ ὁ Θεὸς, γυναιξὶ Μυροφόροις φθεγξάμενος, Χαίρετε· καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος· ὁ τοῖς πεσοῦσι παρέχων Ἀνάστασιν.

Ὁ Οἶκος.

Τὸν πρὸ Ἡλίου Ἥλιον, δύναντα ποτὲ ἐν τάφῳ, προέφθασαν πρὸς ὄρθρον ἐκζητοῦσαι ὡς ἡμέραν, Μυροφόροι Κόραι, καὶ πρὸς ἀλλήλας ἐβόων· ὦ φίλαι, δεῦτε τοῖς ἀρώμασιν ὑπαλείψωμεν Σῶμα ζωηφόρον καὶ τεθαμμένον. σάρκα ἀνιστῶσαν τὸν παραπεσόντα Ἀδὰμ κείμενον ἐν τῷ μνήματι. Ἄγωμεν, σπεύσωμεν, ὥσπερ οἱ Μάγοι, καὶ προσκυνήσωμεν, καὶ προσκομίσωμεν τὰ μύρα ὡς δῶρα, τῷ μὴ ἐν σπαργάνοις, ἀλλ' ἐν σινδόνι ἐνειλημένῳ. καὶ κλαύσωμεν, καὶ κράξωμεν· ὦ Δέσποτα ἐξεγέρθητι· Ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

Τὸ Συναξάριον τοῦ Μηναίου.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητὸς, καὶ διὰ πάθους τὸ θνητὸν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν· ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον· ὃν δὲ ὡς θνητὸν, μετὰ δακρύων ἐζήτουν, προσεκύνησαν, χαίρουσαι ζῶντα Θεόν· καὶ Πάσχα τὸ μυστικὸν, σοῖς Χριστὲ Μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν, ᾅδου τὴν καθαίρεσιν· ἄλλης βιοτῆς, τῆς αἰωνίου ἀπαρχὴν, καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον· τὸν μόνον εὐλογητὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος, νὺξ καὶ φωταυγὴς, τῆς λαμπροφόρου ἡμέρας, τῆς ἐγέρσεως, οὖσα προάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς, ἐκ τάφου σωματικῶς πᾶσιν ἐπέλαμψεν.

Ἄλλος. Πυρὸς σβεστήριον.

Ἐξεγερθέντος σου, ἐκ τῶν νεκρῶν Βασιλεῦ, ψυχαὶ συνηγέρθησαν, ἐκεῖ καθεύδουσαι, δοξάζουσαι τὴν δυναστείαν σου, δι' ἧς θανάτου δεσμῶν ἐλύθησαν.

Πηλῷ ἐπέχρισας, τοὺς ὀφθαλμοὺς τοῦ Τυφλοῦ, καὶ τούτῳ προσέταξας, πρὸς Σιλωὰμ ἀπελθεῖν. νιψάμενος δὲ ἀνέβλεψεν, ὑμνολογῶν σε Χριστὲ Βασιλεῦ τῶν πάντων.

Ἀναρτηθέντος σου, ἐπὶ τοῦ ξύλου Σωτὴρ, ἐσβέσθη ὁ Ἥλιος, γῆ ἐκυμαίνετο, ἐσαλεύετο ἡ Κτίσις ἅπασα, καὶ ἐκ τῶν τάφων νεκροὶ ἐξεγείροντο. Θκ.

Μετὰ τὴν κύησιν, Παρθένος ὤφθης Ἁγνή. Θεὸν γὰρ ἐγέννησας, καινοτομήσαντα φύσεις Ἄχραντε, τῇ δυνάμει αὐτοῦ. ὃν ἐκδυσώπει σωθῆναι πάντας ἡμᾶς.

Ἄλλος. Ὁ ὑπερυψούμενος.

Ῥήξας τὸ μεσότειχον, τὸ τῆς ἔχθρας Κύριε, Σταυρῷ καὶ τῷ πάθει σου, νεφέλῃ ὀχούμενος, ἀνῆλθες μετὰ δόξης, πρὸς τὸν ἄναρχον Πατέρα.

Ἐ[illegible] ἐκραύγαζον, αἱ Δυνάμεις ἄρατε, πύλας παραγένομε, Χριστὸς σῶμα γήϊνον, φορῶν καὶ θείῳ πάθει, τὸν βελίαρ θανατώσας.

Ποῦ σου τὰ ἱμάτια, ἐρυθρὰ φιλάνθρωπε; ληνὸν μόνος ἐπάτησα, Χριστὸς ταῖς δυνάμεσι, ταῖς θείαις πυνθανομέναις, ἀνερχόμενος ἐβόα.

Ὕμνοις σου τὴν σταύρωσιν, Χριστὲ καὶ τὴν ἔγερσιν, συμφώνως δοξάζομεν, λαμπρῶς ἑορτάζοντες, ἐπὶ τῇ Ἀναλήψει, τῇ σεπτῇ σου εἰς αἰῶνας.

Καταβασία.

» Ὁ ἐν καμίνῳ πυρὸς, τοὺς ὑμνολόγους σώ-
» σας Παῖδας, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν
» Πατέρων ἡμῶν.

Ὠδὴ η'. Ὁ Εἱρμός.

» Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν
» Σαββάτων, ἡ Βασιλὶς καὶ κυρία, Ἑορτῶν Ἑορτὴ, καὶ πανήγυρις ἐστὶ πανηγύρεων· »
ἐν ᾗ εὐλογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας. »

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος, τῆς θείας εὐφροσύνης, ἐν τῇ ἐπισήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, Βασιλείας τοῦ Χριστοῦ κοινωνήσωμεν· ὑμνοῦντες αὐτὸν, ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν, καὶ ἴδε. ἰδοὺ γὰρ ἥκασί σοι θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ Δυσμῶν, καὶ Βοῤῥᾶ, καὶ θαλάσσης, καὶ Ἑῴας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ Παντοκράτορ, καὶ Λόγε, καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη, ἐν ὑποστάσεσι φύσις, ὑπερούσιε καὶ ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Ἀγγέλων σύστημα.

Ἀγγέλων τάγματα, Σταυρῷ κρεμάμενον, σὲ κατιδόντα Χριστὲ Παμβασιλεῦ, καὶ τὴν Κτίσιν πᾶσαν, ἀλλοιοῦντα τῷ φόβῳ, ἐξέστησαν ὑμνοῦντα, τὴν σὴν φιλανθρωπίαν.

Πέλων τεράστια, Χριστὲ ἐξαίσια, ἐθελουσίως ὑψώθης ἐν Σταυρῷ, καὶ νεκροῖς συνήφθης, ὁ νεκρώσας τὸν ᾅδην, καὶ πάντας ἐν ἀνδρείᾳ ἀπέλυσας δεσμίους.

Τυφλὸν ὠμμάτωσας, σοὶ προσελθόντα Χριστὲ, τούτῳ προσέταξας, πηγῇ τοῦ Σιλωὰμ, νίψασθαι καὶ βλέψαι, καὶ Θεόν σε κηρύξαι, σαρκὶ ἐπιφανέντα εἰς Κόσμου σωτηρίαν.

Θεοτοκίον.

Παρθένε ἄχραντε, Θεοχαρίτωτε, τὸν σὸν δυσώπει Υἱὸν διὰ παντὸς, μή με καταισχῦναι ἐν ἡμέρᾳ τῆς δίκης, ἀλλὰ συναριθμῆσαι, τοῖς ἐκλεκτοῖς προβάτοις.

Ἄλλος. Σοὶ τῷ παντουργῷ.

Ὥσπερ ἐκ φωτὸς, ὑπάρχοντα νεφέλη, φωτεινὴ ὑπέλαβεν, ἐξ ὄρους τῶν ἐλαιῶν, πάντων ὁρώντων, τῶν θείων Μαθητῶν σου, καὶ σὲ ἀνυμνούντων, εἰς πάντας τοὺς αἰῶνας.

Χεῖρας ψαλμικῶς, κροτήσωμεν ἀνέστη, Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ ἀνελήλυθεν, ὅθεν κατῆλθε, πρὸς ἡμᾶς φιλανθρώπως, εἰρηνοποιήσας τὰ πάλαι διεστῶτα.

Ψάλλων ὁ Δαβὶδ, βοᾷ Χριστὸς ἐπέβη, ἐπὶ Χερουβὶμ αὐτοῦ, καὶ ἐπετάσθη σα-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

φῶς, ἐπὶ πτερύγων, τῶν λογικῶν ταγμάτων, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὤφθης Μαθηταῖς, ἐξαναστὰς τοῦ τάφου, καὶ τούτους ἀνήγαγες ἐν ὄρει τῶν ἐλαιῶν. ὅθεν νεφέλη φωτὸς ὑπολαβοῦσα, ἦρε πρὸς τὰ ἄνω, Χριστὲ σὲ μετὰ δόξης.

Καταβασία.

Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων, γεννηθέντα Υἱὸν καὶ Θεόν, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων, σαρκωθέντα ἐκ Παρθένου Μητρός, Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Φωτίζου, φωτίζου, ἡ Νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε· χόρευε νῦν, καὶ ἀγάλλου Σιών. σὺ δὲ Ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὢ θείας, ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς. μεθ' ἡμῶν ἀψευδῶς γάρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστέ· ἣν οἱ πιστοί, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Ὢ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστέ, ὢ σοφία καὶ Λόγε, τοῦ Θεοῦ καὶ δύναμις, δίδου ἡμῖν ἐκτυπώτερον σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς Βασιλείας σου.

Ἄλλος. Ὅτι ἐποίησέ μοι μεγαλεῖα.

Τῷ Κρίῳ προσεπάγης, τοῦ Σταυροῦ Χριστὲ ὁ Θεός, καὶ πάσας ἐθριάμβευσας ἐχθροῦ τὰς ἁμαρτίας ἀρχάς, καὶ τὴν πρώην κατάραν Σῶτερ ἠφάνισας. διό σε καταχρέως μεγαλύνομεν.

Ὡς ἔβλεψέ σε Λόγε, ᾅδης κάτω μετὰ ψυχῆς, ἐστέναξε καὶ πάντας τοὺς νεκρούς, φόβῳ ἀπέλυσεν, ἐπιγνόντας τὸ κράτος τῆς ἐξουσίας σου· μεθ' ὧν σε καταχρέως μεγαλύνομεν.

Ἠγέρθης καθὼς εἶπας, Ζωοδότα, ἐκ τῶν νεκρῶν, καὶ ὤφθης τοῖς Ἁγίοις Μαθηταῖς μετὰ τὴν ἔγερσιν, σημεῖα ποιήσας, καὶ ὀμματώσας τυφλούς· μεθ' ὧν σε εἰς αἰῶνας μεγαλύνομεν.

Θεοτοκίον.

Φανεῖσα πλατυτέρα οὐρανῶν, Παρθένε Ἁγνή, ἐχώρησας Θεὸν σωματικῶς, τὸν ἀπερίγραπτον· καὶ ἐκύησας πάντων εἰς ἀπολύτρωσιν, τῶν πίστει ἀδιστάκτῳ ἀνυμνούντων σε.

Ἄλλος. Ἡσαΐα χόρευε.

Τελοῦμεν πανήγυριν, πᾶσα Κτίσις ἄγει ἐμφανῶς, τῇ Ἀναλήψει τῇ σῇ, Λόγε τοῦ Θεοῦ. ἐν ᾗ προσενήνοχας, τῷ Πατρί σου, ἣν περ ἐξ ἡμῶν, φύσιν ἀνέλαβες, ὑπὲρ λόγον ἀναλλοίωτε.

Ὡς Θεὸς συνέτριψας, πύλας ᾅδου Σῶτερ καὶ μοχλούς, καὶ ἀναστὰς ἐκ νεκρῶν, πρὸς τοὺς Οὐρανούς, ἐνδόξως ἀνέδραμες, τῶν ταγμάτων τῶν Ἀγγελικῶν· πύλας διάρατε, ἐκβοώντων μετ' ἐκπλήξεως.

Σοῦ τὴν θείαν ἄνοδον, θαυμαζόντων θείων Μαθητῶν, ἐπέστησαν ἐμφανῶς, Ἄγγελοι αὐτοῖς· βοῶντες ὃν βλέπετε, ἀνιόντα εἰς τοὺς Οὐρανούς· οὗτος ἐλεύσεται, μετὰ δόξης κρῖναι ἅπαντας.

Ἣν Χριστὲ δεδώρησαι, πρὸς τὰ ἄνω πάλαι ἀνιών, εἰρήνην σοῖς Μαθηταῖς, ταύτην καὶ ἡμῖν, πλουσίως κατάπεμψον, ἐν ἀγάπῃ, πάντα συγκρατῶν· ὅπως συμφώνως σε, τὸν Σωτῆρα μεγαλύνωμεν.

Θεοτοκίον.

Φωτοφόρον ὄχημα, τοῦ Ἡλίου σὺ τοῦ νοητοῦ, γεγένησαι ἀληθῶς, Ἄχραντε Ἁγνή. δι' οὗ οἱ καθήμενοι, ἐν τῷ σκότει ἔβλεψαν τὸ φῶς, τῆς ἐπιγνώσεως, καταχρέως σε δοξάζοντες.

Καταβασία.

Σὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον Μητέρα Θεοῦ, τὴν ἐν χρόνῳ τὸν Ἄχρονον, ἀφράστως κυήσασαν, οἱ Πιστοὶ ὁμοφρόνως μεγαλύνομεν.

Ἐξαποστειλάριον. Αὐτόμελον.

Σαρκὶ ὑπνώσας ὡς θνητός, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον. Πάσχα τῆς ἀφθαρσίας, τοῦ Κόσμου σωτήριον.

Ἕτερον τοῦ Τυφλοῦ. Ὅμοιον.

Τοὺς νοερούς μου ὀφθαλμούς, πεπηρωμένους Κύριε, ἐκ ζοφερᾶς ἁμαρτίας, σὺ φωταγώγησον ἐνθείς, Οἰκτίρμων τὴν ταπείνωσιν, καὶ τοῖς τῆς μετανοίας, καθάρας με δάκρυσιν.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχους η'. καὶ ψάλλομεν α'. Ἰδιόμελα, τοῦ Τυφλοῦ, δ'. καὶ [illegible] Τυφλοῦ. Ἦχος β'.

Ὁ Τυφλὸς γεννηθείς, ἐν τῷ ἰδίῳ λογισμῷ ἔλεγεν· ἆρα ἐγὼ δι' ἁμαρτίας γονέων

ἐγεν-

ἐγεννήθην ἀόμματος; ἄρα ἐγὼ δι' ἀπιστίαν ἐθνῶν ἐγεννήθην εἰς ἔνδειξιν; οὐχ ἱκανῶ τοῦ ἐρωτᾶν, πότε νύξ, πότε ἡμέρα; οὐκ ἀντοσοῦσί μου οἱ πόδες τὰ τῶν λίθων προσκρούσματα. οὐ γὰρ εἶδον τὸν Ἥλιον λάμποντα, οὐδὲ ἐν εἰκόνι τὸν ἐμὲ πλαστουργήσαντα. ἀλλὰ δέομαί σου Χριστὲ ὁ Θεός, ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με. Ὁ αὐτός.

Παράγων ὁ Ἰησοῦς ἐκ τοῦ Ἱεροῦ, εὗρεν ἄνθρωπον Τυφλὸν ἐκ γενετῆς, καὶ σπλαγχνισθείς, ἐπέθηκε πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ εἶπε πρὸς αὐτόν· ὕπαγε νίψαι εἰς τὸν Σιλωάμ, καὶ νιψάμενος ἀνέβλεψε, δόξαν ἀναπέμπων Θεῷ. οἱ δὲ ἀγχισταὶ αὐτοῦ, ἔλεγον αὐτῷ· τίς σου τὰς κόρας διήνοιξεν, ἃς οὐδεὶς τῶν βλεπόντων ἰᾶσαι ἴσχυσεν; ὁ δέ φησι βοήσας· ἄνθρωπος Ἰησοῦς λεγόμενος, ἐκεῖνός μοι ἔφη, νίψαι εἰς τὸν Σιλωάμ, καὶ ἀνέβλεψα. αὐτός ἐστιν ἀληθῶς, ὃν ἔφη Μωϋσῆς ἐν τῷ νόμῳ Χριστὸν Μεσσίαν. αὐτός ἐστιν ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν. Ἦχος, δ.

Ὅλον τὸν βίον ὁ Τυφλὸς νύκτα λογιζόμενος, ἐβόησε πρὸς σὲ Κύριε· ἄνοιξόν μου τὰς κόρας Υἱὲ Δαβίδ, ὁ Σωτὴρ ἡμῶν. ἵνα μετὰ πάντων κἀγὼ ὑμνήσω σου τὴν δύναμιν. Ἦχος, πλ. α.

Χριστὲ παράγων ἐν τῇ ὁδῷ, εὗρες ἄνθρωπον Τυφλὸν ἐκ γενετῆς. καὶ ἔκθαμβοι γεγονότες οἱ Μαθηταί, ἐπηρώτων σε, λέγοντες· Διδάσκαλε, τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα Τυφλὸς γεννηθῇ; σὺ δὲ Σωτήρ μου ἐβόας αὐτοῖς. οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ· ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ· ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με, ἃ οὐδεὶς δύναται ἐργάζεσθαι. καὶ ταῦτα εἰπών, πτύσας χαμαί, καὶ πηλὸν ποιήσας, ἐπέχρισας τοὺς ὀφθαλμοὺς αὐτοῦ, λέξας πρὸς αὐτόν· ὕπαγε νίψαι εἰς τὴν Σιλωὰμ τὴν κολυμβήθραν. ὁ δὲ νιψάμενος ὑγιὴς ἐγένετο, καὶ ἐβόα πρὸς σέ· πιστεύω Κύριε, καὶ προσεκύνησέ σοι. διὸ βοῶμεν καὶ ἡμεῖς, ἐλέησον ἡμᾶς.

Τοῦ Πάσχα. ἦχος ὁ αὐτός.

Στίχ. Ἀναστήτω ὁ Θεός.

Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται. Πάσχα καινὸν ἅγιον. Πάσχα μυστικόν. Πάσχα πανσεβάσμιον. Πάσχα Χριστὸς ὁ λυτρωτής. Πάσχα ἄμωμον. Πάσχα μέγα. Πάσχα τῶν Πιστῶν. Πάσχα τὸ πύλας ἡμῖν τοῦ Παραδείσου ἀνοῖξαν· Πάσχα πάντας ἁγιάζον πιστούς.

Στίχ. Ὡς ἐκλείπει καπνός.

Δεῦτε ἀπὸ θέας γυναῖκες εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε· δέχου παρ' ἡμῶν χαρᾶς εὐαγγέλια, τῆς Ἀναστάσεως Χριστοῦ· τέρπου, χόρευε, καὶ ἀγάλλου Ἱερουσαλήμ, τὸν Βασιλέα Χριστόν, θεασαμένη ἐκ τοῦ Μνήματος, ὡς Νυμφίον προερχόμενον.

Στίχ. Οὕτως ἀπολοῦνται.

Αἱ Μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἐπιστᾶσαι πρὸς τὸ Μνῆμα τοῦ ζωοδότου, εὗρον Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, καὶ αὐτὸς προσφθεγξάμενος, αὐταῖς οὕτως ἔλεγε· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν φθορᾷ; ἀπελθοῦσαι κηρύξατε τοῖς αὐτοῦ Μαθηταῖς.

Στίχ. Αὕτη ἡ ἡμέρα.

Πάσχα τὸ τερπνόν, Πάσχα Κυρίου Πάσχα. Πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε. Πάσχα ἐν χαρᾷ ἀλλήλους περιπτυξώμεθα. ὢ Πάσχα λύτρον λύπης. καὶ γὰρ ἐκ τάφου σήμερον, ὥσπερ ἐκ παστοῦ ἐκλάμψας Χριστός, τὰ γύναια χαρᾶς ἔπλησε λέγων· κηρύξατε Ἀποστόλοις.

Δόξα, καὶ νῦν, ἦχος, ὁ αὐτός.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς, συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Τό, Χριστὸς ἀνέστη, ἐκ γ.

Δοξολογία μεγάλη. Ἀπολυτίκιον.

Τὸν συνάναρχον Λόγον Πατρί.

Καὶ Θεοτοκίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος.

Καὶ γίνεται Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικά. καὶ ἐκ τοῦ Κανόνος τοῦ Πάσχα, ᾠδὴ γ. καὶ ς. ὁ Ἀπόστολος, καὶ τὸ Εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Σῶμα Χριστοῦ μεταλάβετε.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Καὶ οὕτως ἀποδίδοται ἡ Ἑορτὴ τῆς ἁγίας καὶ ζωηφόρου τοῦ Χριστοῦ Ἀναστάσεως.

Εἰς τὴν Τράπεζαν γίνεται τοῖς Ἀδελφοῖς Παράκλησις μεγάλη, ἤγουν, διʼ ἐλαίου, διʼ ἰχθύος, καὶ διὰ οἴνου.

Τῇ Δʹ. Ἑσπέρας τῆς ϛʹ. Ἑβδομάδος, ἑορτάζομεν τὴν Ἀνάληψιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ, ἱστῶμεν στίχους δʹ. καὶ ψάλλομεν Στιχηρὰ Ἰδιόμελα, Ἦχος, πλ. βʹ.

Ὁ Κύριος ἀνελήφθη εἰς Οὐρανούς.

Κύριε τῇ σῇ Ἀναλήψει.

Ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις.

Κύριε τῆς οἰκονομίας πληρώσας.

Ζήτει ταῦτα πάντα εἰς τὸν μέγαν Ἑσπερινόν.

Δόξα, καὶ νῦν, Ἦχος, Ὁ αὐτός.

Κύριε οἱ Ἀπόστολοι ὡς εἶδόν σε, ἐν νεφέλαις. Εἰς τὸν Στίχον, Στιχηρά. Ἦχος, αʹ.

Ἀνελθὼν εἰς οὐρανούς, ὅθεν καὶ κατῆλθες.

Στίχ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

Ἀνῆλθες Χριστὲ πρὸς τὸν ἄναρχον.

Στίχ. Πάντα τὰ Ἔθνη κροτήσατε.

Οἱ Ἄγγελοί σου Κύριε.

Δόξα, καὶ νῦν, Ἦχος, βʹ.

Ἐτέχθης ὡς αὐτὸς ἠθέλησας.

Τό, Νῦν ἀπολύεις. Τρισάγιον. Παναγία Τριάς. Τό, Πάτερ ἡμῶν.

Καὶ τὸ Ἀπολυτίκιον. Ἦχος, δʹ.

Ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητὰς τῇ ἐπαγγελίᾳ τοῦ Ἁγίου Πνεύματος· βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ Κόσμου.

Καὶ τὰ λοιπά, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ιʹ. καὶ ψάλλομεν Ἰδιόμελα, εʹ.

Δευτεροῦντες αὐτά, Ἦχος, πλ. βʹ.

Ὁ Κύριος ἀνελήφθη εἰς Οὐρανούς, ἵνα πέμψῃ τὸν Παράκλητον τῷ Κόσμῳ. οἱ Οὐρανοὶ ἡτοίμασαν τὸν Θρόνον αὐτοῦ, νεφέλαι τὴν ἐπίβασιν αὐτοῦ. Ἄγγελοι θαυμάζουσιν, ἄνθρωπον ὁρῶντες ὑπεράνω αὐτῶν. ὁ Πατὴρ ἐκδέχεται, ὃν ἐν κόλποις ἔχει συναΐδιον. τὸ Πνεῦμα τὸ ἅγιον κελεύει πᾶσι τοῖς Ἀγγέλοις αὐτοῦ· Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν. πάντα τὰ Ἔθνη κροτήσατε χεῖρας, ὅτι ἀνέβη Χριστός, ὅπου ἦν τὸ πρότερον. Δίς.

Κύριε τῇ σῇ Ἀναλήψει, ἐξεπλάγησαν τὰ Χερουβίμ, θεωρήσαντά σε τὸν Θεόν, ἐπὶ νεφελῶν ἀνερχόμενον, τὸν ἐπʼ αὐτῶν καθεζόμενον. καὶ δοξάζομέν σε, ὅτι χρηστὸν τὸ ἔλεός σου, δόξα σοι. Δίς.

Ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, θεωροῦντές σου τὰς ὑψώσεις Χριστέ, τὸ ἀπαύγασμα τῆς δόξης τοῦ Πατρός, ἀνυμνοῦμέν σου τὴν φωτοειδῆ τοῦ προσώπου μορφήν. προσκυνοῦμέν σου τὰ παθήματα. τιμῶμεν τὴν Ἀνάστασιν· τὴν ἔνδοξον Ἀνάληψιν δοξάζοντες. ἐλέησον ἡμᾶς. Δίς.

Κύριε οἱ Ἀπόστολοι ὡς εἶδόν σε, ἐν νεφέλαις ἐπαιρόμενον, ὀδυρμοῖς δακρύων ζωοδότα Χριστέ, κατηφείας πληρούμενοι, θρηνοῦντες ἔλεγον· Δέσποτα μὴ ἐάσῃς ἡμᾶς ὀρφανούς, οὓς διʼ οἶκτον ἠγάπησας δούλους σου ὡς εὔσπλαγχνος. ἀλλʼ ἀπόστειλον ὡς ὑπέσχου ἡμῖν τὸ πανάγιόν σου Πνεῦμα, φωταγωγοῦν τὰς ψυχὰς ἡμῶν. Δίς.

Κύριε τῆς Οἰκονομίας πληρώσας τὸ Μυστήριον, παραλαβὼν τοὺς σοὺς Μαθητάς, εἰς τὸ ὄρος τῶν ἐλαιῶν, ἀνελάμβανες· καὶ ἰδοὺ τὸ στερέωμα τοῦ Οὐρανοῦ παρῆλθες, ὁ διʼ ἐμὲ πτωχεύσας κατʼ ἐμέ· καὶ ἀναβὰς ὅθεν οὐκ ἐχωρίσθης, τὸ Πανάγιόν σου Πνεῦμα ἐξαπόστειλον, φωτίζον τὰς ψυχὰς ἡμῶν. Δίς.

Δόξα, καὶ νῦν, Ἦχος, Ὁ αὐτός.

Τῶν κόλπων τῶν Πατρικῶν μὴ χωρισθείς, γλυκύτατε Ἰησοῦ, καὶ τοῖς ἐπὶ γῆς ὡς ἄνθρωπος συναναστραφείς, σήμερον ἐπʼ ὄρους τῶν ἐλαιῶν ἀνελήφθης ἐν δόξῃ· καὶ τὴν πεσοῦσαν φύσιν ἡμῶν συμπαθῶς ἀνυψώσας, τῷ Πατρὶ συνεκάθισας. ὅθεν αἱ Οὐράνιαι τῶν Ἀσωμάτων τάξεις τὸ θαῦμα ἐκπληττόμεναι, ἐξίσταντο θάμβει, καὶ τρόμῳ συνεχόμεναι, τὴν σὴν φιλανθρωπίαν ἐμεγάλυνον. μεθʼ ὧν καὶ ἡμεῖς οἱ ἐπὶ γῆς, τὴν πρὸς ἡμᾶς σου συγκατάβασιν, καὶ τὴν ἀφʼ ἡμῶν Ἀνάληψιν δοξολογοῦντες, ἱκετεύομεν λέγοντες· ὁ

τὰς

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

τοὺς Μαθητὰς καὶ τὴν Τεκοῦσάν σε Θεοτόκον, χαρᾶς ἀπείρου πλήσας ἐν τῇ σῇ Ἀναλήψει. καὶ ἡμᾶς ἀξίωσον, τῶν ἐκλεκτῶν σου τῆς χαρᾶς, εὐχαῖς αὐτῶν, διὰ τὸ μέγα σου ἔλεος.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας.

Καὶ εὐθὺς τὰ Ἀναγνώσματα.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. β΄. 2. Τάδε λέγει Κύριος· ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, ἐμφανὲς τὸ ὄρος τοῦ Κυρίου, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων. καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν. καὶ ἥξουσιν ἐπ' αὐτῷ πάντα τὰ Ἔθνη. καὶ πορεύσονται Λαοὶ πολλοί, καὶ ἐροῦσι· δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακὼβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. ξ΄. 2. Τάδε λέγει Κύριος· πορεύεσθε, περιέλθετε διὰ τῶν πυλῶν μου. σκευάσατε τὴν ὁδόν μου, καὶ ὁδοποιήσατε τῷ Λαῷ μου, καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαρρίψατε. ἐξάρατε σύσσημον εἰς τὰ Ἔθνη. ἰδοὺ γὰρ ὁ Κύριος ἐποίησεν ἀκουστὸν ἕως ἐσχάτου τῆς γῆς. εἴπατε τῇ θυγατρὶ Σιών· ἰδοὺ ὁ Σωτήρ σου παραγέγονεν, ἔχων τὸν ἑαυτοῦ μισθὸν μεθ' αὐτοῦ, καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ. Καὶ καλέσει αὐτὸν Λαὸν ἅγιον, λελυτρωμένον ὑπὸ Κυρίου· σὺ δὲ κληθήσῃ ἐπιζητουμένη Πόλις, καὶ οὐκ ἐγκαταλελειμμένη. Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδὼμ, ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ; οὗτος ὡραῖος ἐν στολῇ αὐτοῦ, βοᾷ μετὰ ἰσχύος πολλῆς· Ἐγὼ διαλέγομαι δικαιοσύνην καὶ κρίσιν σωτηρίου. διατί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου, ὡς ἀπὸ πατητοῦ ληνοῦ, πλήρης καταπεπατημένης; ληνὸν ἐπάτησα μονώτατος, καὶ τῶν Ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ' ἐμοῦ. τὸν ἔλεον Κυρίου ἐμνήσθην, τὰς ἀρετὰς Κυρίου ἀναμνήσω, τὴν αἴνεσιν Κυρίου ἐπὶ πᾶσιν, οἷς ἡμῖν ἀνταποδίδωσι. Κύριος κριτὴς ἀγαθὸς τῷ οἴκῳ Ἰσραήλ. ἐπάγει ἡμῖν κατὰ τὸν ἔλεον αὐτοῦ, καὶ κατὰ τὸ πλῆθος τῆς δικαιοσύνης αὐτοῦ. καὶ εἶπεν· οὐχὶ Λαός μου ἐστὲ τέκνα, καὶ οὐ μὴ ἀθετήσωσι; καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν ἐκ πάσης θλίψεως αὐτῶν· οὐ πρέσβυς, οὐδὲ Ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος, ἔσωσεν αὐτοὺς, διὰ τὸ ἀγαπᾷν αὐτοὺς, καὶ φείδεσθαι αὐτῶν. αὐτὸς ἐλυτρώσατο αὐτοὺς, καὶ ἀνέλαβεν αὐτοὺς, καὶ ὑπερύψωσεν αὐτοὺς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος.

Προφητείας Ζαχαρίου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· ἰδοὺ ἡμέρα ἔρχεται Κεφ. α΄. 1.
Κυρίου, καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν, τὸ κατέναντι Ἱερουσαλὴμ, ἐξ ἀνατολῶν Ἡλίου. καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλὴμ, τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην. ἐν θέρει, καὶ ἐν ἔαρι ἔσται οὕτω. καὶ ἔσται Κύριος εἰς Βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ἔσται Κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλοῦν πᾶσαν τὴν γῆν, καὶ τὴν ἔρημον ἀπὸ Γαβαὰ ἕως Ῥεμβὼν, κατὰ Νότον Ἱερουσαλήμ. καὶ ὑψωθήσεται, καὶ ἐπὶ τοῦ τόπου μενεῖ, ἀπὸ τῆς πύλης Βενιαμὶν, ἕως τοῦ τόπου τῆς πύλης τῆς πρώτης, ἕως τῆς πύλης τοῦ Γομὸρ, καὶ ἕως τοῦ πύργου Ἀναμεὴλ, καὶ ἕως τοῦ πύργου τῶν Γωνιῶν, καὶ ἕως τῶν ὑποληνίων τοῦ Βασιλέως. καὶ κατοικήσουσιν ἐν αὐτῇ, καὶ ἀνάθεμα οὐκ ἔτι ἔσται· καὶ κατοικήσει Ἱερουσαλὴμ πεποιθότως.

Εἰς τὴν Λιτὴν, δ΄. Ἰδιόμ. ἦχος, α΄.

Ἀνελθὼν εἰς Οὐρανοὺς, ὅθεν καὶ κατῆλθες, μὴ ἐάσῃς ἡμᾶς ὀρφανοὺς Κύριε. ἐλθέτω σου τὸ Πνεῦμα, φέρον εἰρήνην τῷ Κόσμῳ. δεῖξον τοῖς Υἱοῖς τῶν ἀνθρώπων, ἔργα δυνάμεώς σου, Κύριε φιλάνθρωπε.

Ὁ αὐτός.

Ἀνῆλθες Χριστὲ πρὸς τὸν ἄναρχον Πατέρα σου, ὁ τῶν ἀπεριγράπτων αὐτοῦ κόλπων μὴ χωρισθείς. καὶ προσθήκην αἱ Δυνάμεις, τῇ αἰνέσει τοῦ Τρισαγίου οὐκ ἐδέξαντο. ἀλλ' ἕνα Υἱὸν, καὶ μετὰ τὴν ἐνανθρώπησιν ἐγνώρισάν σε Κύριε, μονογενῆ τοῦ Πατρός. ἐν πλήθει σῶν οἰκτιρμῶν, ἐλέησον ἡμᾶς.

Ὁ αὐτός.

Οἱ Ἄγγελοί σου Κύριε, τοῖς Ἀποστόλοις ἔλεγον· ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν Οὐρανόν; οὗτός ἐστι Χριστὸς ὁ Θεὸς, ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν

εἰς τὸν Οὐρανόν. οὕτως ἐλεύσεται πάλιν, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν Οὐρανόν. λατρεύσατε αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ. Ἦχος, δ΄.

Ὅτε παραγέγονας ἐπὶ τὸ Ὄρος Χριστὲ τῶν ἐλαιῶν, Πατρὸς ἐπιτελέσαι τὴν εὐδοκίαν, ἐξέστησαν οἱ Οὐράνιοι Ἄγγελοι, καὶ ἔφριξαν οἱ καταχθόνιοι. παρίσταντο δὲ οἱ Μαθηταὶ μετὰ χαρᾶς ἔντρομοι, ὡς ἐλάλεις αὐτοῖς. ὡς θρόνος δὲ ἡτοίμαστο ἐξ ἐναντίας νεφέλη προσμένουσα. πύλας δὲ ὁ οὐρανὸς διαπετάσας τῷ κάλλει ἐφαίνετο, καὶ ἡ γῆ τοὺς κρυπτῆρας ἀνακαλύπτει, Ἀδὰμ τὴν κατάβασιν, ὡς γνωσθῆναι, καὶ τὴν αὖθις ἀνάβασιν. ἀλλ᾽ ἴχνη μὲν ὑψοῦτο ὡς χειρὸς, στόμα δὲ μεγάλα ηὐλόγει ὡς ἠκούετο. νεφέλη ὑπελάμβανε, καὶ Οὐρανὸς ἔνδον σε ὑπεδέξατο. ἔργον τοῦτο Κύριε εἰργάσω, μέγα καὶ παράδοξον, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἦχος, ὁ αὐτός.

Τὴν καταβᾶσαν φύσιν τοῦ Ἀδὰμ, εἰς τὰ κατώτερα μέρη τῆς γῆς ὁ Θεὸς, καινοποιήσας σεαυτῷ, ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας, ἀνήγαγες σήμερον. ὡς ἀγαπήσας γὰρ συνεκάθισας, ὡς συμπαθήσας δὲ ἥνωσας σαυτῷ. ὡς ἑνώσας συνέπαθες. ὡς ἀπαθὴς παθὼν καὶ συνεδόξασας. ἀλλ᾽ οἱ Ἀσώματοι, τίς ἐστιν οὗτος ἔλεγον, ὁ ὡραῖος ἀνήρ; ἀλλ᾽ οὐκ ἄνθρωπος μόνον, Θεὸς δὲ καὶ ἄνθρωπος, τὸ συναμφότερον τὸ φαινόμενον. ὅθεν ἔξαλλοι Ἄγγελοι, ἐν στολαῖς περιϊπτάμενοι τῶν Μαθητῶν, οἱ μὲν Ἄγγελοι ἑστῶτες, ἄνδρες ἐβόων Γαλιλαῖοι, ὃς ἀφ᾽ ὑμῶν πεπόρευται, οὗτος Ἰησοῦς ἄνθρωπος Θεός. Θεάνθρωπος πάλιν ἐλεύσεται, Κριτὴς ζώντων καὶ νεκρῶν. πιστοῖς δὲ δωρούμενος ἁμαρτιῶν συγχώρησιν, καὶ τὸ μέγα ἔλεος. Ὁ αὐτός.

Ὅτε ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς, τῶν Μαθητῶν ὁρώντων, αἱ νεφέλαι ὑπελάμβανόν σε μετὰ σαρκός. πύλαι ἐπήρθησαν αἱ οὐράνιαι. ὁ χορὸς τῶν Ἀγγέλων ἔχαιρεν ἐν ἀγαλλιάσει. αἱ ἀνώτεραι Δυνάμεις ἔκραζον λέγουσαι· ἄρατε πύλας οἱ Ἄρχοντες ὑμῶν, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης. οἱ δὲ Μαθηταὶ ἐκπληττόμενοι ἔλεγον· μὴ χωρισθῇς ἡμῶν ὁ ποιμὴν ὁ καλὸς, ἀλλὰ πέμψον ἡμῖν τὸ Πνεῦμά σου τὸ Πανάγιον, τὸ ὁδηγοῦν καὶ στηρίζον τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν, ἦχος, ὁ αὐτός.

Χριστὲ τὸ Μυστήριον τὸ ἀπὸ τῶν αἰώνων κεκρυμμένον, καὶ ἀπὸ γενεῶν πληρώσας ὡς ἀγαθὸς, ἦλθες μετὰ τῶν Μαθητῶν σου ἐν τῷ ὄρει τῶν ἐλαιῶν, ἔχων τὴν Τεκοῦσάν σε τὸν ποιητὴν καὶ πάντων δημιουργόν. τὴν γὰρ ἐν τῷ πάθει σου μητρικῶς πάντων ὑπεραλγήσασαν, ἔδει καὶ τῇ δόξῃ τῆς σαρκός σου, ὑπερβαλλούσης ἀπολαῦσαι χαρᾶς. ἧς καὶ ἡμεῖς μετασχόντες τῇ εἰς Οὐρανοὺς ἀνόδῳ σου Δέσποτα, τὸ μέγα σου ἔλεος, τὸ εἰς ἡμᾶς γεγονὸς δοξάζομεν.

Εἰς τὸν Ν. π. Ἰδιόμελα, ἦχος, β΄.

Ἐτέχθης ὡς αὐτὸς ἠθέλησας, ἐφάνης ὡς αὐτὸς ἠβουλήθης. ἔπαθες σαρκὶ ὁ Θεὸς ἡμῶν. ἐκ νεκρῶν ἀνέστης, πατήσας τὸν θάνατον. ἀνελήφθης ἐν δόξῃ ὁ τὰ σύμπαντα πληρῶν, καὶ ἀπέστειλας ἡμῖν Πνεῦμα Θεῖον, τοῦ ἀνυμνεῖν καὶ δοξάζειν σου τὴν Θεότητα.

Στ. Πάντα τὰ Ἔθνη κροτήσατε χεῖρας.

Ἀναλαμβανομένου σου Χριστὲ, εἰς τὸ ὄρος τῶν ἐλαιῶν, αἱ Δυνάμεις ὁρῶσαι ἑτέρα τῇ ἑτέρᾳ ἐβόων· τίς ἐστιν οὗτος; καί φησι πρὸς αὐτάς· οὗτός ἐστιν ὁ κραταιὸς καὶ δυνάστης, οὗτός ἐστιν ὁ δυνατὸς ἐν πολέμῳ, οὗτος ἐστιν ἀληθῶς ὁ Βασιλεὺς τῆς δόξης. καὶ ἵνα τί αὐτοῦ ἐρυθρὰ τὰ ἱμάτια; ἐκ Βοσὸρ ἥκει, ὅπερ ἐστὶ τῆς σαρκός. αὐτὸς δὲ ὡς Θεὸς, ἐν δεξιᾷ καθίσας τῆς μεγαλωσύνης, ἀπέστειλας ἡμῖν τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα ὁδηγήσῃ, καὶ σώσῃ τὰς ψυχὰς ἡμῶν.

Στ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

Ἀνελήφθης ἐν δόξῃ, ἐν τῷ ὄρει τῶν ἐλαιῶν Χριστὲ ὁ Θεὸς, ἐνώπιον τῶν σῶν Μαθητῶν, καὶ ἐκάθισας ἐν δεξιᾷ τοῦ Πατρὸς, ὁ τὰ σύμπαντα πληρῶν τῇ Θεότητι. καὶ ἀπέστειλας αὐτοῖς Πνεῦμα τὸ ἅγιον, τὸ φωτίζον, καὶ στηρίζον, καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν, ἦχος, πλ. β΄.

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος, τοῦ ἀνυψῶσαι τὴν πεσοῦσαν εἰκόνα τοῦ Ἀδὰμ, καὶ ἀποστεῖ-

λαι

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

λαι Πνεῦμα Παράκλητον, τοῦ ἁγιάσαι τὰς ψυχὰς ἡμῶν.

Τροπάριον, ἦχος δ'.

Ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητὰς τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου Πνεύματος. βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ Κόσμου. Ἐκ γ.

Τὸ αὐτὸ καὶ εἰς τό, Θεὸς Κύριος.

Τῇ Ε'. τῆς Ἀναλήψεως, εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολογίαν, Κάθισμα. ἦχος α'.

Τοῦ λίθου σφραγισθέντος.

Ἀγγέλων θαυμαζόντων, τῆς ἀνόδου τὸ ξένον, καὶ Μαθητῶν ἐκπληττομένων, τὸ φρικτὸν τῆς ἐπάρσεως, ἀνῆλθες μετὰ δόξης ὡς Θεός, καὶ πύλαι σοι ἐπήρθησαν Σωτήρ. διὰ τοῦτο αἱ Δυνάμεις τῶν Οὐρανῶν ἐθαύμαζον βοῶσαι· δόξα τῇ καταβάσει σου Σωτήρ. δόξα τῇ Βασιλείᾳ σου. δόξα τῇ Ἀναλήψει σου μόνε φιλάνθρωπε. Δίς.

Μετὰ τὴν β'. στιχολογίαν, Κάθισμα. ἦχος γ'.

Τὴν ὡραιότητα.

Ὁ Προαιώνιος Θεὸς καὶ ἄναρχος, ἥνπερ ἀνέλαβε φύσιν ἀνθρώπειον, θεοποιήσας μυστικῶς, σήμερον ἀνελήφθη. Ἄγγελοι προτρέχοντες, Ἀποστόλοις ἐδείκνυον, τοῦτον πορευόμενον, εἰς Οὐρανοὺς μετὰ δόξης πολλῆς. αὐτῷ δὲ προσκυνήσαντες ἔλεγον· δόξα Θεῷ τῷ ἀναληφθέντι. Δίς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. ἦχος πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Κατελθὼν οὐρανόθεν εἰς τὰ ἐπίγεια, καὶ τὴν κάτω κειμένην ἐν τῇ τοῦ ᾅδου φρουρᾷ, συναναστήσας ὡς Θεός, Ἀδαμιαίαν μορφήν, τῇ Ἀναλήψει σου Χριστέ, εἰς Οὐρανοὺς ἀναγαγών, τῷ θρόνῳ τῷ Πατρικῷ σου, συγκάθεδρον ἀπειργάσω, ὡς ἐλεήμων καὶ φιλάνθρωπος. Δίς.

Οἱ Ἀναβαθμοί, τὸ α'. Ἀντίφωνον τοῦ δ'. ἤχου.

Προκείμενον, ἦχος δ'.

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος.

Στ. Πάντα τὰ Ἔθνη κροτήσατε χεῖρας.

Πᾶσα πνοή. Εὐαγγέλιον Ἑωθινὸν γ'.

Ἐκ τοῦ κατὰ Μάρκον.

Ἀναστὰς ὁ Ἰησοῦς πρωΐ.

Τό, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν'.

Δόξα, ἦχος [illegible]

Ταῖς τῶν Ἀποστόλων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα, Στ. Ἐλέησόν με ὁ Θεός.

Καὶ ψ. [illegible]

Σήμερον ἐν Οὐρανοῖς αἱ ἄνω Δυνάμεις, τὴν ἡμετέραν φύσιν θεώμεναι, θαυμάζουσαι τοῦ ξένου τρόπου τὴν ἄνοδον, διηπόρουν ἀλλήλαις λέγουσαι· τίς οὗτος ὁ παραγενόμενος; βλέπουσαι δὲ τὸν οἰκεῖον Δεσπότην, τὰς οὐρανίους πύλας αἴρειν διεκελεύοντο. μεθ' ὧν ἀπαύστως ὑμνήσωμεν, τὸν μετὰ σαρκὸς ἐκεῖθεν πάλιν ἐρχόμενον, ὡς Κριτὴν τῶν ἁπάντων, καὶ Θεὸν Παντοδύναμον.

Οἱ Κανόνες, ὁ α'. μετὰ τῶν Εἱρμῶν, εἰς η'. καὶ ὁ β'. εἰς ς'. Ἰωάννου Μοναχοῦ.

Ὠδὴ α'. ἦχος πλ. α'. Ὁ Εἱρμός.

Σωτῆρι Θεῷ, τῷ ἐν θαλάσσῃ Λαὸν ποσὶν ἀβρόχοις ὁδηγήσαντι, καὶ Φαραὼ πανστρατιᾷ καταποντίσαντι, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Ἄσωμεν πάντες Λαοί, τῷ ἐπὶ ὤμων Χερουβὶμ ἀναληφθέντι μετὰ δόξης Χριστῷ, καὶ συγκαθίσαντι ἡμᾶς ἐν δεξιᾷ τοῦ Πατρός, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Τὸν μεσίτην Θεοῦ, καὶ ἀνθρώπων Χριστόν, χοροὶ Ἀγγέλων θεασάμενοι, μετὰ σαρκὸς ἐν ὑψίστοις ἐξεπλήττοντο, συμφώνως δὲ ἀνέμελπον ὕμνον ἐπινίκιον.

Τῷ ὀφθέντι Θεῷ, ἐπὶ τοῦ ὄρους Σινᾶ, καὶ νόμον δόντι τῷ θεόπτῃ Μωσεῖ, τῷ ἐλαιῶν ἐκ τοῦ ὄρους ἀναληφθέντι σαρκί, αὐτῷ πάντες ᾄσωμεν, ὅτι δεδόξασται.

Θεοτοκίον.

Ἄχραντε Μήτηρ Θεοῦ, τὸν σαρκωθέντα ἐκ σοῦ, καὶ ἐκ τῶν κόλπων τοῦ Γεννήτορος, μὴ ἐκφοιτήσαντα, Θεὸν ἀπαύστως πρέσβευε, ἐκ πάσης περιστάσεως, σῶσαι οὓς ἔπλασεν.

Ἕτερος Κανὼν τοῦ Κυρίου Ἰωσήφ. Οὗ ἡ ἀκροστιχίς· Κατὰ Ἀλφάβητον.

Ὠδὴ α'. ἦχος δ'.

Ἀνοίξω τὸ στόμα μου.

Ἀνέστης τριήμερος, ὁ κατὰ φύσιν ἀθάνατος, καὶ ὤφθης τοῖς ἕνδεκα, καὶ πᾶσι τοῖς Μαθηταῖς, καὶ ἀνέδραμες, Χριστὲ

πρὸς

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

πρὸς τὸν Πατέρα, νεφέλῃ ὀχούμενος ὁ τοῦ παντὸς ποιητής.

Βοᾷ ἐμφανέστατα, ψάλλων Δαβὶδ ὁ Θεόπνευστος· ἀνέβη ὁ Κύριος πρὸς τὰ οὐράνια, ἐν ἀλαλαγμῷ, καὶ σάλπιγγος ἠχήσει, καὶ πρὸς τὸν ἀρχίφωτον Πατέρα ἔφθασε.

Γηράσαντα Κύριε, κόσμον πολλοῖς ἁμαρτήμασι, καινίσας τῷ πάθει σου καὶ τῇ ἐγέρσει σου, ἀνελήλυθας, ὀχούμενος νεφέλῃ, πρὸς τὰ Ἐπουράνια, δόξα τῇ δόξῃ σου. Θκ.

Δεσπότην ἐκύησας, πάντων πανάμωμε Δέσποινα, τὸ πάθος ἑκούσιον καταδεξάμενον, καὶ ἀνελθόντα, πρὸς τὸν αὐτοῦ Πατέρα· ὅνπερ οὐ κατέλιπε, κἂν σάρκα εἴληφε.

Καταβασία.

Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ,
Ἐρρητόρευσε τὸν Θεόγραφον νόμον.
Ἰλὺν γὰρ ἐκτινάξας ὄμματος νόου,
Ὁρᾷ τὸν ὄντα, καὶ μυεῖται Πνεύματος,
Γνῶσιν γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν.

ᾨδὴ γ'. Ὁ Εἱρμός.

Δυνάμει τοῦ Σταυροῦ σου Χριστέ, στερέωσόν μου τὴν διάνοιαν, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σου, τὴν σωτήριον Ἀνάληψιν.

Ἀνῆλθες ζωοδότα Χριστέ, πρὸς τὸν Πατέρα καὶ ἀνύψωσας, ἡμῶν τὸ γένος φιλάνθρωπε, τῇ ἀφάτῳ εὐσπλαγχνίᾳ σου.

Αἱ τάξεις τῶν Ἀγγέλων Σωτήρ, βροτείαν φύσιν θεασάμεναι, συνανιοῦσάν σοι ἀπαύστως, ἐκπληττόμεναι ἀνύμνουν σε.

Ἐξίσταντο Ἀγγέλων χοροί, Χριστὲ ὁρῶντες μετὰ σώματος ἀναληφθέντα, καὶ ἀνύμνουν τὴν ἁγίαν σου Ἀνάληψιν,

Ἣν φύσιν τῶν ἀνθρώπων Χριστέ, φθορᾷ πεσοῦσαν ἐξανέστησας, καὶ τῇ ἀνόδῳ σου ὕψωσας, καὶ σαυτῷ ἡμᾶς ἐδόξασας. Θκ.

Ἱκέτευε ἀπαύστως ἁγνή, τὸν προελθόντα ἐκ λαγόνων σου, ῥυσθῆναι πλάνης διαβόλου, τοὺς ὑμνοῦντάς σε Μητέρα Θεοῦ.

Ἄλλος. Τοὺς σοὺς ὑμνολόγους.

Ἐπάρατε πύλας οὐρανίους, ἰδοὺ παραγέγονε Χριστός, ὁ Βασιλεὺς τῆς Κτίσεως, σῶμα φορέσας γήϊνον, ταῖς ἀνωτέραις ἔλεγον, Δυνάμεσιν αἱ κατώτεραι.

Ζητήσας Χριστὲ τὸν πλανηθέντα, ἀπάτῃ τοῦ ὄφεως Ἀδάμ, ὡς τοῦτον ἐνδυσάμενος, ἀνῆλθες καὶ ἐκάθισας, ἐκ δεξιῶν ὡς σύνθρονος, Πατρὸς ὑμνούντων Ἀγγέλων σου.

Ἡ Γῆ ἑορτάζει καὶ χορεύει, ἀγάλλεται καὶ ὁ Οὐρανός, τῇ Ἀναλήψει σήμερον, τοῦ ποιητοῦ τῆς Κτίσεως, τοῦ προφανῶς ἑνώσαντος, τὰ διεστῶτα βουλήματι.

Θεὸς ἐνυπάρχων ἐκ παρθένου, εὐδοκήσας σάρκα προσλαβεῖν, ὑπὲρ ἡμῶν ὡς εὔσπλαγχνος, ἀναλλοιώτως Δέσποτα· μεθ' ἧς ὀλέσας θάνατον, εἰς οὐρανοὺς ἀναβέβηκας.

Καταβασία.

Ἔρρηξε γαστρὸς ἠτεκνωμένης πέδας, Ὕ-
βριν τε δυσκάθεκτον ἀτεκνουμένης,
Μόνη προσευχὴ τῆς Προφήτιδος πάλαι,
Ἄννης φερούσης πνεῦμα συντετριμμένον,
Πρὸς τὸν δυνάστην καὶ Θεὸν τῶν γνώσεων.

Κα. ἦχ. πλ. Τὴν σοφίαν καὶ Λόγον.

Ἐπιβὰς ἐν νεφέλαις τῶν Οὐρανῶν, καταλείψας εἰρήνην τοῖς ἐπὶ γῆς, ἀνῆλθες καὶ ἐκάθισας, τοῦ Πατρὸς δεξιόθεν, ὡς ὁμοούσιος τούτῳ, ὑπάρχων καὶ Πνεύματι. ἐν σαρκὶ γὰρ ὤφθης, ἀλλ' ἄτρεπτος ἔμεινας· ὅθεν ἀναμένεις, συντελείας τὸ πέρας, τοῦ κρῖναι ἐρχόμενος, ἐπὶ γῆς Κόσμον ἅπαντα. δικαιοκρῖτα Κύριε, φεῖσαι τῶν ψυχῶν ἡμῶν, τῶν πταισμάτων ἄφεσιν δωρούμενος, ὡς Θεὸς ἐλεήμων τοῖς δούλοις σου. Δίς.

ᾨδὴ δ'. Ὁ Εἱρμός.

Εἰσακήκοα Κύριε τὴν ἀκοήν, τῆς δυναστείας τοῦ Σταυροῦ σου, ὡς Παράδεισος ἠνοίγη δι' αὐτοῦ, καὶ ἐβόησα· δόξα τῇ δυνάμει σου Κύριε.

Ἀνελήφθης ἐν δόξῃ ὁ τῶν Ἀγγέλων Βασιλεύς, τὸν Παράκλητον ἡμῖν ἐκ τοῦ Πατρὸς ἀποστέλλων. διὸ βοῶμεν· δόξα Χριστὲ τῇ Ἀναλήψει σου.

Ὡς ἀνῆλθεν ὁ Σωτήρ, πρὸς τὸν Πατέρα σαρκί, κατεπλάγησαν αὐτῷ, αἱ τῶν Ἀγγέλων στρατιαί, καὶ ἐβόησαν· δόξα Χριστὲ τῇ Ἀναλήψει σου.

Αἱ τῶν Ἀγγέλων Δυνάμεις, ταῖς ἀνωτέραις ἐβόων· πύλας ἄρατε Χριστῷ, τῷ ἡμετέρῳ Βασιλεῖ· ὃν ἀνυμνοῦμεν, ἅμα σὺν Πατρὶ καὶ τῷ Πνεύματι.

Θεοτοκίον.

Ἡ Παρθένος ἔτεκε, καὶ τῶν Μητέρων οὐκ ἔγνω, ἀλλὰ Μήτηρ μένουσα, Παρθένος δὲ διέμεινεν· ἣν ἀνυμνοῦντες, χαῖρε Θεοτόκε κραυγάζομεν.

Ἄλλος. Ὁ καθήμενος.

Ἰησοῦς ὁ ζωοδότης, προσλαβὼν οὓς ἠγάπησεν, ἐλαιῶν εἰς ὄρος, ἄνεισι δὲ τούτους εὐλόγησε, καὶ τοὺς Πατρῴους νεφέλῃ ἐποχούμενος, κόλπους ἔφθασεν, οὓς οὐδαμῶς καταλέλοιπε.

Κόσμος ὅλος ἑορτάζει, ὁρατὸς δὲ ἀόρατος, ἐν ἀγαλλιάσει. Ἄγγελοι σκιρτῶσι δὲ ἄνθρωποι, δοξολογοῦντες ἀπαύστως τὴν Ἀνάληψιν, τῇ σαρκὶ ἑνωθέντος ἡμῖν ἀγαθότητι.

Λύσας κράτος τοῦ θανάτου, ὡς ἀθάνατος Κύριε, τὴν ἀθανασίαν, πᾶσιν ἐδωρήσω φιλάνθρωπε, καὶ ἀνελήφθης ἐν δόξῃ, καθορώντων σου, τῶν σεπτῶν Μαθητῶν, Ἰησοῦ Παντοδύναμε. Θεοτοκίον.

Μακαρία ἡ κοιλία, σοῦ Παναμώμε γέγονε. τὸν γὰρ τὴν κοιλίαν, ᾍδου παραδόξως κενώσαντα, ἀνερμηνεύτως χωρῆσαι κατηξίωσαι· ὃν ἱκέτευε, σῶσαι ἡμᾶς τοὺς ὑμνοῦντάς σε. Καταβασία.

Ἄναξ ἀνάκτων, οἷος ἐξ οἴου μόνος, Λόγος προελθὼν, Πατρὸς ἐξ ἀναιτίου. Ἰσοσθενὲς σου Πνεῦμα τοῖς Ἀποστόλοις, Νημερτὲς ἐξέπεμψας ὡς εὐεργέτης. Ἄδουσι δόξα τῷ κράτει σου Κύριε.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Ὀρθρίζοντες βοῶμέν σοι Κύριε, σῶσον ἡμᾶς. σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Πληρώσας ἀφροσύνης τὰ σύμπαντα, Ἐλεῆμον, ταῖς ἄνω Δυνάμεσι, μετὰ σαρκὸς ἐπεδήμησας.

Ἀγγέλων αἱ Δυνάμεις αἰρόμενον, σὲ ἰδοῦσαι, τὰς πύλας ἐκραύγαζον, τῷ Βασιλεῖ ἡμῶν ἄρατε.

Ἀπόστολοι ἰδόντες ὑψούμενον, τὸν Σωτῆρα, ἐν τρόμῳ ἐκραύγαζον· τῷ Βασιλεῖ ἡμῶν δόξα σοι. Θεοτοκίον.

Παρθενίαν μετὰ τόκον ὑμνοῦμέν σε, Θεοτόκε. σὺ γὰρ τὸν Θεὸν Λόγον, σαρκὶ τῷ Κόσμῳ ἐκύησας.

Ἄλλος. Ἐξέστη τὰ σύμπαντα.

Νεκρώσας τὸν θάνατον, τῷ σῷ θανάτῳ Κύριε, λαβὼν οὓς ἠγάπησας, ἀνῆλθες, τοῦ ἐλαιῶνος εἰς Ὄρος ἅγιον. κἀκεῖθεν ἀνέδραμες Χριστὲ, πρὸς τὸν σὸν Γεννήτορα, τῇ νεφέλῃ ἐποχούμενος.

Ξένη σου ἡ Γέννησις, ξένη σου ἡ Ἀνάστασις, ξένη δὲ φρικτή σου ζωοδότα, ἡ ἐκ τοῦ Ὄρους θεία Ἀνάληψις. ἣν ἐξακονίζων Ἥλιος, τέθριππος ἀνήρχετο, ἀνυμνῶν σε φιλάνθρωπε.

Ὁρῶσιν ἐφθέγγοντο, τοῖς Ἀποστόλοις Ἄγγελοι, ἄνδρες Γαλιλαῖοι τί θαμβεῖσθε, τῇ Ἀναλήψει τοῦ ζωοδότου Χριστοῦ; οὗτος ἥξει πάλιν ἐπὶ γῆς, κρῖναι Κόσμον ἅπαντα, ὡς Κριτὴς δικαιότατος.

Θεοτοκίον.

Παρθενίαν φυλάξασά σε, μετὰ τὸν τόκον ἄφθορον, ἄνεισι Χριστὸς πρὸς τὸν Πατέρα, Θεογεννήτωρ, ὃν οὐ κατέλιπεν, εἰ καὶ σάρκα εἴληφεν ἐκ σοῦ, ἔννουν τε καὶ ἔμψυχον, διὰ ἔλεος ἄφατον.

Καταβασία.

Λυτήριον κάθαρσιν ἀμπλακημάτων. Πυρίπνοον δέξασθε Πνεύματος δρόσον. Ὦ τέκνα φωτόμορφα τῆς Ἐκκλησίας. Νῦν ἐκ Σιὼν γὰρ ἐξελήλυθε νόμος. Ἡ γλωσσοπυρσόμορφος Πνεύματος χάρις.

Ὠδὴ ϛ'. Ὁ Εἱρμός.

Ἐκύκλωσέ με ἄβυσσος, ταφή μοι τὸ κῆτος ἐγένετο. ἐγὼ δὲ ἐβόησα, πρὸς σὲ τὸν φιλάνθρωπον, καὶ ἔσωσέ με ἡ δεξιά σου Κύριε.

Ἐσκίρτησαν Ἀπόστολοι, ὁρῶντες μετάρσιον σήμερον, τὸν Κτίστην αἰρόμενον, ἐλπίδι τοῦ Πνεύματος, καὶ φόβῳ ἔκραζον· δόξα τῇ ἀνόδῳ σου.

Ἐπέστησαν οἱ Ἄγγελοι, βοῶντες Χριστὲ τοῖς Μαθηταῖς σου· ὃν τρόπον κατίδετε, Χριστὸν ἀνερχόμενον, σαρκὶ ἐλεύσεται, δίκαιος πάντων Κριτής.

Ὡς εἶδόν σε Σωτὴρ ἡμῶν, Δυνάμεις αἱ Οὐράνιαι, εἰς ὕψος αἰρόμενον, σύσσωμον ἐκραύγαζον λέγουσαι· μεγάλη Δέσποτα ἡ φιλανθρωπία σου. Θε.

Βάτον σε ἀκατάφλεκτον, καὶ ὄρος καὶ κλίμακα ἔμψυχον, καὶ πύλην Οὐράνιον, ἀξίως δοξάζομεν, Μαρία ἔνδοξε, ὀρθοδόξων καύχημα.

Ἄλλος. Τὴν θείαν ταύτην.

Ῥανάτωσαν ἡμῖν ἄνωθεν, νεφέλαι εὐφροσύνην αἰώνιον. Χριστὸς νεφέλῃ γὰρ, ὡς Χερουβὶμ ἐποχούμενος, πρὸς τὸν αὐτοῦ Πατέρα ἄνεισι σήμερον.

Σαρ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Σάρκος φανεὶς ὁμοιώματι, τὰ πρώην διεστῶτα συνήγαγες, εἰς ἓν φιλάνθρωπε, καὶ ἀνελήφθης ὁρώντων σου, τῶν Μαθητῶν Οἰκτίρμων, πρὸς τὰ Οὐράνια.

Τί ἐρυθρὰ τὰ ἱμάτια, σαρκὸς τοῦ ἐνωθέντος παχύτητι; ἅγιοι Ἄγγελοι, Χριστὸν ὁρῶντες ἐφθέγγοντο, πάθους τιμίου θεῖα, φέροντα σύμβολα. Θκ.

Ὑμνοῦμέν Κόρη τὴν σύλληψιν, ὑμνοῦμέν σου τὴν ἄρρητον Γέννησιν, δι᾽ ἧς ἐρρύσθημεν, καταφθορᾶς καὶ κακώσεως, καὶ ζοφερᾶς τοῦ ᾅδου, ἄγαν καθείρξεως.

Καταβασία.

Ἱλασμὸς ἡμῖν Χριστὲ καὶ σωτηρία. Ὁ Δεσπότης ἔλαμψας ἐκ τῆς Παρθένου. Ἵν᾽ ὡς Προφήτην θῆρος ἐκ θαλαττίου, Στέρνων Ἰωνᾶν τῆς φθορᾶς διαρπάσῃς. Ὅλον τὸν Ἀδὰμ παγγενῆ πεπτωκότα.

Κοντάκιον Αὐτόμελον. Ἦχος πλ. β΄.

Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς Οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε· Ἐγώ εἰμι μεθ᾽ ὑμῶν, καὶ οὐδεὶς καθ᾽ ὑμῶν.

Ὁ Οἶκος.

Τὰ τῆς γῆς ἐπὶ τῆς γῆς καταλιπόντες, τὰ τῆς τέφρας τῷ χοῒ παραχωροῦντες, δεῦτε ἀνανήψωμεν, καὶ εἰς ὕψος ἐπάρωμεν, ὄμματα καὶ νοήματα. πετάσωμεν τὰς ὄψεις ὁμοῦ καὶ τὰς αἰσθήσεις, ἐπὶ τὰς Οὐρανίους πύλας οἱ θνητοί. νομίσωμεν εἶναι τοῦ Ἐλαιῶνος εἰς Ὄρος, καὶ ἀτενίζειν τῷ λυτρουμένῳ ἐπὶ νεφέλης ἐποχουμένῳ. ἐκεῖθεν γὰρ ὁ Κύριος εἰς Οὐρανοὺς ἀνέδραμεν, ἐκεῖ καὶ ὁ φιλόδωρος τὰς δωρεὰς διένειμε τοῖς Ἀποστόλοις αὐτοῦ, καλέσας ὡς Πατήρ, καὶ στηρίξας αὐτούς. ὁδηγήσας ὡς Υἱούς, καὶ λέξας πρὸς αὐτούς· οὐ χωρίζομαι ὑμῶν. Ἐγώ εἰμι μεθ᾽ ὑμῶν, καὶ οὐδεὶς καθ᾽ ὑμῶν.

Συναξάριον.

Στίχ. Ἐκ δεξιᾶς ἐκάθισας Πατρικῆς Λόγε. Πίστιν Μαθηταῖς βεβαιοτέραν δείξας.

Τῇ αὐτῇ ἡμέρᾳ Πέμπτῃ τῆς ἕκτης Ἑβδομάδος μετὰ τὸ Πάσχα, τὴν Ἀνάληψιν ἑορτάζομεν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐπειδὴ γὰρ τοῖς Μαθηταῖς συνὼν πρὸ τοῦ παθεῖν, τὴν τοῦ Παναγίου Πνεύματος ἐπηγγείλατο παρουσίαν, εἰπών· Συμφέρει, ἵνα ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται. καὶ πάλιν. Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, διδάξει ὑμᾶς πᾶσαν τὴν ἀλήθειαν. Μετὰ τὸ ἐκ νεκρῶν ἀναστῆναι, ἐν ἡμέραις τεσσαράκοντα αὐτοῖς ὀπτανόμενος, οὐκ ἀεί, ἀλλ᾽ ἐκ διαλειμμάτων, συνεσθίων τε αὐτοῖς καὶ πίνων, βεβαιοτέραν τὴν Ἀνάστασιν παριστῶν. Τὸ τελευταῖον πολλὰ περὶ τῆς τοῦ Θεοῦ Βασιλείας ἐπαγγειλάμενος, παρήγγειλε τούτοις ἀπὸ Ἱερουσαλὴμ μὴ χωρίζεσθαι, ἀλλ᾽ ἐκεῖσε μένοντας τὴν τοῦ Παναγίου Πνεύματος παρουσίαν ἐκδέχεσθαι, βαπτισθησομένους καὶ δι᾽ αὐτοῦ. Ἐν ὕδατι γὰρ καὶ μόνῳ ἦσαν βαπτισθέντες τὸ πρότερον ὑπὸ Ἰωάννου, (κἂν ἐσύστερον ὁ Ἐπιφάνιος Κύπρου ἱστόρησεν, ὅτι ὁ μὲν Θεολόγος Ἰωάννης τὴν Θεοτόκον βαπτίζει. ὁ Πέτρος δέ, καὶ αὐτὸς πάλιν τοὺς τῶν Ἀποστόλων λοιπούς.) παρήγγειλε δὲ αὐτοῖς μένειν εἰς Ἱερουσαλήμ, ἵνα ἐκεῖσε πρῶτον τὸ Κήρυγμα τοῦ Εὐαγγελίου βεβαιωθῇ, μήπως εἰς ἀλλοτρίους ἀπιόντες τόπους, ἀχρεῶς διαβάλλοιντο. καὶ ὅτι ἔδει καθάπερ εὐτίμους στρατιώτας ἐντεῦθεν παρασκευασθῆναι τοῖς ὅπλοις τοῦ Πνεύματος, καὶ οὕτως εἰς μάχην χωρῆσαι τοῖς ἐχθροῖς τοῦ Χριστοῦ. Ἐπεὶ δ᾽ ὁ καιρὸς ἐπέστη τῆς Ἀναλήψεως, ἐξάγει μὲν αὐτοὺς ἐπὶ τὸ Ὄρος τῶν Ἐλαιῶν (καλεῖται δὲ οὕτως, ὅτι πλείσταις ἐλαίαις κατάφυτον ἦν) καὶ διαλεγόμενος αὐτοῖς περὶ τῆς εἰς τὰ πέρατα αὐτοῦ ἀνακηρύξεως· ἔτι δὲ καὶ περὶ τῆς ἀκαταλύτου αὐτοῦ Βασιλείας, τῆς ἐν τῷ μέλλοντι. ἐπειδὴ κἀκείνους τὰ δέοντα ἐρωτᾶν μέλλοντας ἑώρα (παρούσης ἐκεῖσε καὶ τῆς ἀχράντου αὐτοῦ Μητρὸς) ἐφίστησιν Ἀγγέλους αὐτοῖς, τὴν εἰς Οὐρανοὺς ἄνοδον ὑποδείξοντας. Καὶ δὴ βλεπόντων, ἐπήρθη ἐκ τοῦ μέσου αὐτῶν, νεφέλης ἐκεῖνον ὑπολαβούσης. καὶ οὕτως ὑπὸ τῶν Ἀγγέλων παραπεμπόμενος, διακελευομένων ἀλλήλοις τὴν τῶν Οὐρανίων θυρῶν ἔπαρσιν, καὶ καταπληττομένων τὸ ἐξ αἱμάτων τῆς σαρκὸς αὐτοῦ ἐρυθρόν. Ἀνέβη καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Πατρός, θεώσας τὴν σάρκα, καὶ θαρρῶ λέγειν, ποιήσας

ταύ-

ταύτην ὁμόθεον, δι᾽ ἧς ἡμεῖς κατηλλάγημεν, τῆς ἀρχαίας ἔχθρας διαλυθείσης. Τοῖς μέντοι Ἀποστόλοις Ἄγγελοι ἐν εἴδει ἀνδρῶν ἐπέστησαν λέγοντες· Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε καταπληττόμενοι, καὶ εἰς Οὐρανὸν ἀτενίζοντες; οὗτος, ὃν βλέπετε μετὰ σαρκὸς Θεὸν τὸν Ἰησοῦν, οὕτως ἐλεύσεται πάλιν, μετὰ σαρκὸς δηλαδὴ, πλὴν οὐχ ὡς πρότερον πενιχρῶς τε καὶ ἡσυχῇ, ἀλλὰ μετὰ δόξης μεγάλης, καθὼς νῦν ὁρᾶτε ὑπὸ Ἀγγέλων παραπεμπόμενον. Τότε οἱ Ἀπόστολοι τῷ ἀτενίζειν ἀποκαμόντες, ὑπέστρεψαν ἀπὸ τοῦ Ὄρους τῶν Ἐλαιῶν (ἔγγιστα δὲ τοῦτο ἐστὶ τῆς Ἱερουσαλὴμ, δισχιλίοις τεσσαράκοντα ποδῶν βήμασι διέχον αὐτῆς.) τοῦτο γάρ ἐστιν ἡ τοῦ Σαββάτου ὁδός. οὕτω δὲ νενομοθέτηται τῷ Μωϋσῇ, ἐπὶ τοσούτοις βήμασι τῷ Σαββάτῳ περιπατεῖν. ὅτι περ καὶ ἡ σκηνὴ τοῦ μαρτυρίου, τοσούτοις βήμασι ποδῶν ὑπῆρχεν ἀφισταμένη τῆς τῶν Ἰουδαίων παρεμβολῆς. Ἔξω γὰρ ἐκεῖσε καὶ ἐν Σαββάτῳ ἀπιέναι τινὰς προσκυνήσοντας, καὶ μὴ πλέον τὴν πορείαν ἐκτείνειν. διὰ τοῦτο ἐκλήθη καὶ Σαββάτου ὁδός. Δοκεῖ δέ τισιν ἐντεῦθεν, ὅτι καὶ ἡ τοῦ Χριστοῦ Ἀνάληψις, ἐν Σαββάτῳ ἐγένετο. ὅπερ τέως ἀπίθανον. Ὑποστρέψαντες δὲ οἱ Ἀπόστολοι, ἀνέβησαν ἐν τῷ ὑπερῴῳ, ἐν ᾧ ἦσαν καταμένοντες, σὺν ταῖς Μυροφόροις Γυναιξὶ, καὶ τῇ τοῦ Λόγου Μητρὶ, νηστείᾳ, καὶ προσευχῇ, καὶ δεήσει σχολάζοντες, καὶ τὴν ἐπιφοίτησιν τοῦ Παναγίου Πνεύματος ἐκδεχόμενοι, ὡς ἡ ὑπόσχεσις. Ὁ ἀναληφθεὶς ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Ἐν καμίνῳ πυρὸς, τοὺς ὑμνολόγους σώσας Παῖδας, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἐν Νεφέλῃ φωτὸς, ἀναληφθεὶς καὶ σώσας Κόσμον, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἐπὶ τῶν ὤμων Χριστὲ, τὴν πλανηθεῖσαν ἄρας φύσιν, ἀναληφθεὶς, τῷ Θεῷ καὶ Πατρὶ προσήγαγες.

Ἀνελθὼν ἐν σαρκὶ, πρὸς τὸν ἀσώματον Πατέρα, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τὴν νεκρωθεῖσαν ἡμῶν, τῇ ἁμαρτίᾳ φύσιν ἄρας, τῷ σῷ ἰδίῳ Πατρὶ, Σῶτερ προσήγαγες.

Θεοτοκίον.

Ἐκ Παρθένου τεχθεὶς, τὴν Θεοτόκον ἀπειργάσω, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Οὐκ ἐλάτρευσαν.

Φωτεινή σε, φῶς ὑπάρχοντα, ὑπέλαβε νεφέλη Χριστὲ, ἀπὸ τῆς γῆς ὑπὲρ νοῦν, ἀναλαμβανόμενον· καὶ Ἐπουράνιοι, δῆμοι ἤνεσαν, σὺν Ἀποστόλοις λέγοντες· ὁ Θεὸς εὐλογητὸς εἶ.

Χεῖρας ἅπαντες, γηθόμενοι κροτήσωμεν, τῇ Ἀναλήψει Χριστοῦ, καὶ ἀλαλάξωμεν· ἀνέβη ὁ Κύριος, ἐν φωνῇ σάλπιγγος, καὶ ἐκάθισεν, ἐκ δεξιῶν ὡς σύνθρονος, τοῦ Πατρὸς εἰς τοὺς αἰῶνας.

Ψάλλων πάλαι, Μωϋσῆς ὁ μέγας ἔκραζε· προσκυνησάτωσαν, ἀνερχομένῳ Χριστῷ, οὐράνιοι Ἄγγελοι, ὡς τοῦ παντὸς Βασιλεῖ, ᾧ κραυγάζομεν· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ὢ θαυμάτων παραδόξων, πῶς ἐχώρησας Θεὸν ἀχώρητον, Θεοχαρίτωτε; τὸν σάρκα πτωχεύσαντα, καὶ μετὰ δόξης πολλῆς, εἰς οὐράνια, ἀναληφθέντα σήμερον, καὶ ζωώσαντα ἀνθρώπους.

Καταβασία.

Σύμφωνον ἐθρόνησεν ὀργάνων μέλος. Σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας. Ἡ τοῦ Παρακλήτου δὲ φωσφόρος χάρις, Σεβασμιάζει τοῦ βοᾶν· Τριὰς μόνη, Ἰσοσθενὴς, ἄναρχε, εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων, γεννηθέντα Υἱὸν καὶ Θεὸν, καὶ ἐπ᾽ ἐσχάτων τῶν χρόνων, σαρκωθέντα ἐκ Παρθένου Μητρὸς, Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐν δυσὶ ταῖς οὐσίαις, ἀναπτάντα ζωοδότην Χριστὸν, εἰς Οὐρανοὺς μετὰ δόξης, καὶ Πατρὶ συγκαθεζόμενον, Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐκ δουλείας τὴν Κτίσιν, τῶν εἰδώλων λυτρωσάμενον, καὶ παραστήσαντα ταύτην, ἐλευθέραν τῷ ἰδίῳ Πατρὶ, σὲ

Σω-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Σωτὴρ ὑμνοῦμεν, καὶ σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν τῇ αὐτοῦ καταβάσει, καθελόντα τὸν ἀντίπαλον, καὶ τῇ αὐτοῦ ἀναβάσει, ἀνυψώσαντα τὸν ἄνθρωπον, Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Τῶν Χερουβὶμ ὑπερτέρα, ἀνεδείχθης Θεοτόκε Ἁγνή, ἐν τῇ γαστρί σου τὸν τούτοις, ἐποχούμενον βαστάσασα, ὃν σὺν Ἀσωμάτοις, βροτοὶ δοξολογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Παῖδας εὐαγεῖς.

Ἔφθησαν οἱ Νόες Ἀποστόλοις, ἐν τῇ Ἀναλήψει καὶ ἐφθέγγοντο. τί ἐνατενίζοντες, ἵστασθε θαμβούμενοι; οὗτος ὁ ἀνερχόμενος εἰς τὰ οὐράνια, ἐλεύσεται καὶ πάλιν τοῦ κρῖναι, τοὺς ἐν γῇ ἀνθρώπους, Κριτὴς ὑπάρχων μόνος.

Ἄσωμεν τῷ Θεῷ μεγαλωσύνην, αἰνέσεως συμφωνίᾳ ἀλαλάξωμεν· ἄσωμεν χορεύσωμεν, χεῖράς τε κροτήσωμεν. ἀνέβη ὁ Θεὸς ἡμῶν, εἰς Οὐρανοὺς ἀπὸ γῆς, Ἀγγέλων Ἀρχαγγέλων ὑμνούντων, τοῦτον ὡς Δεσπότην, καὶ Ποιητὴν τῶν ὅλων.

Ἤρθη ὑπεράνω τῶν Ἀγγέλων, ἡ φύσις ἡμῶν ἡ πάλαι ἔκπτωτος· καὶ θρόνῳ ἐνίδρυται, θείῳ ὑπὲρ ἔννοιαν. δεῦτε πανηγυρίσωμεν, καὶ ἀνακράξωμεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἰδοὺ ὁ Υἱός σου Θεοτόκε, σκυλεύσας Σταυρῷ αὐτοῦ τὸν θάνατον, ἀνέστη τριήμερος, καὶ τοῖς Μαθηταῖς αὐτοῦ, ἐμφανισθεὶς ἀνέδραμε, πρὸς τὰ οὐράνια. μεθ' οὗ σε προσκυνοῦντες ὑμνοῦμεν, καὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία.

Λύει τὰ δεσμά, καὶ δροσίζει τὴν φλόγα, Ὁ τρισσοφεγγὴς τῆς Θεαρχίας τύπος. Ὑμνοῦσι Παῖδες, εὐλογεῖ δὲ τὸν μόνον, Σωτῆρα καὶ παντουργὸν ὡς εὐεργέτην, Ἡ δημιουργηθεῖσα σύμπασα Κτίσις.

Ὠδὴ, θ'. Ὁ Εἱρμός.

Σὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον Μητέρα Θεοῦ, τὴν ἐν χρόνῳ τὸν Ἄχρονον, ἀφράστως κυήσασαν, οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν.

Σὲ τὸν Λυτρωτὴν τοῦ Κόσμου Χριστὸν τὸν Θεόν, οἱ Ἀπόστολοι βλέποντες, ἐνθέως ὑψούμενον, μετὰ δέους σκιρτῶντες ἐμεγάλυνον.

Σοῦ τὴν θεωθεῖσαν σάρκα ὁρῶντες Χριστέ, ἐν τῷ ὕψει οἱ Ἄγγελοι, ἀλλήλοις διένευον· ἀληθῶς οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν.

Σὲ τῶν Ἀσωμάτων τάξεις Χριστὲ ὁ Θεός, ἐν νεφέλαις αἰρόμενον, ἰδοῦσαι ἐκραύγαζον· τῷ τῆς δόξης Βασιλεῖ πύλας ἄρατε.

Σὲ τὸν καταβάντα ἕως ἐσχάτου τῆς γῆς, καὶ τὸν ἄνθρωπον σώσαντα, καὶ τῇ ἀναβάσει σου ἀνυψώσαντα, τοῦτον μεγαλύνομεν.

Θεοτοκίον.

Χαῖρε Θεοτόκε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ· ὃν ἐκύησας σήμερον, ἐκ γῆς ἀνιπτάμενον, σὺν Ἀγγέλοις ὁρῶσα ἐμεγάλυνες.

Ἄλλος. Ἅπας γηγενής.

Μεγαλυνάριον.

Ἄγγελοι τὴν ἄνοδον τοῦ Δεσπότου, ὁρῶντες ἐξεπλήττοντο, πῶς μετὰ δόξης ἐπήρθη, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Ὢ τῶν δωρεῶν, τῶν ὑπὲρ κατάληψιν, ὢ μυστηρίου φρικτοῦ. πάντων ὁ Δεσπόζων γάρ, ἐκ γῆς ἀπαίρων πρὸς τὰ οὐράνια, τοῖς Μαθηταῖς ἀπέστειλε, Πνεῦμα τὸ Ἅγιον, τὸ φωτίσαν τούτων τὴν διάνοιαν, καὶ πυρίνους τελέσαν ἐν χάριτι.

Ἄγγελοι τὴν ἄνοδον.

Στίφη Μαθητῶν, ὁ Κύριος ἔφησεν, ὑμεῖς καθίσατε, εἰς Ἱεροσόλυμα, κἀγὼ ἐκπέμψω ὑμῖν Παράκλητον, ἄλλον Πατρὶ τὸν σύνθρονον, κἀμοῦ ὁμότιμον, ὡς ὁρᾶτε ἀναλαμβανόμενον, καὶ νεφέλῃ φωτὸς ἐποχούμενον.

Ἄγγελοι τὴν ἄνοδον.

Ἤρθη ἐμφανῶς, ἡ μεγαλοπρέπεια, ἄνωθεν τῶν Οὐρανῶν, τοῦ σαρκὶ πτωχεύσαντος, καὶ συνεδρίᾳ Πατρὸς τετίμηται, φύσις ἡμῶν ἡ ἔκπτωτος, πανηγυρίσωμεν, καὶ συμφώνως πάντες ἀλαλάξωμεν, καὶ κροτήσωμεν χεῖρας γηθόμενοι.

Θεοτοκίον.

Φῶς τὸ ἐκ φωτός, ἐκλάμψαν Πανάμωμε, ἐκ σοῦ ἀνέτειλε, καὶ τὴν ἀμαυρότητα, τῆς ἀθείας πᾶσαν διέλυσε, καὶ τοὺς διὰ νυκτὶ καθεύδοντας ἐφωταγώγησε.



Δημόσια Κεντρική Βιβλιοθήκη

τοῦτο πάντες καταχρέως σε, εἰς αἰῶνας ἀεὶ μακαρίζομεν. Καταβασία.

» Χαίροις Ἄνασσα Μητροπάρθενον κλέος.
» Ἅπαν γὰρ δύσμητον εὔλαλον στόμα,
» Ῥητρεῦον οὐ σθένει σε μέλπειν ἀξίως. Ἰ-
» λιγγιᾷ δὲ νοῦς, ἅπας σου τὸν τόκον Νοεῖν.
» ὅθεν σε συμφώνως δοξάζομεν.

Ἐξαποστειλάριον. Αὐτόμελον.

Ὁρώντων σε Μαθητῶν ὁρώντων σε ἀνελήφθης, Χριστὲ πρὸς τὸν Πατέρα συνεδριάζων. Ἄγγελοι προτρέχοντες ἐκραύγαζον· ἄρατε πύλας ἄρατε, ὁ Βασιλεὺς γὰρ ἀνῆλθε, πρὸς τὴν ἀρχίφωτον δόξαν.

Ἐν τῷ τέλει.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στ. δ'. καὶ ψάλλομεν στ. Προσόμοια, ἦχος, α'.

Τῶν οὐρανίων Ταγμάτων.

Ἀγγελικῶς οἱ ἐν Κόσμῳ, πανηγυρίσωμεν, τῷ ἐπὶ Θρόνου δόξης, Θεῷ ἐποχουμένῳ, κραυγάζοντες τὸν ὕμνον· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ οὐράνιος, ὁ συναΐδιος Λόγος, Ἅγιος εἶ, καὶ τὸ Πνεῦμα τὸ Πανάγιον.

Οἱ ἀρχηγοὶ τῶν Ἀγγέλων, καταμαθόντες Σωτήρ, τὸ τῆς ἀνόδου ξένον, διηπόρουν ἀλλήλοις. τίς ἡ θέα αὕτη; ἄνθρωπος μὲν, τῇ μορφῇ ὁ ὁρώμενος, ὡς δὲ Θεὸς ὑπεράνω τῶν Οὐρανῶν, μετὰ σώματος ἀνέρχεται.

Οἱ Γαλιλαῖοι ὁρῶντες, ἀναληφθέντα σε, ἀπὸ τοῦ Ἐλαιῶνος, μετὰ σώματος Λόγε· ἤκουον Ἀγγέλων, βοώντων αὐτοῖς· τί ἑστήκατε βλέποντες; οὕτως ἐλεύσεται πάλιν μετὰ σαρκὸς, καθ' ὃν τρόπον ἐθεάσασθε.

Δευτεροῦντες τὸ, α'.

Δόξα, καὶ νῦν, ἦχος, β'.

Ἐτέχθης ὡς αὐτὸς ἠθέλησας, ἐφάνης ὡς αὐτὸς ἠβουλήθης. ἔπαθες σαρκὶ ὁ Θεὸς ἡμῶν. ἐκ νεκρῶν ἀνέστης, πατήσας τὸν θάνατον. ἀνελήφθης ἐν δόξῃ, ὁ τὰ σύμπαντα πληρῶν. καὶ ἀπέστειλας ἡμῖν Πνεῦμα Θεῖον, τοῦ ἀνυμνεῖν καὶ δοξάζειν σου τὴν Θεότητα.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, ψάλλομεν τὰ παρόντα Ἀντίφωνα.

Ἀντίφωνον, Α'. ἦχος, β'.

Στ. α'. Πάντα τὰ Ἔθνη κροτήσατε χεῖρας.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στ. β'. Ὅτι Κύριος ὕψιστος, φοβερὸς Βασιλεύς.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στ. γ'. Ὑπέταξε Λαοὺς ἡμῖν καὶ Ἔθνη.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Δόξα, καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἀντίφωνον, Β'. ἦχος, β'.

Στ. α'. Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τοὺς Οὐρανοὺς, ψάλλοντάς σοι. Ἀλληλούϊα.

Στ. β'. Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ.

Στ. γ'. Ὅτι ἰδοὺ οἱ Βασιλεῖς τῆς γῆς.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ.

Δόξα, καὶ νῦν, ἦχος, πλ. β'.

Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος.

Ἀντίφωνον, Γ'. ἦχος, δ'.

Στ. α'. Ἀκούσατε ταῦτα πάντα τὰ Ἔθνη.

Ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητὰς, τῇ ἐπαγγελίᾳ τοῦ Ἁγίου Πνεύματος, βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ Κόσμου.

Στ. β'. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Ἀνελήφθης ἐν δόξῃ.

Στ. γ'. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.

Ἀνελήφθης ἐν δόξῃ.

Εἰσοδικόν. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος, ἐν φωνῇ σάλπιγγος.

Ἀνελήφθης ἐν δόξῃ.

Δόξα, καὶ νῦν. Τὸ Κοντάκιον.

Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς Οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε· ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

Τρισάγιον. Προκείμενον τοῦ Ἀποστόλου ἦχος, βαρύς.

Ὑψώθητι ἐπὶ τοὺς Οὐρανοὺς ὁ Θεός.

Στ. Ἑτοίμη ἡ καρδία μου ὁ Θεός.

Ὁ Ἀπόστολος. Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων ὦ Θεόφιλε.

Τέλος. Σαββάτου ἔχον ὁδόν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοτική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

Ἀλληλούϊα, ἦχος, β'.

Πάντα τὰ Ἔθνη κροτήσατε χεῖρας.

Στ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.

Ἑωθινὸν, ς'.

Τῷ καιρῷ ἐκείνῳ ἀναστὰς ὁ Ἰησοῦς.

Κοινωνικόν. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.

Ἀλληλούϊα.

Τῇ Πέμπτῃ τῆς Ἀναλήψεως Ἑσπέρας, Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στιχ. Ἰδιόμελα, τῆς Ἑορτῆς, γ'. καὶ τοῦ Μηναίου, γ'. τῆς Ἑορτῆς.

Ἦχος, α'.

Ἀνελθὼν εἰς Οὐρανοὺς, ὅθεν καὶ κατῆλθες, μὴ ἐάσῃς ἡμᾶς ὀρφανοὺς Κύριε. ἐλθέτω σου τὸ Πνεῦμα, φέρον εἰρήνην τῷ Κόσμῳ. δεῖξον τοῖς Υἱοῖς τῶν ἀνθρώπων, ἔργα δυνάμεώς σου, Κύριε φιλάνθρωπε.

Ὁ αὐτός.

Ἀνῆλθες Χριστὲ πρὸς τὸν ἄναρχον Πατέρα σου, ὁ τῶν ἀπεριγράπτων αὐτοῦ κόλπων μὴ χωρισθείς. καὶ προσθήκην αἱ Δυνάμεις τῇ αἰνέσει τοῦ Τρισαγίου οὐκ ἐδέξαντο· ἀλλ' ἕνα Υἱὸν, καὶ μετὰ τὴν ἐνανθρώπησιν ἐγνώρισάν σε Κύριε, μονογενῆ τοῦ Πατρὸς, ἐν πλήθει σῶν οἰκτιρμῶν, ἐλέησον ἡμᾶς.

Ὁ αὐτός.

Οἱ Ἄγγελοί σου Κύριε, τοῖς Ἀποστόλοις ἔλεγον· ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν Οὐρανόν; οὗτός ἐστι Χριστὸς ὁ Θεὸς, ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν Οὐρανόν. οὕτως ἐλεύσεται πάλιν, ὃν τρόπον ἐθεάσασθε αὐτὸν, πορευόμενον εἰς τὸν Οὐρανόν. λατρεύσατε αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ.

Καὶ τοῦ Μηναίου, γ'.

Δόξα, καὶ νῦν. ἦχος, β'.

Ἐτέχθης ὡς αὐτὸς ἠθέλησας, ἐφάνης ὡς αὐτὸς ἐβουλήθης. ἔπαθες σαρκὶ ὁ Θεὸς ἡμῶν. ἐκ νεκρῶν ἀνέστης, πατήσας τὸν θάνατον. ἀνελήφθης ἐν δόξῃ, ὁ τὰ σύμπαντα πληρῶν. καὶ ἀπέστειλας ἡμῖν Πνεῦμα θεῖον, τοῦ ἀνυμνεῖν καὶ δοξάζειν σου τὴν Θεότητα.

Εἴσοδος, τὸ, Φῶς ἱλαρόν.

Προκείμενον, ἦχος, βαρύς.

Ὁ Θεὸς ἡμῶν ἐν τῷ Οὐρανῷ, καὶ ἐν τῇ γῇ.

Στ. α'. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου.

Στ. β'. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν.

Στ. γ'. Τί σοι ἐστὶ θάλασσα ὅτι ἔφυγες;

Εἰς τὸν στίχ. στιχηρ. ἦχος, β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ἔφη ὁ τὰ σύμπαντα πληρῶν, πρὸς τοὺς Μαθητὰς ἐν τῷ ὄρει, τῶν Ἐλαιῶν ἀνελθών· ἤγγικεν ὦ φίλοι μου, ὁ τῆς ἀνόδου καιρός· πορευθέντες διδάξατε, τὰ Ἔθνη τὸν λόγον, ὅνπερ ἀκηκόατε, ἐκ τῆς φωνῆς τῆς ἐμῆς. τότε, ἀνελήφθη ἐν δόξῃ, ὥσπερ ἐπ' ὀχήματος. ὅθεν, τρόμῳ οἱ Ἀπόστολοι ἐξίσταντο.

Στ. Πάντα τὰ Ἔθνη.

Ὅτε τῇ Μητρὶ σου Μαθηταῖς, συνοδοιποροῦσιν ἀλλήλοις, εἰς Βηθανίαν Χριστὲ, ὕψωσας τὰς χεῖράς σου, εἰς εὐλογίαν αὐτῶν· καὶ ἐν τῷ εὐλογεῖν αὐτοὺς, νεφέλη φωτός σε, ἐκ τῶν ὀφθαλμῶν αὐτῶν, εὐθὺς ἀνέλαβε· τότε, ἀνελήφθης ἐν δόξῃ, καὶ δεξιοκάθεδρος ὄντως, ὤφθης τῷ Πατρὶ συμπροσκυνούμενος.

Στ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

Δεῦτε συνανέλθωμεν Πιστοὶ, ἐπὶ τὸ μετέωρον Ὄρος, τῶν Ἐλαιῶν, καὶ ἐκεῖ, ὥσπερ οἱ Ἀπόστολοι, συναπερχόμενοι, καὶ εἰς ὕψος ἐπάραντες, καρδίας καὶ φρένας, ἴδωμεν τὸν Κύριον, νῦν ἐποχούμενον. ὅθεν, καὶ ἡμεῖς εὐχαρίστως, χαίροντες βοήσωμεν· δόξα, τῇ σῇ Ἀναλήψει Πολυέλεε.

Δόξα, καὶ νῦν, ἦχος, πλ. β'.

Ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, θεωροῦντές σου τὰς ὑψώσεις Χριστὲ, τὸ ἀπαύγασμα τῆς δόξης τοῦ Πατρὸς, ἀνυμνοῦμέν σου τὴν φωτοειδῆ τοῦ προσώπου μορφήν, προσκυνοῦμέν σου τὰ παθήματα, τιμῶμεν τὴν Ἀνάστασιν, τὴν ἔνδοξον Ἀνάληψιν δοξάζοντες, ἐλέησον ἡμᾶς.

Ἀπολυτίκιον τῆς Ἑορτῆς, καὶ Ἀπόλυσις.

Τῇ Παρασκευῇ τῆς Ἀναλήψεως εἰς τὸν Ὄρθρον. Θεὸς Κύριος. τὸ Ἀπολυτίκιον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας Μανούσειος

Μετὰ τὴν α΄. Στιχολ. Κάθ. Ἦχος, πλ. δ΄.

Τὸ προσταχθὲν μυστικῶς.

Ἐπὶ τοῦ ὄρους ἀνελθὼν τοῦ Ἐλαιῶνος, ὁ ἐλεήμων Ἰησοῦς, αὐτόθεν ἤρθης. φωτεινὴ γὰρ νεφέλη ἐκ γῆς σε ὑπέλαβεν, ὁρώντων τῶν Μαθητῶν σου θαῦμα φρικτόν, βοώντων τῶν Ἀσωμάτων ἐν Οὐρανοῖς· φόβῳ πύλαι ἐπάρθητε, ταῖς ἀνωτέραις στρατιαῖς· μεθ' ὧν σε Βασιλέα ὑμνεῖ, πᾶσα Κτίσις, τὸν πάντων Θεόν.

Δόξα, καὶ νῦν, τὸ αὐτό.

Μετὰ τὴν β΄. Στιχολ. Κάθ. Ἦχος, πλ. δ΄.

Τὴν σοφίαν καὶ Λόγον.

Ἐπιβὰς ἐν νεφέλαις τῶν Οὐρανῶν, καταλείψας εἰρήνην τοῖς ἐπὶ γῆς, ἀνῆλθες καὶ ἐκάθισας, τοῦ Πατρὸς δεξιόθεν, ὡς ὁμοούσιος τούτῳ, ὑπάρχων καὶ Πνεύματι. ἐν σαρκὶ γὰρ ὤφθης, ἀλλ' ἄτρεπτος ἔμεινας. ὅθεν ἀναμένεις, συντελείας τὸ πέρας, τοῦ κρῖναι ἐρχόμενος, ἐπὶ γῆς Κόσμον ἅπαντα. δικαιοκρίτα Κύριε, φεῖσαι τῶν ψυχῶν ἡμῶν, τῶν πταισμάτων ἄφεσιν δωρούμενος, ὡς Θεὸς ἐλεήμων τοῖς δούλοις σου. Δίς.

Ὁ Ν΄. Οἱ Κανόνες τῆς Ἑορτῆς, ὁ π. α΄. μετὰ τῶν Εἱρμῶν, εἰς η΄. Καὶ τοῦ Μηναίου, εἰς δ΄. Κοντάκιον, καὶ Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Εἰς τὸν ά. τῶν Αἴνων. π. Ἦχος, β΄.

Οἶκος τοῦ Εὐφραθᾶ.

Θαῦμα καινοπρεπές. ἡ βρότειος γὰρ φύσις, εἰς Οὐρανοὺς ἀνῆλθεν, ἡ ἑνωθεῖσα Λόγῳ, Θεῷ τῷ Παντοκράτορι.

Στ. Πάντα τὰ Ἔθνη κροτήσατε.

Ἔλαμψεν ἡ φαιδρά, καὶ πάμφωτος ἡμέρα, τῆς τοῦ Δεσπότου θείας, εἰς Οὐρανοὺς ἀνόδου, λαμπρύνουσα τὰ σύμπαντα.

Στ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

Ὥσπερ τοῖς Μαθηταῖς, ἀπέστειλας ἐξ ὕψους, τὸ συμφυές σου Πνεῦμα, καὶ τῷ Λαῷ σου πέμψον, Χριστὲ Σωτὴρ τὴν χάριν σου.

Δόξα, καὶ νῦν, Ἦχος, πλ. α΄.

Κύριε ἀναλαμβανομένου σου ὅθεν οὐκ ἐχωρίσθης, αἱ στρατιαὶ τῶν Ἀγγέλων, καὶ πάντων τῶν Ἀσωμάτων, ἐν ἀγαλλιάσει ἐβόων, ταῖς ἀνωτέραις Δυνάμεσιν· ἄρατε πύλας οἱ Ἄρχοντες ὑμῶν, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης. ὁ γὰρ θρόνος ὁ Χερουβικὸς ἀνέλαβέ σε μετὰ σαρκός, Κύριε δόξα σοι.

Τῇ Παρασκευῇ τῆς Ἀναλήψεως Ἑσπέρας. Εἰς τό, Κύριε ἐκέκραξα, Στιχ. Προσόμοια τῆς Ἑορτῆς, γ΄. καὶ τοῦ Μηναίου, γ΄. Στιχ. τῆς Ἑορτῆς, Ἦχος, δ΄.

Ἔδωκας σημείωσιν.

Ἔπαθες ὡς ἄνθρωπος, ὁ ἀπαθὴς τῇ Θεότητι, καὶ ἀνέστης τριήμερος, σκυλεύσας τὸν θάνατον, καὶ συναναστήσας, πάντας τοὺς φθαρέντας, καὶ ἀνελήλυθας Χριστέ, πρὸς τὸν Πατέρα ἐπαγγειλάμενος, ἐκπέμψειν τὸν Παράκλητον, τοῖς ἱεροῖς Ἀποστόλοις σου, Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ὑμεῖς τί ἑστήκατε, πρὸς Οὐρανὸν ἀτενίζοντες; οἱ ὁρώμενοι Ἄγγελοι, ὡς ἄνθρωποι ἔλεγον, τοῖς τοῦ Λόγου μύσταις· οὗτος ὃν ὁρᾶτε, ὑπὸ νεφέλης φωτεινῆς, ἀναληφθέντα αὐτὸς ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε, κρῖναι τὸν Κόσμον ὡς ἔφησε. πορευθέντες οὖν ἅπαντα, τὰ ῥηθέντα τελέσατε.

Μετὰ τὴν ἐκ τάφου σου, ὑπὲρ κατάληψιν ἔγερσιν, Παντοδύναμε Κύριε, λαβὼν οὓς ἠγάπησας, ἕως Βηθανίας, ἐξήγαγες Λόγε, καὶ πρὸς τὸ ὄρος γεγονώς, τοῦ Ἐλαιῶνος τούτους εὐλόγησας, καὶ οὕτως ἀνελήλυθας, ὑποταγέντων Ἀγγέλων σοι, Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Καὶ τοῦ Μηναίου, γ΄.

Δόξα, καὶ νῦν, Ἦχος, πλ. β΄.

Σήμερον ἐν Οὐρανοῖς αἱ ἄνω Δυνάμεις, τὴν ἡμετέραν φύσιν θεώμεναι, θαυμάζουσαι τοῦ ξένου τρόπου τὴν ἄνοδον, διηπόρουν ἀλλήλαις λέγουσαι· τίς οὗτος ὁ παραγενόμενος; βλέπουσαι δὲ τὸν οἰκεῖον Δεσπότην, τὰς Οὐρανίους πύλας αἴρειν διεκελεύοντο. μεθ' ὧν ἀπαύστως ὑμνήσωμεν τὸν μετὰ σαρκὸς ἐκεῖθεν πάλιν ἐρχόμενον, ὡς Κριτὴν τῶν ἁπάντων, καὶ Θεὸν Παντοδύναμον.

Εἰς τὸν ά. τὸ ά. Ἦχος, β΄.

Οἶκος τοῦ Εὐφραθᾶ.

Πληρώσας ἀγαθέ, Πατρὸς τὴν εὐδοκίαν, ἑνώσας τε τὰ ἄνω, τοῖς κά-



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη

τῷ ἀνελήφθης, ἐν δόξῃ πρὸς τὸ πρότερον.

Στ. Πάντα τὰ Ἔθνη κροτήσατε.

Ἀνῆλθες πρὸς τὸν σόν, Γεννήτορα οἰκτίρμων, ὅθεν οὐκ ἐχωρίσθης, καὶ ὑψώσας τὴν κάτω, κειμένην φύσιν Δέσποτα.

Στ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

Νεφέλη σε φωτὸς, ἀνέλαβεν εἰς ὕψος, καὶ Ἄγγελοι ἐν φόβῳ, καὶ τρόμῳ διηκόνουν, τῷ θείῳ σου κελεύσματι.

Δόξα, καὶ νῦν. Ἦχος, βαρύς.

Εἰς τὸ ὄρος τῶν ἐλαιῶν, ἦλθες ὁ ἐλεῶν τὸ γένος τῶν ἀνθρώπων, καὶ νεφέλη ὑπέλαβέ σε, ἀπὸ τῶν ὀφθαλμῶν τῶν Μαθητῶν σου, τρεμόντων μὲν διὰ τὴν ὀπτασίαν, χαιρόντων δὲ διὰ τὴν προσδοκίαν τοῦ Ἁγίου Πνεύματος, ἐν ᾧ στηρίξας Σωτὴρ, ἐλέησον ἡμᾶς.

Τῷ Σαββάτῳ τῆς Ἀναλήψεως, εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. Στιχολογίαν, Κάθισμα. Ἦχος, α΄.

Τοῦ λίθου σφραγισθέντος.

Ἀγγέλων θαυμαζόντων, τῆς ἀνόδου τὸ ξένον, καὶ Μαθητῶν ἐκπληττομένων, τὸ φρικτὸν τῆς ἐπάρσεως, ἀνῆλθες μετὰ δόξης ὡς Θεὸς, καὶ πύλαι σοι ἐπήρθησαν Σωτήρ. διὰ τοῦτο αἱ Δυνάμεις τῶν Οὐρανῶν ἐθαύμαζον βοῶσαι· δόξα τῇ καταβάσει σου Σωτήρ· δόξα τῇ Βασιλείᾳ σου· δόξα τῇ Ἀναλήψει σου μόνε φιλάνθρωπε.

Δίς.

Μετὰ τὴν β΄. Στιχολογίαν, ἕτερον Κάθισμα. Ἦχος, α΄.

Τοῦ λίθου σφραγισθέντος.

Τοῦ ᾅδου σκυλευθέντος, ὑπὸ σοῦ ζωοδότα, καὶ Κόσμου φωτισθέντος, ἐν τῇ σῇ Ἀναστάσει, ἀνῆλθες μετὰ δόξης ὁ Σωτὴρ, ὁ πάντα περιέχων τῇ χειρί. διὰ τοῦτο σὺν Ἀγγέλοις, δοξολογοῦμέν σε, Παντοκράτορ Κύριε. δόξα τῇ Ἀναλήψει σου Χριστέ· δόξα τῇ Βασιλείᾳ σου· δόξα τῇ εὐσπλαγχνίᾳ σου, μόνε φιλάνθρωπε. Δίς.

Ὁ Ν΄. Οἱ Κανόνες τῆς Ἑορτῆς, ὁ δ΄. μετὰ τῶν Εἱρμῶν, εἰς η΄. καὶ τοῦ Μηναίου, εἰς δ΄. Κοντάκιον, καὶ Ἐξαποστειλ. τῆς Ἑορτῆς.

Εἰς τὸν Στ. Στ. τῆς Ἑορτῆς. Ἦχος, β΄.

Οἶκος τοῦ Εὐφραθᾶ.

Οὐ λείπω ὀρφανοὺς, οὕσπερ ἐγὼ συνῆξα, ὁ Κύριος τοῖς φίλοις, ἐλάλει· ἀλλὰ πέμψω, ὑμῖν Πνεῦμα τὸ Ἅγιον.

Στ. Πάντα τὰ Ἔθνη κροτήσατε.

Ἄγγελοι τοῖς σοφοῖς, ἐβόων Ἀποστόλοις· ὦ Ἄνδρες Γαλιλαῖοι, ὃν τρόπον καθορᾶτε, αὐτὸς πάλιν ἐλεύσεται.

Στ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

Κατῆλθον ἐν χαρᾷ, ἀπὸ τοῦ ἐλαιῶνος, οἱ Μαθηταί σου Λόγε, δοξάζοντες ὑμνοῦντες, τὴν θείαν σου Ἀνάληψιν.

Δόξα, καὶ νῦν. Ἦχος, πλ. δ΄.

Ἀνελήφθης ἐν δόξῃ, ἀπὸ γῆς εἰς οὐρανοὺς, ὁ πάντα πληρῶν τῇ Θεότητι. καὶ ἐν δεξιᾷ Πατρὸς ἐκάθισας, ὁ ἐν ἀρχῇ Θεὸς Λόγος. ὅθεν αἱ Οὐράνιαι Δυνάμεις ὁρῶσαι, τοῖς Ἀποστόλοις ἔμφοβοι ἔλεγον· τίνι ἀτενίζετε βλέποντες εἰς τὸν Οὐρανόν; οὗτος ὃν ἐθεάσασθε, αὐτὸς πάλιν ἐλεύσεται μετὰ δόξης, τοῦ κρῖναι πᾶσαν τὴν γῆν, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· πρὸς ὃν βοήσωμεν· ἀκατάληπτε Κύριε δόξα σοι.

Κυριακῇ Ζ΄. τῶν Ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ Θεοφόρων Πατέρων τῶν ἐν Νικαίᾳ πρώτης Συνόδου.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους δ΄. καὶ ψάλλομεν Στιχηρὰ Ἀναστάσιμα, γ΄. Ἦχος, πλ. β΄.

Νίκην ἔχων Χριστέ.

Σήμερον ὁ Χριστὸς, θάνατον.

Σὲ Κύριε τὸν ὄντα ἐν πάσῃ.

Δευτεροῦντες τὸ, α΄. Δόξα, Ἦχος, ὁ αὐτός.

Τὰς μυστικὰς σήμερον.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε.

Ζήτει ταῦτα πάντα εἰς τὸν μέγαν Ἑσπερινόν. Εἰς τὸν Στίχον τὸ Ἀναστάσιμον Στιχηρὸν τοῦ Ἤχου.

Εἶτα τὰ παρόντα Στιχηρὰ Προσόμοια τῆς Ὑπεραγίας Θεοτόκου, Ἦχος, πλ. β΄.

Ὅλην ἀποθέμενοι.

Στ. Μνησθήσομαι τοῦ ὀνόματός σου.

Ὅρκῳ ὡς ὑπέσχετο, τῷ σῷ Προπάτορι πάλαι, Θεὸς ὑπεράγαθος, ἐπ' ἐσχάτων τῶν χρόνων τετελείωκε. προελθὼν Ἄχραντε, ἐκ γαστρός σου θείας. καὶ γὰρ ὄντως ἐξαπέστειλεν, ἐκ σοῦ ὁ Κύριος, ὁ δρακὶ συνέχων τὰ πέρατα· ὅνπερ κἀμοὶ ἵ-

λατον,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ηρακλείου Βικελαία

λατον, ποίησον ἐν ὥρᾳ τῆς Κρίσεως, Παρθένε Μαρία, αὐτοῦ τῆς Βασιλείας μετυχεῖν, δι' ἀρετῶν ἀνυψώσεως, καὶ παθῶν νεκρώσεως.

Ἦχ. Ἄκουσον θύγατερ καὶ ἴδε.

Νέος καθαρότητι, ὁ Ἡσαΐας Παρθένε, πόρρωθεν προέφησε, τεξομένην τὸν Κτίστην, πάσης Κτίσεως, σὲ σεμνὴ Πάναγνε, σὺ γὰρ ὤφθης μόνη, εἰς αἰῶνας παναμώμητος. διό σου δέομαι, τὴν μεμολυσμένην καθάρισον, ψυχήν μου καὶ λαμπρότητος, θείας κοινωνόν με ἀνάδειξον, θέας τοῦ Υἱοῦ σου, καὶ στάσεως αὐτοῦ τῆς δεξιᾶς, ὅταν καθίσῃ ὡς γέγραπται, κρῖναι Κόσμον ἅπαντα.

Ἦχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Θανάτου κατάλυσις, διὰ τοῦ τόκου σου ὤφθη. σὺ γὰρ Κόρη πέφυκας, τῆς ζωῆς τῆς ἀφθάρτου ἐνδιαίτημα. διό σου δέομαι, ἐν σοροῖς τοῦ ᾅδου, τῶν παθῶν με κατακείμενον, σὺ ἐξανάστησον, καὶ πρὸς εὐφροσύνην καὶ ζώωσιν, Παρθένε χειραγώγησον, πρὸς τὴν μακαρίαν ἀντίδοσιν, καὶ τῆς ἀνωλέθρου, καὶ θείας καταξίωσον χαρᾶς, ἔνθα τρυφὴ ἡ ἀΐδιος, ἔνθα φῶς ἀνέσπερον.

Δόξα, ἦχος, δ'.

Τὴν αἰτήσιον μνήμην.

Ζήτει εἰς τὸν ν'. Καὶ νῦν, Θεοτοκίον. Ὃ ἂν βούλει.

Καὶ τὰ λοιπὰ ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι'. καὶ ψάλλομεν στιχ. Ἀναστάσιμα, γ'. τῆς Ἀναλήψεως, γ'. Καὶ τῶν Ἁγίων Πατέρων, δ'. Στιχ. Ἀναστάσιμα, ἦχος, πλ. β'.

Νίκην ἔχων Χριστέ, τὴν κατὰ τοῦ ᾅδου, ἐν τῷ Σταυρῷ ἀνῆλθες, ἵνα τοὺς ἐν σκότει θανάτου καθημένους, συναναστήσῃς ἑαυτῷ, ὁ ἐν νεκροῖς ἐλεύθερος, ὁ πηγάζων ζωὴν, ἐξ οἰκείου φωτός· Παντοδύναμε Σωτὴρ, ἐλέησον ἡμᾶς.

Σήμερον ὁ Χριστός, θάνατον πατήσας, καθὼς εἶπεν ἀνέστη, καὶ τὴν ἀγαλλίασιν τῷ Κόσμῳ ἐδωρήσατο· ἵνα πάντες κραυγάζοντες, τὸν ὕμνον οὕτως εἴπωμεν· ἡ πηγὴ τῆς ζωῆς, τὸ ἀπρόσιτον φῶς· Παντοδύναμε Σωτὴρ, ἐλέησον ἡμᾶς.

Σὲ Κύριε τὸν ὄντα ἐν πάσῃ τῇ Κτίσει, ἁμαρτωλοὶ ποῦ φύγωμεν; ἐν τῷ Οὐρανῷ αὐτὸς κατοικεῖς, ἐν τῷ ᾅδῃ ἐπάτησας θάνατον· εἰς τὰ βάθη τὰ τῆς θαλάσσης, ἐκεῖ ἡ χείρ σου Δέσποτα. πρὸς σὲ καταφεύγομεν, σοὶ προσπίπτοντες ἱκετεύομεν· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἐλέησον ἡμᾶς.

Ἕτερα Ἰδιόμελα τῆς Ἀναλήψεως.

Ἦχος, ὁ αὐτός.

Ὁ Κύριος ἀνελήφθη εἰς Οὐρανούς, ἵνα πέμψῃ τὸν Παράκλητον τῷ Κόσμῳ. οἱ Οὐρανοὶ ἡτοίμασαν τὸν θρόνον αὐτοῦ, νεφέλαι τὴν ἐπίβασιν αὐτοῦ. Ἄγγελοι θαυμάζουσιν, ἄνθρωπον ὁρῶντες ὑπεράνω αὐτῶν. ὁ Πατὴρ ἐκδέχεται, ὃν ἐν κόλποις ἔχει συναΐδιον. τὸ Πνεῦμα τὸ ἅγιον κελεύει πᾶσι τοῖς Ἀγγέλοις αὐτοῦ· ἄρατε πύλας οἱ Ἄρχοντες ὑμῶν, πάντα τὰ Ἔθνη κροτήσατε χεῖρας, ὅτι ἀνέβη Χριστός, ὅπου ἦν τὸ πρότερον.

Ὁ αὐτός.

Κύριε τῇ σῇ Ἀναλήψει, ἐξεπλάγησαν τὰ Χερουβίμ, θεωρήσαντά σε τὸν Θεόν, ἐπὶ νεφελῶν ἀνερχόμενον, τὸν ἐπ' αὐτῶν καθεζόμενον· καὶ δοξάζομέν σε, ὅτι χρηστὸν τὸ ἔλεός σου δόξα σοι.

Ὁ αὐτός.

Ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, θεωροῦντές σου τὰς ὑψώσεις Χριστέ, τὸ ἀπαύγασμα τῆς δόξης τοῦ Πατρός, ἀνυμνοῦμέν σου τὴν φωτοειδῆ τοῦ προσώπου μορφήν. προσκυνοῦμέν σου τὰ παθήματα. τιμῶμεν τὴν Ἀνάστασιν. τὴν ἔνδοξον Ἀνάληψιν δοξάζοντες, ἐλέησον ἡμᾶς.

Ἕτερα τῶν Ἁγίων Πατέρων.

Ἦχος, ὁ αὐτός.

Ἡ ἀπεγνωσμένη διὰ τὸν βίον.

Ἐκ γαστρὸς ἐτέχθης πρὸ ἑωσφόρου. ἐκ Πατρὸς ἀμήτωρ πρὸ τῶν αἰώνων. κἂν Ἄρειος κτίσμα σε καὶ οὐ Θεὸν δοξάζῃ, τόλμῃ συνάπτων σε τὸν Κτίστην, τοῖς κτίσμασιν ἀφρόνως, ὕλην πυρὸς τοῦ αἰωνίου, ἑαυτῷ θησαυρίζων. ἀλλ' ἡ Σύνοδος ἡ ἐν Νικαίᾳ, Υἱὸν Θεοῦ σε ἀνεκήρυξε Κύριε, Πατρὶ καὶ Πνεύματι σύνθρονον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Τίς σου τὸν χιτῶνα Σῶτερ διεῖλεν; Ἄρειος σὺ ἔφης ὁ τῆς Τριάδος, τεμὼν τὴν ὁμότιμον, ἀρχὴν εἰς διαιρέσεις. οὗτος ἠθέτησέ σε εἶναι, τὸν ἕνα τῆς Τριάδος. οὗτος Νεστόριον διδάσκει, Θεοτόκον μὴ λέγειν. ἀλλ᾽ ἡ Σύνοδος ἡ ἐν Νικαίᾳ, Υἱὸν Θεοῦ σε ἀνεκήρυξε Κύριε, Πατρὶ καὶ Πνεύματι σύνθρονον.

Κρημνῷ περιπίπτει τῆς ἁμαρτίας, Ἄρειος ὁ μύσας τὸ φῶς μὴ βλέπειν· καὶ θείῳ σπαράττεται, ἀγκίστρῳ τοῖς ἐγκάτοις, πᾶσαν ἐκδῦναι τὴν οὐσίαν, καὶ τὴν ψυχὴν βιαίως· ἄλλος Ἰούδας χρηματίσας, τῇ γνώμῃ καὶ τῷ τρόπῳ· ἀλλ᾽ ἡ Σύνοδος ἡ ἐν Νικαίᾳ, Υἱὸν Θεοῦ σε ἀνεκήρυξε Κύριε, Πατρὶ καὶ Πνεύματι σύνθρονον.

Ἄρειος ὁ ἄφρων τῆς παναγίας, τέτμηκε Τριάδος τὴν μοναρχίαν, εἰς τρεῖς ἀνομοίους τε καὶ ἐκφύλους οὐσίας. ὅθεν Πατέρες θεοφόροι, συνελθόντες προθύμως, ζήλῳ πυρούμενοι καθάπερ, ὁ Θεσβίτης Ἠλίας, τῷ τοῦ Πνεύματος τέμνουσι ξίφει, τὸν τῆς αἰσχύνης δογματίσαντα βλάσφημον, καθὼς τὸ Πνεῦμα ἀπεφήνατο.

Δόξα, ἦχος, πλ. β΄.

Τὰς μυστικὰς σήμερον τοῦ Πνεύματος σάλπιγγας. τοὺς θεοφόρους Πατέρας ἀνευφημήσωμεν, τοὺς μελῳδήσαντας ἐν μέσῳ τῆς Ἐκκλησίας, μέλος ἐναρμόνιον θεολογίας, Τριάδα μίαν ἀπαράλλακτον, οὐσίαν τε καὶ Θεότητα· τοὺς καθαιρέτας Ἀρείου, καὶ ὀρθοδόξων προμάχους τοὺς πρεσβεύοντας πάντοτε Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς Μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς, προῆλθεν ἀφράστως σαρκωθείς. φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τό, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ εὐθὺς τὰ Ἀναγνώσματα.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Ἀκούσας Ἄβραμ, ὅτι ᾐχμαλώτευται Λώτ, ὁ ἀδελφιδοῦς αὐτοῦ, ἠρίθμησε Κεφ. ιδ΄. 14
τοὺς ἰδίους οἰκογενεῖς αὐτοῦ τριακοσίους δέκα καὶ ὀκτώ, καὶ κατεδίωξεν ὀπίσω αὐτῶν ἕως Δάν· καὶ ἐπέπεσεν ἐπ᾽ αὐτοὺς τὴν νύκτα, αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ μετ᾽ αὐτοῦ. καὶ ἐπάταξεν αὐτούς, καὶ ἐδίωξεν αὐτοὺς ἕως Χοβάλ, ἥ ἐστιν ἐν ἀριστερᾷ Δαμασκοῦ. καὶ ἀπέστρεψε πᾶσαν τὴν ἵππον Σοδόμων, καὶ Λὼτ τὸν ἀδελφιδοῦν αὐτοῦ ἀπέστρεψε, καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ τὰς γυναῖκας, καὶ τὸν Λαόν. Ἐξῆλθε δὲ Βασιλεὺς Σοδόμων εἰς συνάντησιν αὐτοῦ, μετὰ τὸ ὑποστρέψαι αὐτὸν ἀπὸ τῆς κοπῆς τοῦ Χοδολλογόμορ, καὶ τῶν Βασιλέων τῶν μετ᾽ αὐτοῦ, εἰς τὴν κοιλάδα τοῦ Σαβή. τοῦτο ἦν πεδίον Βασιλέως. καὶ Μελχισεδὲκ Βασιλεὺς Σαλήμ, ἐξήνεγκεν ἄρτους καὶ οἶνον. ἦν δὲ Ἱερεὺς τοῦ Θεοῦ τοῦ Ὑψίστου. καὶ εὐλόγησε τὸν Ἄβραμ, καὶ εἶπεν· εὐλογημένος Ἄβραμ τῷ Θεῷ τῷ Ὑψίστῳ, ὃς ἔκτισε τὸν Οὐρανόν, καὶ τὴν γῆν· καὶ εὐλογητὸς ὁ Θεὸς ὁ Ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι.

Δευτερονομίου τὸ Ἀνάγνωσμα.

Εἶπε Μωσῆς πρὸς τοὺς Υἱοὺς Ἰσραήλ· Κεφ. α΄. 8
ἴδετε παραδέδωκα ἐνώπιον ὑμῶν τὴν γῆν· εἰσελθόντες κατακληρονομήσατε τὴν γῆν, ἣν ὤμοσε Κύριος τοῖς πατράσιν ὑμῶν, τῷ Ἀβραάμ, καὶ τῷ Ἰσαάκ, καὶ τῷ Ἰακώβ, δοῦναι αὐτοῖς αὐτήν, καὶ τῷ σπέρματι αὐτῶν μετ᾽ αὐτούς. καὶ εἶπον πρὸς ὑμᾶς ἐν τῷ καιρῷ ἐκείνῳ, λέγων· Οὐ δυνήσομαι μόνος φέρειν ὑμᾶς. Κύριος ὁ Θεὸς ἡμῶν ἐπλήθυνεν ὑμᾶς, καὶ ἰδοὺ ἐστε σήμερον ὡς τὰ ἄστρα τοῦ Οὐρανοῦ τῷ πλήθει. Κύριος ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, προσθείη ὑμῖν ὡς ἐστὲ χιλιοπλασίως· καὶ εὐλογήσαι ὑμᾶς, καθότι ἐλάλησεν ὑμῖν. καὶ ἔλαβον ἐξ ὑμῶν ἄνδρας σοφούς, καὶ ἐπιστήμονας, καὶ συνετούς, καὶ κατέστησα αὐτοὺς ἡγεῖσθαι ἐφ᾽ ὑμῶν χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ πεντηκοντάρχους, καὶ δεκάρχους, καὶ γραμματοεισαγωγεῖς τοῖς Κριταῖς ὑμῶν. καὶ ἐνετειλάμην τοῖς Κριταῖς ὑμῶν ἐν τῷ καιρῷ ἐκείνῳ, λέγων· Διακούετε ἀναμέσον τῶν Ἀδελφῶν ὑμῶν, καὶ κρίνετε

δικαίως, ἀναμέσον ἀνδρὸς, καὶ ἀναμέσον τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἀναμέσον τοῦ προσηλύτου αὐτοῦ. οὐκ ἐπιγνώσεσθε πρόσωπον ἐν κρίσει, κατὰ τὸν μικρὸν, καὶ κατὰ τὸν μέγαν κρινεῖς· οὐ μὴ ὑποστείλῃ πρόσωπον ἀνθρώπου, ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστίν.

Δευτερονομίου τὸ Ἀνάγνωσμα.

Κεφ. ι. 14. Εἶπε Μωσῆς πρὸς τοὺς Υἱοὺς Ἰσραήλ· ἰδοὺ Κυρίου τοῦ Θεοῦ σου ὁ Οὐρανὸς, καὶ ὁ Οὐρανὸς τοῦ Οὐρανοῦ, ἡ Γῆ, καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ. πλὴν τοὺς πατέρας ὑμῶν προείλετο Κύριος ἀγαπᾷν αὐτούς. καὶ ἐξελέξατο τὸ σπέρμα αὐτῶν μετ' αὐτοὺς, ὑμᾶς παρὰ πάντα τὰ Ἔθνη κατὰ τὴν ἡμέραν ταύτην. καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν, καὶ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε ἔτι. Ὁ γὰρ Κύριος ὁ Θεὸς ἡμῶν, οὗτος Θεὸς τῶν Θεῶν, καὶ Κύριος τῶν Κυρίων. ὁ Θεὸς ὁ μέγας καὶ ἰσχυρὸς καὶ φοβερός. ὅστις οὐ θαυμάζει πρόσωπον, οὐδ' οὐ μὴ λάβῃ δῶρον, ποιῶν κρίσιν προσηλύτῳ καὶ ὀρφανῷ καὶ χήρᾳ. καὶ ἀγαπᾷ τὸν προσήλυτον, δοῦναι αὐτῷ ἄρτον καὶ ἱμάτιον. Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ, καὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ· αὐτὸς καύχημά σου, καὶ οὗτος Θεός σου. ὅστις ἐποίησέ σοι τὰ μεγάλα καὶ θαυμαστὰ, καὶ τὰ ἔνδοξα ταῦτα, ἃ εἶδον οἱ ὀφθαλμοί σου.

Εἰς τὴν Λιτὴν, τὸ Στιχηρὸν τῆς Ἁγίας τῆς Μονῆς.

Δόξα, ἦχος γ'.

Ἀποστολικῶν παραδόσεων, ἀκριβεῖς φύλακες γεγόνατε Ἅγιοι Πατέρες. τῆς γὰρ Ἁγίας Τριάδος τὸ ὁμοούσιον, ὀρθοδόξως δογματίσαντες, Ἄρειον τὸ βλάσφημον συνοδικῶς κατεβάλετε. μεθ' ὃν καὶ Μακεδόνιον, Πνευματομάχον ἀπελέγξαντες, κατεκρίνατε Νεστόριον, Εὐτυχέα, καὶ Διόσκορον, Σαβέλλιόν τε καὶ Σευῆρον τὸν ἀκέφαλον. ὧν τῆς πλάνης αἰτήσασθε ῥυσθέντας ἡμᾶς, ἀκηλίδωτον ἡμῶν τὸν βίον, ἐν τῇ πίστει φυλάττεσθαι δεόμεθα.

Καὶ νῦν, ἦχος πλ. β'.

Κύριε τῆς οἰκονομίας πληρώσας τὸ μυστήριον, παραλαβὼν τοὺς σοὺς Μαθητὰς, εἰς τὸ ὄρος τῶν ἐλαιῶν ἀνελάμβανες. καὶ ἰδοὺ τὸ στερέωμα τοῦ Οὐρανοῦ παρῆλθες, ὁ δι' ἐμὲ πτωχεύσας κατ' ἐμέ· καὶ ἀναβὰς ὅθεν οὐκ ἐχωρίσθης, τὸ Παναγιόν σου Πνεῦμα ἐξαπόστειλον, φωτίζον τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον, Ἀναστάσιμα, ἦχος πλ. β'.

Ἡ Ἀνάστασίς σου Χριστὲ Σωτὴρ, Ἄγγελοι ὑμνοῦσιν ἐν Οὐρανοῖς, καὶ ἡμᾶς τοὺς ἐπὶ γῆς καταξίωσον, ἐν καθαρᾷ καρδίᾳ σὲ δοξάζειν.

Ἕτερα κατ' Ἀλφάβητον, ὁ αὐτός.

Πύλας συντρίψας χαλκᾶς, καὶ μοχλοὺς τοῦ Ἅδου συνθλάσας, ὡς Θεὸς Παντοδύναμος, γένος ἀνθρώπων πεπτωκὸς ἀνέστησας. διὰ τοῦτο καὶ ἡμεῖς ὑμνοῦντες βοῶμεν· ὁ ἐκ νεκρῶν ἀναστὰς Κύριε δόξα σοι.

Ῥύσεως ἡμᾶς τῆς πάλαι Χριστὸς, ἐπανορθῶσαι θέλων, Σταυρῷ προσπήγνυται, καὶ τάφῳ τίθεται. ὃν Μυροφόροι γυναῖκες μετὰ δακρύων ζητοῦσαι, θρηνοῦσαι ἔλεγον· οἴμοι Σωτὴρ τῶν ἁπάντων, πῶς κατεδέξω τάφῳ οἰκῆσαι; οἰκήσας δὲ θέλων, πῶς ἐκλάπης; πῶς μετετέθης; ποῖος δὲ τόπος τὸ σὸν ζωηφόρον κατέκρυψε Σῶμα; Ἀλλὰ Δέσποτα ὡς ὑπέσχου ἡμῖν ἐμφάνηθι, καὶ παῦσον ἀφ' ἡμῶν τὸν ὀδυρμὸν τῶν δακρύων. θρηνούσαις δὲ αὐταῖς, Ἄγγελος πρὸς αὐτὰς ἀπεβόησε· τὸν θρῆνον παυσάμεναι, τοῖς Ἀποστόλοις εἴπατε· ὅτι ἀνέστη ὁ Κύριος, τῷ Κόσμῳ δωρούμενος, ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος.

Σταυρωθεὶς ὡς ἠθέλησας Χριστὲ, καὶ τὸν θάνατον τῇ ταφῇ σου σκυλεύσας, τριήμερος ἀνέστης, ὡς Θεὸς μετὰ δόξης, τῷ Κόσμῳ δωρούμενος, ἀτελεύτητον ζωὴν, καὶ τὸ μέγα ἔλεος.

Δόξα, ἦχος δ'.

Τὴν ἐτήσιον μνήμην σήμερον, τῶν θεοφόρων Πατέρων, τῶν ἐκ πάσης τῆς Οἰκουμένης συναθροισθέντων, ἐν τῇ λαμπρᾷ Πόλει Νικαέων, τῶν ὀρθοδόξων τὰ συστήματα, εὐσεβοῦντες πιστῶς ἑορτάσωμεν. οὗτοι γὰρ τοῦ δεινοῦ Ἀρείου τὸ ἄθεον δόγμα, εὐσεβοφρόνως καθεῖλον, καὶ τῆς Καθολικῆς Ἐκκλησίας συνοδικῶς τοῦτον ἐξωστράκισαν. καὶ τρανῶς τὸν Υἱὸν τοῦ Θεοῦ ὁμοούσιον καὶ συναΐδιον, πρὸ τῶν αἰώνων ὄντα, τοῖς πᾶσιν ἐδίδαξαν ὁμολογεῖν, ἐν τῷ τῆς Πίστεως Συμβόλῳ, ἀκριβῶς καὶ εὐσεβῶς τοῦτο ἐκθέμενοι. ὅθεν καὶ ἡμεῖς τοῖς

θείοις αὐτῶν δόγμασιν ἑπόμενοι, βεβαίως πιστεύοντες λατρεύομεν, σὺν Πατρὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ Πανάγιον, ἐν μιᾷ Θεότητι, Τριάδα Ὁμοούσιον.

Καὶ νῦν. Ἦχος, ὁ αὐτός.

Κύριε τὸ μυστήριον τὸ ἀπὸ τῶν αἰώνων κεκρυμμένον, καὶ ἀπὸ γενεῶν πληρώσας ὡς ἀγαθὸς, ἦλθες μετὰ τῶν Μαθητῶν σου ἐν τῷ Ὄρει τῶν Ἐλαιῶν, ἔχων τὴν Τεκοῦσάν σε τὸν Ποιητὴν καὶ πάντων Δημιουργόν. τὴν γὰρ ἐν τῷ πάθει σου μητρικῶς πάντων ὑπεραλγήσασαν, ἔδει καὶ τῇ δόξῃ τῆς σαρκός σου ὑπερβαλλούσης ἀπολαῦσαι χαρᾶς. ἧς καὶ ἡμεῖς μετασχόντες τῇ εἰς Οὐρανοὺς ἀνόδῳ σου Δέσποτα, τὸ μέγα σου ἔλεος, τὸ εἰς ἡμᾶς γενόμενον δοξάζομεν.

Ἀπολυτίκιον, ἦχος, πλ. β'.

Ἀγγελικαὶ Δυνάμεις ἐπὶ τὸ Μνῆμά σου, καὶ οἱ φυλάσσοντες ἀπενεκρώθησαν, καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα τὸ ἄχραντόν σου Σῶμα. ἐσκύλευσας τὸν ᾅδην, μὴ πειρασθεὶς ὑπ' αὐτοῦ. ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος τὴν ζωὴν, ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Τῶν Ἁγίων Πατέρων, ἦχος, πλ. δ'.

Ὑπερδεδοξασμένος εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς τοὺς Πατέρας ἡμῶν θεμελιώσας, καὶ δι' αὐτῶν πρὸς τὴν ἀληθινὴν πίστιν πάντας ἡμᾶς ὁδηγήσας, πολυεύσπλαγχνε δόξα σοι.

Καὶ τῆς Ἑορτῆς, ἦχος, δ'.

Ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητὰς τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου Πνεύματος, βεβαιωθέντων αὐτῶν, διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ Κόσμου.

Τὰ αὐτὰ καὶ εἰς τὸ, Θεὸς Κύριος.

Χρὴ γινώσκειν, ὅτι μὴ γινομένης Ἀγρυπνίας, ψάλλομεν ἀντὶ τοῦ Μεσονυκτικοῦ τὸν παρόντα Τριαδικὸν Κανόνα.

Ἐν τῷ Μεσονυκτικῷ, Κανὼν Τριαδικός.

Οὗ ἡ ἀκροστιχίς.

Τὸν ἕκτον ὕμνον προσφέρω σοι Θεότης.

Ὠδὴ α'. Ἦχος, πλ. β'.

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Τρεῖς ὑποστάσεις ὑμνοῦμεν Θεαρχικὰς, ἑνιαίας φύσεως, ἀπαράλλακτον μορφὴν, ἀγαθὸν φιλάνθρωπον Θεὸν, τῶν πταισμάτων ἱλασμὸν ἡμῖν δωρούμενον.

Ὑπερούσιος μόνος καὶ τριλαμπὴς, χαρακτῆρσι Κύριος, ἐν Θεότητι μιᾷ, πεφυκὼς συνέτισον ἡμᾶς, καὶ ἀξίωσον τῆς σῆς θείας ἐλλάμψεως.

Νυμφοστολήσας ὁ Παῦλος τὴν τῶν Ἐθνῶν, Ἐκκλησίαν ἕνα σε, τρισυπόστατον Θεὸν, προσκυνεῖν, ἐδίδαξεν ἐξ οὗ, καὶ δι' οὗπερ καὶ ἐν ᾧ τὰ πάντα γέγονεν.

Θεοτοκίον.

Ἐκ τῆς γαστρός σου προῆλθεν ὁ νοητὸς, Θεοτόκε Ἥλιος, καὶ κατηύγασεν ἡμᾶς, τριφαοῦς Θεότητος αὐγαῖς, ὃν ὑμνοῦντες εὐσεβῶς, σὲ μακαρίζομεν.

Ὠδὴ γ'. Οὐκ ἔστιν ἅγιος.

Κοσμήσας τρίφωτε Θεὲ, τάξεις τὰς οὐρανίους, κατεσκεύασας μέλπειν, Τρισαγίαις σε φωναῖς· δέξαι μεθ' ὧν καὶ ἡμᾶς, ἀνυμνοῦντας, σοῦ τὴν ἀγαθότητα.

Ἣν μόνην ἄτρεπτον τριττὴν, σύμμορφον ἑνιαίαν, Θεαρχίαν ὑμνοῦντες, λιτάζομέν σε θερμῶς, ἁμαρτημάτων πολλῶν, καταπέμψαι, νῦν ἡμῖν συγχώρησιν.

Δόξα.

Ὁ Νοῦς ὁ ἄναρχος Πατὴρ, σύμμορφε Θεοῦ Λόγε, καὶ τὸ Πνεῦμα τὸ θεῖον, τὸ ἀγαθὸν καὶ εὐθὲς, τοὺς ἀνυμνοῦντας πιστῶς, τὸ σὸν κράτος, φρούρησον ὡς εὔσπλαγχνος.

Καὶ νῦν. Θεοτοκίον.

Νέκρωσιν ἀνέστειλε φθορᾶς, ἄνθρωπος κατ' οὐσίαν, γενόμενος ὁ Θεός μου, ἐν τῇ μήτρᾳ σου ἁγνὴ, καὶ τοὺς γενάρχας τῆς πρὶν, καταδίκης, μόνος ἠλευθέρωσεν.

Κάθισμα. Ἦχος, πλ. β'. Τὴν ὑπὲρ ἡμῶν.

Δέσποτα Θεὲ, ἐπίβλεψον Οὐρανόθεν. ἴδε τὴν ἡμῶν, ταπείνωσιν ὡς Οἰκτίρμων· καὶ σπλαγχνίσθητι φιλάνθρωπε πανάγαθε· οὐδαμόθεν γὰρ ἐλπίζομεν, συγχωρήσεως τεύξασθαι, τῶν κακῶν ὧν ἡμάρτομεν. διὸ γενοῦ μεθ' ἡμῶν, καὶ οὐδεὶς καθ' ἡμῶν.

Θεοτοκίον. Ὅμοιον.

Δέσποινα Ἁγνὴ, ἐπίβλεψον Θεοτόκε. ἴδε τῶν ἐμῶν, τραυμάτων τὰς ἀλγηδόνας· καὶ σπλαγχνίσθητι πανάχραντε καὶ ἴασαι, τοῦ συνειδότος τὸν καύσωνα, τῷ σῷ ἐλέει δροσίζουσα, καὶ βοῶσα τοῖς δούλοις σου· ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Τὴν διάνοιαν, Μονὰς ἡ τρίφωτος, καὶ ψυχὴν καὶ καρδίαν σῶν ὑμνητῶν, θᾶττον ἀναβίβασον· καὶ τῆς ἐλλάμψεως τῆς σῆς, καὶ λαμπρότητος ἀξίωσον.

Μετασχημάτισον, καὶ μεταμόρφωσον, ἐκ κακίας με πάσης πρὸς ἀρετήν, μόνη ἀσχημάτιστε, καὶ ἀναλλοίωτε Τριάς, ταῖς σαῖς αἴγλαις καταλάμπρυνον.

Νοήσας πρότερον, σοφῶς ὑπέστησας, τῶν Ἀγγέλων τὰς τάξεις λειτουργικάς, σὺ τῆς ἀγαθότητος, ὁ τρισυπόστατος Θεός, μεθ' ὧν δέξαι μου τὴν αἴνεσιν.

Θεοτοκίον.

Ὁ φύσει ἄκτιστος, Θεὸς ἀΐδιος, τὴν κτιστὴν τῶν ἀνθρώπων προσειληφώς, φύσιν ἀνεμόρφωσεν, ἐν τῇ ἁγίᾳ σου γαστρί, Θεοτόκε Ἀειπάρθενε.

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Νοοῦντες φύσιν Θεαρχικήν, προνοητικὴν καὶ σωστικήν, πάντων ὑπάρχουσαν Δέσποτα, τρίφωτόν σε μίαν, πρὸς σὲ ὀρθρίζομεν, συγχώρησιν αἰτοῦντες τῶν παραπτώσεων.

Πατὴρ ὁ ἄναρχος καὶ Θεός, καὶ ὁ συναΐδιος Υἱός, Πνεῦμα τὸ ἅγιον στήριξον, μοναρχικωτάτη Τριὰς τοὺς σοὺς ὑμνητάς, καὶ πάσης ἐπηρείας ῥῦσαι καὶ θλίψεως.

Ῥυθμίζων λάμψεσι θεουργοῖς, καὶ πρὸς εὐαρέστησιν τῆς σῆς, τρισυπόστατε Θεότητος, Ἥλιε τῆς δόξης καθοδηγῶν με ἀεί, τῆς θείας Βασιλείας μέτοχον ποίησον.

Θεοτοκίον.

Ὁ πάντα φέρων, καὶ σωτηρῶν, τῇ παντοδυνάμῳ σου χειρί, Λόγε Θεοῦ ἀναλλοίωτε, φρούρει καὶ σωτήρει, τοὺς σὲ δοξάζοντας, πρεσβείαις τῆς τεκούσης σε Θεομήτορος.

Ὠδὴ ς΄. Τοῦ βίου τὴν θάλασσαν.

Σοφίαν καὶ σύνεσιν, Θεαρχία τριφαής, τοῖς ὑμνηταῖς σου δώρησαι, καὶ τοῖς κάλλους ἀκτῖσι τοῦ φωτουργοῦ, τῆς σῆς ἀγαθότητος, καταλάμπεσθαι πάντας καταξίωσον.

Φῶς τὸ ἀδιαίρετον, κατ' οὐσίαν Τρισλαμπές, παντοκρατὲς ἀπρόσιτον, τὰς καρδίας καταύγασον τῶν πιστῶς, αἰνούντων τὸ κράτος σου. καὶ πρὸς θείαν ἀγάπην ἀναπτέρωσον.

Θεοτοκίον.

Ἐν σοὶ κατεσκήνωσεν, Ἀειπάρθενε σαφῶς, ὁ συνοχεὺς καὶ Κύριος, τῶν ἁπάντων καὶ μίαν τρισολαμπῆ, μορφὴν τῆς Θεότητος, προσκυνεῖν τοὺς ἀνθρώπους εἰσηγήσατο.

Κάθισμα, ἦχος πλ. β΄.
Τὴν ὑπὲρ ἡμῶν.

Πάτερ καὶ Υἱὲ σὺν Πνεύματι τῷ Ἁγίῳ, βλέψον εἰς ἡμᾶς τοὺς πίστει σε προσκυνοῦντας, καὶ δοξάζοντας τὸ κράτος σου εὔσπλαγχνε, σὺν τοῖς πυρίνοις οἱ πήλινοι. ἄλλον γὰρ πλήν σου οὐκ οἴδαμεν, καὶ βόησον τοῖς ὑμνοῦσί σε· ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Βλέψον εἰς ἡμᾶς Πανύμνητε Θεοτόκε. Ἔκλαμψον φωτισμὸν καρδίαις ἐσκοτισμέναις, καὶ καταύγασον τὴν ποίμνην σου Πανάχραντε· ὅσα γὰρ θέλεις, καὶ δύνασαι, ὡς Μήτηρ οὖσα τοῦ Κτίστου σου, καὶ βόησον τοῖς αἰτοῦσί σε· ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

Ὠδὴ ζ΄. Δροσοβόλον.

Τὴν ὁμαλαίαν μοι διάνοιαν πρυτάνευσον, τρίφωτε χαρακτῆρσι μονάς, τοῦ φυλάττειν σου, καὶ τηρεῖν τὰς θείας ἐντολάς, καὶ πάντοτε ψάλλειν σοι πιστῶς· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς ταυτότητι τῆς φύσεως ὑμνούμενος, ἀφράστως ἑνιαῖος Θεός, τοῖς προσώποις δέ, τῆς Τριάδος φέρων ἀριθμόν, συντήρησον ἅπαντας ἡμᾶς, ἀπὸ ποικίλων πειρασμῶν καὶ περιστάσεων.

Σύμφυη καὶ συναΐδιον δοξάζομεν, ἕνα σε κατ' οὐσίαν Θεόν, ἰδιότησιν ἀσυγχύτοις ὑποστατικαῖς, Τριὰς τὸ διάφορον ἁπλῶς, προβαλλομένην ἐν μορφῇ, ἀπαραλλάκτῳ σαφῶς.

Θεοτοκίον.

Ὁ Θεὸς ὁ ὑπερούσιος προσείληφεν, Ἄχραντε ἐκ γαστρός σου Ἁγνή, τὸ ἡμέτερον φιλανθρώπως φύραμα σαφῶς, καὶ πάντας ἐδίδαξε βοᾶν· εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Ἱλασμὸν τῶν πταισμάτων θᾶττον παράσχου μοι, καὶ παθῶν πολυτρόπων τὴν ἀπολύτρωσιν, σύμμορφε Τριάς, καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη

Μονὰς τρισυπόστατε· ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Θελητὴς τοῦ ἐλέους καταγγελλόμενος, ὡς Θεὸς ἐλεήμων πάντας ἐλέησον, τρίφωτε Μονὰς, καὶ Τριὰς ὑπεράγαθε, τοὺς δοξολογοῦντας, τὴν σὴν μεγαλωσύνην.

Ἐκ φωτὸς ἀϊδίου φῶς συναΐδιον, τοῦ Πατρὸς γεννηθέντα Λόγον σὺν Πνεύματι, τῷ ἐκπορευτῷ φωτὶ, πίστει δοξάζομεν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἰατρὸν τοῖς ἀνθρώποις Ἄχραντε τέτοκας, Παντοδύναμον Λόγον Χριστὸν τὸν Κύριον, τῆς προγονικῆς πληγῆς, πάντας ἰώμενον, τοὺς ὑπερυψοῦντας, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις·

Ὁρᾷν αἱ τάξεις Χερουβὶμ Δέσποτα, κάλλους τοῦ σοῦ, τὴν δόξαν οὐ δυνάμεναι πτέρυξι, κατακαλυπτόμεναι ἀπαύστως τριττὸν, ὕμνον ἀναβοῶσι, τὸ τρισυπόστατον, τῆς σῆς Θεαρχίας ἑνικὸν κράτος δοξάζουσαι.

Τὰς σὰς ἐλλάμψεις ἄδυτε Ἥλιε, σῶν οἰκετῶν παράσχου ταῖς καρδίαις καὶ φώτισον, τὰς ψυχὰς καὶ λύτρωσαι πταισμάτων πολλῶν, μόνε Παντελεῆμον, καὶ τρισυπόστατε, καὶ τῆς ἀκηράτου σου ζωῆς ἡμᾶς ἀξίωσον.

Ἡ Φῶς ὁμότιμον καὶ τρισήλιον, καὶ φωτουργὸν Θεότης, πεφυκυῖα καταύγασον, τοὺς πιστῶς σε μέλποντας, καὶ τῆς ζοφερᾶς, ῥῦσαι κακοπραγίας, καὶ καταξίωσον, τῶν φωτεινοτάτων σου σκηνῶν ὡς ὑπεράγαθος.

Θεοτοκίον.

Ὁ φῶς τὸν ἄνθρωπον πρὶν διέπλασεν, ὁ σὸς Υἱὸς Παρθένε, καὶ φθαρέντα ἀνέπλασε, διὰ σοῦ πανύμνητε, καὶ θείου φωτὸς, αἴγλης τῆς ἀνεσπέρου, πάντας ἐπλήρωσε, τοὺς σὲ Θεοτόκον ἀληθῶς πίστει δοξάζοντας.

Εἶτα τὸ, Ἄξιον ἐστίν.

Καὶ τὰ λοιπὰ ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον μετὰ τὴν α'. στιχ. καθ. ἦχος, πλ. β'.

Τοῦ τάφου ἀνεῳγμένου, τοῦ ᾅδου ὀδυρομένου, ἡ Μαρία ἐβόα πρὸς τοὺς κεκρυμμένους Ἀποστόλους· ἐξέλθετε οἱ τοῦ ἀμπελῶνος ἐργάται, κηρύξατε τὸν τῆς Ἀναστάσεως λόγον· ἀνέστη ὁ Κύριος, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος. Δόξα.

Κύριε παρίστατο τῷ τάφῳ σου, Μαρία ἡ Μαγδαληνὴ, καὶ ἔκλαιε βοῶσα, καὶ κηπουρόν σε νομίζουσα, ἔλεγε· ποῦ ἔθηκας τὴν αἰώνιον ζωήν; ποῦ ἔκρυψας τὸν ἐπὶ θρόνου Χερουβίμ; οἱ γὰρ τοῦτον φυλάσσοντες ἀπὸ τοῦ φόβου ἀπενεκρώθησαν. ἢ τὸν Κύριόν μου δότε μοι, ἢ σὺν ἐμοὶ κραυγάσατε· ὁ ἐν νεκροῖς, καὶ τοὺς νεκροὺς ἀναστήσας δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ Τὴν εὐλογημένην καλέσας σου Μητέρα, ἦλθες ἐπὶ τὸ πάθος ἑκουσίᾳ βουλῇ. λάμψας ἐν τῷ Σταυρῷ, ἀναζητῆσαι θέλων τὸν Ἀδάμ· λέγων τοῖς Ἀγγέλοις, συγχάρητέ μοι, ὅτι εὑρέθη ἡ ἀπολλυμένη δραχμή. ὁ πάντα σοφῶς οἰκονομήσας δόξα σοι.

Μετὰ τὴν β'. στιχ. καθ. ἦχος, ὁ αὐτός.

Ἡ Ζωὴ ἐν τῷ τάφῳ ἀνέκειτο, καὶ σφραγὶς ἐν τῷ λίθῳ ἐπέκειτο. ὡς Βασιλέα ὑπνοῦντα στρατιῶται ἐφύλαττον Χριστόν. καὶ τοὺς ἐχθροὺς αὐτοῦ ἀορασίᾳ πατάξας, ἀνέστη ὁ Κύριος. Δόξα.

Τῷ ἑκουσίῳ θανάτῳ σου, ζωὴν ἀθάνατον εὕρομεν, Παντοδύναμε καὶ μόνε τῶν ὅλων Σωτήρ. σὺ γὰρ ἐν τῇ σεπτῇ σου ἐγέρσει πάντας ἀνεκαλέσω, ὁ λύσας ᾅδου τὸ νῖκος, καὶ θανάτου τὸ κέντρον.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε Παρθένε ἱκέτευε τὸν Υἱόν σου, τὸν ἑκουσίως προσπαγέντα ἐν Σταυρῷ, καὶ ἀναστάντα ἐκ νεκρῶν, Χριστὸν τὸν Θεὸν ἡμῶν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὸν Ἄμωμον, τὰ Εὐλογητάρια, καὶ εὐθὺς ἡ Ὑπακοή. ἦχος, πλ. β'.

Τῷ ἑκουσίῳ καὶ ζωοποιῷ σου θανάτῳ Χριστὲ, πύλας τοῦ ᾅδου συντρίψας ὡς Θεὸς, ἤνοιξας ἡμῖν τὸν πάλαι Παράδεισον, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἐρρύσω ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

Οἱ Ἀναβαθμοί. Ἀντίφωνον, Α'. ἦχος, πλ. β'.

Ἐν τῷ Οὐρανῷ τοὺς ὀφθαλμούς μου αἴρω, πρὸς σὲ Λόγε, οἰκτειρόν με, ἵνα ζῶ σοι.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

Ἐλέησον ἡμᾶς τοὺς ἐξουθενημένους, καταρτίζων εὔχρηστα σκεύη σου Λόγε.

Δόξα.

Ἁγίῳ Πνεύματι, παντοσωστικὴ αἰτία, εἴ τινι τοῦτο κατ᾽ ἀξίαν πνεύσει, τάχει ἐξαίρει τῶν τῆς γῆς, πτεροῖ, αὔξει, τάττει ἄνω.

Καὶ νῦν, τὸ αὐτό. Ἀντίφωνον, Β΄.

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, οὐδεὶς ἡμῶν ἀντιχεῖν ἠδύνατο, ἐχθροῦ παλαίσματι. οἱ νικῶντες γὰρ ἔνθεν ὑψοῦνται.

Τοῖς ὀδοῦσιν αὐτῶν, μὴ μου ληφθήτω ἡ ψυχὴ ὡς στρουθίον Λόγε. οἴμοι πῶς μέλλω τῶν ἐχθρῶν ῥυσθῆναι, φιλαμαρτήμων ὑπάρχων.

Ἁγίῳ Πνεύματι, ἐνθέωσις τοῖς πᾶσιν, εὐδοκία, σύνεσις, εἰρήνη, καὶ ἡ εὐλογία. ἰσουργὸν γὰρ τῷ Πατρί ἐστι καὶ Λόγῳ.

Καὶ νῦν, τὸ αὐτό. Ἀντίφωνον, Γ΄.

Οἱ πεποιθότες ἐπὶ Κύριον, ἐχθροῖς φοβεροὶ, καὶ πᾶσι θαυμαστικοί· ἄνω γὰρ ὁρῶσιν.

Ἐν ἀνομίαις χεῖρας αὐτῶν, ὁ τῶν δικαίων κλῆρος, ἐπίκουρόν σε ἔχων, Σῶτερ οὐκ ἐκτείνει. Δόξα.

Ἁγίῳ Πνεύματι, τὸ κράτος ἐπὶ πάντων, ὅπερ αἱ ἄνω στρατηγίαι προσκυνοῦσι, σὺν πάσῃ πνοῇ τῶν κάτω.

Καὶ νῦν, τὸ αὐτό.

Προκείμενον, Ἦχος, πλ. δ΄.

Κύριε ἐξέγειρον τὴν δυναστείαν σου.

Στ. Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην,

Ἑωθινὸν, ι.

Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς Μαθηταῖς αὐτοῦ.

Τὸ, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν΄. Καὶ εὐθὺς οἱ Κανόνες, ὁ Ἀναστάσιμος μετὰ τῶν Εἱρμῶν, εἰς δ΄. τῆς Ἀναλήψεως, εἰς δ΄. καὶ τῶν Ἁγίων Πατέρων, εἰς ς΄. Κανὼν ὁ Ἀναστάσιμος.

Ὠδὴ, α΄. Ἦχος, πλ. β΄. Ὁ Εἱρμός.

„ Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ, ἐν
„ ἀβύσσῳ ἴχνεσι, τὸν διώκτην Φα-
„ ραὼ, καθορῶν ποντούμενον Θεῷ, ἐπινί-
„ κιον ᾠδὴν ἐβόα ᾄσωμεν.

Ἐκτεταμένας παλάμας ἐπὶ Σταυροῦ, πατρικῆς ἐπλήρωσας, εὐδοκίας ἀγαθὲ, Ἰησοῦ τὰ σύμπαντα διὸ, ἐπινίκιον ᾠδὴν σοι πάντες ᾄσωμεν.

Φόβῳ σοι ὡς θεραπαινὶς ἡ τελευτὴ, προσαχθεῖσα πρόσεισι, τῷ Δεσπότῃ τῆς ζωῆς, δι᾽ αὐτῆς βραβεύοντι ἡμῖν, ἀτελεύτητον ζωὴν καὶ τὴν Ἀνάστασιν.

Θεοτοκίον.

Τὸν ἑαυτῆς δεξαμένη δημιουργὸν, ὡς αὐτὸς ἠθέλησεν, ἐξ ἀσπόρου σου γαστρὸς, ὑπὲρ νοῦν σαρκούμενον Ἁγνὴ, τῶν κτισμάτων ἀληθῶς ἐδείχθης Δέσποινα.

Ἕτερος Κανὼν τῆς Ἀναλήψεως.

Ὠδὴ, α΄. Ἦχος, πλ. α΄. Τῷ Σωτῆρι Θεῷ.

Ἄσωμεν πάντες Λαοὶ, τῷ ἐπὶ ὤμων Χερουβὶμ, ἀναληφθέντι μετὰ δόξης Χριστῷ, καὶ συγκαθίσαντι ἡμᾶς ἐν δεξιᾷ τοῦ Πατρὸς, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Τῷ ὀφθέντι Θεῷ, ἐπὶ τοῦ ὄρους Σινᾶ, καὶ νόμον δόντι τῷ θεόπτῃ Μωσῇ, τῶν Ἐλαιῶν ἐκ τοῦ Ὄρους ἀναληφθέντι σαρκὶ, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Τὸν μεσίτην Θεοῦ, καὶ ἀνθρώπων Χριστὸν, χοροὶ Ἀγγέλων θεασάμενοι, κατὰ σαρκὸς ἐν ὑψίστοις ἐξεπλήττοντο, συμφώνως δὲ ἀνέμελπον, ὕμνον ἐπινίκιον.

Θεοτοκίον.

Χαῖρε Μῆτερ Θεοῦ, τὸν σαρκωθέντα ἐκ σοῦ, καὶ ἐκ τῶν κόλπων τοῦ Γεννήτορος, μὴ ἐκφοιτήσαντα, Θεὸν ἀπαύστως πρέσβευε, ἐκ πάσης περιστάσεως, σῶσαι οὓς ἔπλασεν.

Ἕτερος Κανὼν τῶν Ἁγίων Πατέρων.

Οὗ ἡ ἀκροστιχίς.

Τὸν πρῶτον ὑμνῶ σύλλογον τῶν Ποιμένων.

Ὠδὴ, α΄. Ἦχος, πλ. β΄.

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Τὴν τῶν Ἁγίων Πατέρων ἀνευφημῶν, πανάγιον Σύνοδον, τὸ πανάγιον αὐτῆς, ἐν ἐμοὶ χρησμῴδημα βοῶν, ἱκετεύω σε Χριστὲ διαφυλάττεσθαι.

Οἱ Θεοφόροι Πατέρες ὡς ἀστραπαὶ, συνελθόντες σήμερον, σὲ Χριστὲ μονογενῆ, τῷ Πατρὶ συνάναρχον Υἱὸν, ὡμολόγησαν τρανῶς καὶ ὁμοούσιον.

Νύμφης σου τῆς Ἐκκλησίας οἱ εὐκλεεῖς, νυμφοστόλοι Δέσποτα, τὸν τῆς Πίστεως σαφῶς, ὁρισμὸν ἐκθέμενοι χρυσοῦν,

ὥσπερ

ὥσπερ Κόσμον ἀπρεπῆ, ταύτην ἐκόσμησαν.

Θεοτοκίον.

Πεποικιλμένη τῇ δόξῃ τῇ Θεϊκῇ, καὶ σεπτὴ Βασίλισσα, τῷ Υἱῷ τῷ ἑαυτῆς, καὶ Θεῷ παρίστασαι ἡμῖν, σωτηρίαν ψυχικὴν καθικετεύουσα.

Καταβασία.

Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ. Ἐρρητόρευσε τὸν θεόγραφον νόμον. Γλήμην γὰρ ἐκτινάξας ὄμματος νόου, Ὁρᾷ τὸν ὄντα, καὶ μυεῖται Πνεύματος, Γνῶσιν γεραίρων, ἐνθέοις τοῖς ᾄσμασιν.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Οὐκ ἔστιν Ἅγιος ὡς σύ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν σου ἀγαθέ, καὶ στερεώσας αὐτούς, ἐν τῇ πέτρᾳ τῆς ὁμολογίας σου.

Θεὸν Σταυρούμενον σαρκί, καθορῶσα ἡ Κτίσις, διελύετο φόβῳ, ἀλλὰ τῇ συνεκτικῇ, παλάμῃ τοῦ δι' ἡμᾶς, σταυρωθέντος κραταιῶς συνείχετο.

Θανάτῳ θάνατος λυθείς, κεῖται δείλαιος ἄπνους· τῆς ζωῆς γὰρ μὴ φέρων, τὴν ἔνθεον προσβολήν, νεκροῦται ὁ ἰσχυρός, καὶ δωρεῖται πᾶσιν ἡ ἀνάστασις.

Θεοτοκίον.

Τὸ τοῦ θείου τόκου σου Ἁγνή, πᾶσαν φύσεως τάξιν, ὑπερβαίνει τὸ θαῦμα. Θεὸν γὰρ ὑπερφυῶς, συνέλαβες ἐν γαστρί, καὶ τεκοῦσα, μένεις Ἀειπάρθενος.

Ἄλλος. Δυνάμει τοῦ Σταυροῦ σου.

Ἀνέπτης ζωοδότα Χριστέ, πρὸς τὸν Πατέρα καὶ ἀνύψωσας, ἡμῶν τὸ γένος φιλάνθρωπε, τῇ ἀφάτῳ εὐσπλαγχνίᾳ σου.

Αἱ τάξεις τῶν Ἀγγέλων Σωτήρ, βροτείαν φύσιν θεασάμεναι, συνανιοῦσάν σοι ἀπαύστως, ἐκπληττόμεναι ἀνύμνουν σε.

Ἐξίσταντο Ἀγγέλων χοροί, Χριστὲ ὁρῶντες μετὰ σώματος, ἀναληφθέντα καὶ ἀνύμνουν, τὴν ἁγίαν σου Ἀνάληψιν.

Θεοτοκίον.

Ἱκέτευε ἀπαύστως Ἁγνή, τὸν προελθόντα ἐκ λαγόνων σου, ῥυσθῆναι πλάνης διαβόλου, τοὺς ὑμνοῦντάς σε Μητέρα Θεοῦ.

Ἄλλος. Οὐκ ἔστιν ἅγιος.

Ἴσον καὶ πάθος καὶ τομήν, Ἄρειος ὁ παράφρων, τῇ γεννήσει τῇ θείᾳ, δυσσεβῶς ὁ ἀσεβής, προσάπτων τῷ τμητικῷ, τῶν Πατέρων ξίφει ἀποτέμνεται.

Ὡς πάλαι θεῖος Ἀβραάμ, στρατευόμενοι πάντες, οἱ σεπτοὶ θεηγόροι, τοὺς ἐχθρούς σου Ἀγαθέ, τοὺς μανιώδεις τῇ σῇ, δυναστείᾳ κραταιῶς ἀπώλεσαν.

Τὸ πρῶτον ἄθροισμα τῶν σῶν, κροτηθὲν Ἱερέων, ὁμοούσιον Σῶτερ, σὲ τῷ ἀνάρχῳ Πατρί, καὶ Ποιητῇ τοῦ παντός, γεννηθέντα ἀσεβῶς ἐκήρυξαν.

Θε.

Οὐ θέμις λόγος σε βροτῶν, οὐδὲ γλῶσσα Παρθένε, ἀνυμνεῖν σε ἀξίως. ἐκ σοῦ γὰρ ἄνευ σπορᾶς, ὁ ζωοδότης Χριστός, σαρκωθῆναι Πάναγνε ηὐδόκησεν.

Καταβασία.

Ἔρρηξε γαστρὸς ἠτεκνωμένης πέδας, Ὕβριν τε δυσκάθεκτον ἠτεκνουμένης, Μόνη Προσευχὴ τῆς Προφήτιδος πάλαι, Ἄννης φερούσης πνεῦμα συντετριμμένον, Πρὸς τὸν δυνάστην καὶ Θεὸν τῶν γνώσεων.

Τὸ Κοντάκιον τῆς Ἀναλήψεως. Ἦχος πλ. β'.

Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς Οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε· ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Φωστῆρες ὑπέρλαμπροι, τῆς ἀληθείας Χριστοῦ, τῷ Κόσμῳ ἐδείχθητε, ἐπὶ τῆς γῆς ἀληθῶς, Πατέρες μακάριοι, τήξαντες τὰς αἱρέσεις, τῶν δυσφήμων γλωσσαλγῶν· σβέσαντες τὰς φλογώδεις, τῶν βλασφήμων συγχύσεις. διὸ ὡς Ἱεράρχαι Χριστοῦ, πρεσβεύσατε σωθῆναι ἡμᾶς.

Ἕτερον, Ἦχος ὁ αὐτός.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῶν Νικαέων ἡ λαμπρὰ Πόλις σήμερον, ἐκ πάσης γῆς πρὸς ἑαυτὴν συνεκάλεσε, τριακοσίους δέκα καὶ ὀκτὼ Ἀρχιερεῖς, κατὰ τοῦ λαλήσαντος, βλασφημίαν Ἀρείου, καὶ κατασμικρύναντος, τῆς Τριάδος τὸν ἕνα, Υἱὸν καὶ Λόγον ὄντα τοῦ Θεοῦ· ὃν καθελόντες, τὴν Πίστιν ἐκράτησαν.

Ἕτερον τῆς Ἀναλήψεως. Ὅμοιον.

Ὁ ἀνελθὼν εἰς Οὐρανοὺς μετὰ δόξης, καὶ συγκαθίσας τῷ Πατρὶ δεξιόθεν, οὐ

μηδα-

Δημόσια Κεντρική Βιβλιοθήκη Ζαγοράς Μαγνησίας

μηδαμῶς κεχώρισαι φιλάνθρωπε Χριστέ. Πνεῦμα δὲ τὸ ἅγιον, τοῖς σοφοῖς Μαθηταῖς σου, πέμπειν ὑποσχόμενος, καὶ ἡμῶν καταυγάσας, τὰς διανοίας δίδου φωτισμὸν, ὡς ἂν ἀπαύστως ὑμνῶμέν σε Δέσποτα.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Χριστός μου δύναμις, Θεὸς καὶ Κύριος, ἡ σεπτὴ Ἐκκλησία θεοπρεπῶς, μέλπει ἀνακράζουσα, ἐκ διανοίας καθαρᾶς, ἐν Κυρίῳ ἑορτάζουσα.

Τὸ ξύλον ἤνθησε, Χριστὲ τῆς ὄντως ζωῆς. ὁ Σταυρὸς γὰρ ἐπάγη καὶ ἀρδευθεὶς, Αἵματι καὶ Ὕδατι, ἐξ ἀκηράτου σου Πλευρᾶς, τὴν ζωὴν ἡμῖν ἐβλάστησεν.

Οὐκ ἔτι ὄφις μοι ψευδῶς, τὴν θέωσιν ὑποβάλλει. Χριστὸς γὰρ ὁ Θεουργὸς, τῆς ἀνθρώπων φύσεως, νῦν ἀκωλύτως τὴν τρίβον, τῆς ζωῆς μοι ἀνεπέτασεν.

Θεοτοκίον.

Ὡς ὄντως ἄφθεγκτα, καὶ ἀκατάληπτα, τὰ τῆς σῆς Θεοτόκε θεοπρεπῶς, πέφυκε κυήσεως, τοῖς ἐν γῇ καὶ Οὐρανῷ, Ἀειπάρθενε μυστήρια.

Ἄλλος. Εἰσακήκοα Κύριε.

Ἀνελήφθης ἐν δόξῃ, ὁ τῶν Ἀγγέλων Βασιλεὺς, τὸν Παράκλητον ἡμῖν ἐκ τοῦ Πατρὸς ἀποστέλλων. διὸ βοῶμεν· δόξα Χριστὲ τῇ Ἀναλήψει σου.

Ὡς ἀνῆλθεν ὁ Σωτὴρ, πρὸς τὸν Πατέρα σὺν σαρκὶ, κατεπλάγησαν αὐτῷ, αἱ τῶν Ἀγγέλων στρατιαὶ, καὶ ἐβόησαν· δόξα Χριστὲ τῇ Ἀναλήψει σου.

Αἱ τῶν ἄνω Δυνάμεις, ταῖς ἀνωτέραις ἐβόων· πύλας ἄρατε Χριστῷ, τῷ ἡμετέρῳ Βασιλεῖ· ὃν ἀνυμνοῦμεν, ἅμα σὺν Πατρὶ καὶ τῷ Πνεύματι. Θεοτοκίον.

Ἡ Παρθένος ἔτεκε, καὶ τὰ Μητέρων οὐκ ἔγνω, ἀλλὰ Μήτηρ μένει ὅτι, Παρθένος δὲ διέμεινεν· ἣν ἀνυμνοῦντες, χαῖρε Θεοτόκε κραυγάζομεν.

Ἄλλος. Χριστός μου δύναμις.

Νοθεύσας Ἄρειος, φρενὶ ἀγνώμονι, τὴν ὀρθόδοξον Πίστιν ταῖς πατρικαῖς, ψήφοις ἐξωστράκισται, τῆς Ἐκκλησίας σεσηπὸς, ὥσπερ μέλος ὁ δυσώνυμος.

Ὑπὲρ σοῦ Δέσποτα ἀγωνιζόμενος, ὁ χορὸς τῶν Πατέρων σου τοὺς ἐχθροὺς, ἄγαν ἐστομώσατο, καὶ συμφυῆ σε τῷ Πατρὶ, καὶ τῷ Πνεύματι ἐδόξασε.

Μεσίτης γέγονας, Θεὸς καὶ ἄνθρωπος, τοῦ Θεοῦ καὶ ἀνθρώπων. ὅθεν Χριστὲ, δυσὶ σε ταῖς φύσεσιν, ἕνα γνωρίζοντες Υἱὸν, οἱ Θεόφρονες ἐκήρυξαν. Θεοτοκίον.

Νεκρόν με ἔδειξε, φυτοῦ ἀπόγευσις. τῆς ζωῆς δὲ τὸ ξύλον ἐκ σοῦ φανὲν, πάναγνε ἀνέστησε, καὶ Παραδείσου τῆς τρυφῆς, κληρονόμον με κατέστησε.

Καταβασία.

Ἄναξ ἀνάκτων, οἷος ἐξ οἵου μόνος, Λόγος προελθὼν, Πατρὸς ἐξ ἀναιτίου, Ἰσοσθενές σου Πνεῦμα τοῖς Ἀποστόλοις· Νημερτὲς ἐξέπεμψας ὡς εὐεργέτης. Ἄδουσι δόξα τῷ κράτει σου Κύριε.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Τῷ θείῳ φέγγει σου ἀγαθὲ, τὰς τῶν ὀρθριζόντων σοι ψυχὰς, πόθῳ καταύγασον δέομαι, σὲ εἰδέναι Λόγε Θεοῦ, τὸν ὄντως Θεὸν, ἐκ ζόφου τῶν πταισμάτων ἀνακαλούμενον.

Ὑποχωρεῖ μοι τὰ Χερουβὶμ, νῦν καὶ ὁ φλογίνη ῥομφαία, Δέσποτα, νῶτά μοι δίδωσι, σὲ ἰδόντα Λόγε Θεοῦ, τὸν ὄντως Θεὸν, ληστῇ ὁδοποιήσαντα τὸν Παράδεισον.

Οὐκ ἔτι δέδοικα τὴν εἰς γῆν, Δέσποτα Χριστὲ ἀποστροφήν. σὺ γὰρ ἐκ γῆς με ἀνήγαγες, ἐπιλελησμένον δι' εὐσπλαγχνίαν πολλὴν, πρὸς ὕψος ἀφθαρσίας τῇ ἀναστάσει σου. Θεοτοκίον.

Τοὺς Θεοτόκον σε ἐκ ψυχῆς, Δέσποινα τοῦ Κόσμου ἀγαθὴ, ὁμολογοῦντας διάσωσον· σὲ γὰρ προστασίαν ἀκαταμάχητον, κεκτήμεθα τὴν ὄντως Θεογεννήτριαν.

Ἄλλος. Ὀρθρίζοντες βοῶμέν σοι.

Πληρώσας εὐφροσύνης τὰ σύμπαντα, ἐλεήμων, ταῖς ἄνω Δυνάμεσι, μετὰ σαρκὸς ἐπεδήμησας.

Ἀγγέλων αἱ Δυνάμεις αἰρόμενον, σὲ ἰδοῦσαι τὰς πύλας ἐκραύγαζον· τῷ Βασιλεῖ ἡμῶν ἄρατε.

Ἀπόστολοι ἰδόντες ὑψούμενον, τὸν Σωτῆρα, ἐν τρόμῳ ἐκραύγαζον· τῷ Βασιλεῖ ἡμῶν δόξα σοι. Θεοτοκίον.

Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε, Θεοτόκε. σὺ γὰρ τὸν Θεὸν Λόγον, σαρκὶ τῷ Κόσμῳ ἐκύησας.

Ἄλλος.

Ἄλλος. Τῷ θείῳ φέγγει σου.

Ὡραῖοι πόδες ὡς ἀληθῶς, νῦν κηρυττόντων σε τὴν εἰρήνην, τὴν πάντα νοῦν ὑπερέχουσαν, πάντων τῶν Ἀγγέλων, καὶ τῶν ἀνθρώπων Χριστὲ, καὶ πλήθει τῆς εἰρήνης Κόσμον συνάπτουσαν.

Σοφίαν δύναμιν τοῦ Πατρὸς, Λόγον ἐνυπόστατον Χριστὲ, σὲ συνελθόντες ἐκήρυξαν, οἱ τῆς Παναγίας Ἱερωσύνης σεπτῶς, τῷ νόμῳ σφραγισθέντες θεῖοι Διδάσκαλοι.

Ὑδάτων νάματα καθαρὰ, τῆς διδασκαλίας, τὴν ὀρθόδοξον Ἐκκλησίαν ποτίσαντες, ἐπὶ τῶν ὑδάτων τῆς ἀναπαύσεως, νῦν τρυφᾶτε δι' αἰῶνος ἀγαλλιώμενοι.

Θεοτοκίον.

Λυχνίαν πάναγνε φαεινὴν, πᾶσιν ἀπαυγάζουσαν Χριστὸν, Δικαιοσύνης τὸν Ἥλιον, σὲ εἰδότες, μόνη Θεογεννήτωρ Ἁγνὴ, τὴν σὴν νῦν προστασίαν ἐπικαλούμεθα.

Καταβασία.

Λυτήριον κάθαρσιν ἀμπλακημάτων. Πυρίπνοον δέξασθε Πνεύματος δρόσον. Ὦ τέκνα φωτόμορφα τῆς Ἐκκλησίας. Νῦν ἐκ Σιὼν γὰρ ἐξελήλυθε νόμος. Ἡ γλωσσοπυρσόμορφος Πνεύματος χάρις.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

Τὸν βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμὼν, βοῶ σοι· ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου πολυέλεε.

Σταυρούμενος Δέσποτα, τοῖς μὲν Ἥλοις τὴν ἀρὰν, τὴν καθ' ἡμῶν ἐξήλειψας, τῇ δὲ λόγχῃ νυττόμενος τὴν πλευρὰν, Ἀδὰμ τὸ χειρόγραφον, διαῤῥήξας τὸν Κόσμον ἠλευθέρωσας.

Ἀδὰμ κατενήνεκται, δι' ἀπάτης πτερνισθεὶς, πρὸς τὸ τοῦ ᾅδου βάραθρον. ἀλλ' ὁ φύσει Θεός τε καὶ συμπαθὴς, ἰδοὺ κατῆλθες πρὸς ἔρευναν, καὶ ἐπ' ὤμων βαστάσας συνανέστησας.

Θεοτοκίον.

Ἡ Πάναγνος Δέσποινα, ἡ τεκοῦσα τοῖς βροτοῖς, τὸν κυβερνήτην Κύριον, τῶν παθῶν μου τὸν ἄστατον καὶ δεινὸν, κατεύνασον τάραχον, καὶ γαλήνην παράσχου τῇ καρδίᾳ μου.

Ἄλλος. Ἐκύκλωσέ με.

Ἐσκίρτησαν Ἀπόστολοι, ὁρῶντες μετάρσιον σήμερον, τὸν Κτίστην αἰρόμενον, ἐλπίδι τοῦ Πνεύματος, καὶ φόβῳ ἔκραζον· δόξα τῇ ἀνόδῳ σου.

Ἐπέστησαν οἱ Ἄγγελοι, βοῶντες Χριστὲ τοῖς Μαθηταῖς σου· ὃν τρόπον κατίδετε, Χριστὸν ἀνερχόμενον, σαρκὶ ἐλεύσεται, δίκαιος πάντων Κριτής.

Ὡς εἶδόν σε Σωτὴρ ἡμῶν, Δυνάμεις αἱ Οὐράνιαι, εἰς ὕψος αἰρόμενον σύσσωμον, ἐκραύγαζον λέγουσαι· μεγάλη Δέσποτα, ἡ φιλανθρωπία σου. Θτ.

Βάτον σε ἀκατάφλεκτον, καὶ ὄρος καὶ κλίμακα ἔμψυχον, καὶ πύλην Οὐράνιον, ἀξίως δοξάζομεν, Μαρία ἔνδοξε, ὀρθοδόξων καύχημα.

Ἄλλος. Τοῦ βίου τὴν θάλασσαν.

Λαθεῖν οὐ δεδύνηται, ζιζανίων ὁ σπορεὺς, τὸ τῆς προνοίας ἄφατον, τῆς μανίας ἐπώνυμος ὁ κληθείς. Ἰούδαν ζηλώσας γὰρ, ὡς ἐκεῖνος ἐῤῥάγη ὁ παμπόνηρος.

Ὁ θεῖος κατάλογος, τῶν Πατέρων ὁ σεπτὸς, μονογενὲς ἀπαύγασμα, τῆς οὐσίας ἐκλάμψαν τῆς Πατρικῆς, κηρύττει σε Δέσποτα, καὶ πρὸ πάντων αἰώνων γεννηθέντα Υἱόν.

[…]Ἀστὴρ διαῤῥήγνυται, μετὰ λόγον ἡ πηγὴ, τὴν θολερὰν καὶ ἄποτον, αἱρέσεων πηγάσασα δυσσεβῶν, ἀρότρῳ δεήσεως, Ἱερέων ἐνθέων προμηθέστατα.

Θεοτοκίον.

Ὁ Μέγας προέγραψεν, ἐν Προφήταις Μωϋσῆς, σὲ κιβωτὸν καὶ τράπεζαν, καὶ λυχνίαν, καὶ στάμνον συμβολικῶς, σημαίνων τὴν Σάρκωσιν, τὴν ἐκ σοῦ τοῦ Ὑψίστου Μητροπάρθενε.

Καταβασία.

Ἱλασμὸς ἡμῖν Χριστὲ καὶ Σωτηρία. Ὁ Δεσπότης ἔλαμψας ἐκ τῆς Παρθένου, ἵν' ὡς Προφήτην θῆρος ἐκ θαλαττίου στέρνων Ἰωνᾶν τῆς φθορᾶς διαρπάσῃς. Ὅλον τὸν Ἀδὰμ παγγενῆ πεπτωκότα.

Κοντάκ. ἦχος πλ. δ'. Ὡς ἀπαρχάς.

Τῶν Ἀποστόλων τὸ κήρυγμα, καὶ τῶν Πατέρων τὰ δόγματα, τῇ Ἐκκλησίᾳ μίαν τὴν Πίστιν ἐκράτυνε, ἣ καὶ χιτῶνα φοροῦσα τῆς ἀληθείας, τὸν ὑφαντὸν ἐκ τῆς

ἄνω

ΑΝΑΓΝΩΣΤΙΚΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας

ἄνω Θεολογίας, ὀρθοτομεῖ καὶ δοξάζει, τῆς ἀσεβείας τὸ μέγα μυστήριον.

Ὁ Οἶκος.

ΕΝ ὑψηλῷ κηρύγματι τῆς τοῦ Θεοῦ Ἐκκλησίας, ἀκούσωμεν βοώσης· ὁ διψῶν ἐρχέσθω καὶ πινέτω. ὁ κρατὴρ ὃν φέρω, κρατήρ ἐστι τῆς σοφίας. τούτου τὸ πόμα ἀληθείας λόγῳ κεκέρακα, ὕδωρ οὐ προχέων ἀντιλογίας, ἀλλ' ὁμολογίας. ἧς πίνων ὁ νῦν Ἰσραὴλ Θεὸν ὁρᾷ φθεγγόμενον· ἴδετε, ἴδετε, ὅτι αὐτὸς ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι. ἐγὼ Θεὸς πρῶτος, ἐγὼ καὶ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ ἄλλος οὐκ ἔστιν ὅλως. ἐντεῦθεν οἱ μετέχοντες, πλησθήσονται, καὶ αἰνέσουσι τῆς εὐσεβείας τὸ μέγα μυστήριον.

Συναξάριον τῇ Κυριακῇ τῶν Ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ Θεοφόρων Πατέρων τῶν ἐν Νικαίᾳ.

Φωστήρων ὁμήγυρις ἐκλελεγμένη,
Ἀκτινοειδεῖς φωτίσατέ μοι φρένας.
Ξένον τὸν Υἱὸν Πατρὸς οὐσίας λέγων,
Ἄρειος ἦν τῆς Θεοῦ δόξης ξένος.

ΤΗι αὐτῇ ἡμέρᾳ Κυριακῇ ἑβδόμῃ ἀπὸ τοῦ Πάσχα, τὴν ἐν Νικαίᾳ πρώτην Σύνοδον ἑορτάζομεν, τῶν τριακοσίων δέκα καὶ ὀκτὼ Θεοφόρων Πατέρων, δι' αἰτίαν τοιαύτην. Ἐπειδὴ γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν καθ' ἡμᾶς φορέσας σάρκα, τὴν οἰκονομίαν ἅπασαν ἀῤῥήτως ἐνήργησε, καὶ πρὸς τὸν Πατρῷον ἀποκατέστη Θρόνον, θέλοντες δεῖξαι οἱ Ἅγιοι, ὅτι ἀληθῶς ὁ Υἱὸς τοῦ Θεοῦ ἐγένετο ἄνθρωπος, καὶ τέλειος ἄνθρωπος ἀνελήφθη Θεὸς, καὶ ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, ἡ Σύνοδος αὕτη τῶν ἁγίων Πατέρων οὕτως αὐτὸν ἀνεκήρυξε, καὶ ἀνωμολόγησεν, ὁμοούσιον καὶ ὁμότιμον τῷ Πατρί. τούτῳ τῷ λόγῳ μετὰ τὴν ἔνδοξον Ἀνάληψιν, τὴν παροῦσαν ἐθέσπισαν Ἑορτήν· ὡσανεὶ τὸν σύλλογον τῶν τοσούτων Πατέρων προβιβάζοντες, τοῦτον δὴ τὸν ἐν σαρκὶ ἀναληφθέντα Θεὸν ἀληθινὸν, καὶ ἐν σαρκὶ τέλειον ἄνθρωπον ἀνακηρύττοντες. Ἡ δὲ Σύνοδος αὕτη γέγονεν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου, ἐν τῷ εἰκοστῷ ἔτει τῆς Βασιλείας αὐτοῦ. Τοῦ γὰρ διωγμοῦ παυσαμένου, οὗτος ἐν Ῥώμῃ πρότερον ἄρχει. μετέπειτα δὲ καὶ τὴν πανευδαίμονα Πόλιν τὴν ἑαυτῷ ἐπώνυμον κτίσας, ἔτει ἀπὸ κτίσεως Κόσμου πεντακισχιλιοστῷ ὀκτακοσιοστῷ τριακοστῷ ὀγδόῳ, τὰ κατὰ τὸν Ἄρειον ἤρξατο. ὃς ὥρμητο μὲν ἐκ Λιβύης· εἰς Ἀλεξάνδρειαν δὲ γενόμενος, καὶ Διάκονος ὑπὸ τοῦ ἁγίου Ἱερομάρτυρος Πέτρου Ἀρχιεπισκόπου Ἀλεξανδρείας χειροτονηθεὶς. ἐπειδὴ βλασφημεῖν κατὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ ἤρξατο, κτίσμα τοῦτον ἀνακηρύττων, ἐξ οὐκ ὄντων τε γενέσθαι, καὶ πόῤῥω ὄντα τῆς θεϊκῆς ἀξίας, καταχρηστικῶς δὲ Σοφίαν καὶ Λόγον Θεοῦ λέγεσθαι, ὡς δῆθεν ἀντικαθιστάμενος Σαβελλίῳ τῷ δυσσεβεῖ, μονοπρόσωπον καὶ μονοϋπόστατον λέγοντι τὴν Θεότητα. καὶ ποτὲ μὲν Πατέρα γίνεσθαι, ποτὲ δὲ Υἱὸν, ποτὲ δὲ Πνεῦμα Ἅγιον. Ταῦτα δὴ τὸν Ἄρειον βλασφημοῦντα, ὁ μέγας Πέτρος τῆς Ἱερωσύνης ἀφίστησι, τὸν Χριστὸν ὡς βρέφος ἐπὶ τοῦ ἁγίου Θυσιαστηρίου ἰδὼν διεῤῥωγὸς ἀναβεβλημένον ἱμάτιον, καὶ λέγοντα· τὸν Ἄρειον διαῤῥῆξαι αὐτό. Ἀχιλλᾶς δὲ ὁ μετὰ Πέτρον ἀρχιερατεύσας τῆς Ἀλεξάνδρου, ἐπὶ ὑποσχέσει λύει πάλιν τὸν Ἄρειον. πρόσδε καὶ Πρεσβύτερον χειροτονεῖ, καὶ τοῦ κατ' Ἀλεξάνδρειαν διδασκαλείου προΐστησι. Τοῦ δὲ Ἀχιλλᾶ τελευτήσαντος, Ἀλέξανδρος γίνεται. ὃς τὸν Ἄρειον πάλιν τὰ αὐτὰ καὶ χείρονα βλασφημοῦντα ὁρῶν, τῆς Ἐκκλησίας ἐξέωσε, διὰ Συνόδου αὐτὸν καθελών. ὡς δέ φησι Θεοδώρητος, ὅτι καὶ τρεπτῆς φύσεως τὸν Χριστὸν ἐδογμάτισε. καὶ τὸ ἄνουν καὶ ἄψυχον ἀνειληφέναι σάρκα τὸν Κύριον, πρῶτος οὗτος ἠράξατο. Ὁ μέντοι Ἄρειος πολλοὺς τῇ αὐτοῦ δυσσεβείᾳ ὑπαγαγὼν γράφει, καὶ οἰκειοῦται τὸν Νικομηδείας Εὐσέβιον, τὸν Τύρου Παυλῖνον, Εὐσέβιόν τε τὸν Καισαρείας, καὶ ἄλλους, καὶ κατὰ τοῦ Ἀλεξάνδρου χωρεῖ. Ὁ δ' Ἀλέξανδρος ἁπανταχοῦ τῆς Οἰκουμένης τὰς βλασφημίας ἐκείνου καὶ τὴν καθαίρεσιν πέμψας, πολλοὺς πρὸς ἄμυναν ἤγειρε. Τῆς οὖν Ἐκκλησίας ταραττομένης, καὶ πολλῶν δεομένων τὰ Χριστιανῶν δέχεσθαι· ἐπερχομένων δὲ τῇ φιλονεικίᾳ τοῦ δόγματος, ὁ μέγας Κωνσταντῖνος ἁπανταχοῦ τῆς Οἰκουμένης δημοσίοις ὀχήμασι τοὺς παρόντας Πατέρας συναγαγὼν ἐν Νικαίᾳ, ἐκεῖσε καὶ αὐτὸς παραγίνεται. Καὶ δὴ τῶν Πατέρων

παν-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

πάντων καθισάντων, προτραπεὶς καὶ αὐτὸς ἐκάθισεν, οὐκ ἐν Βασιλικῷ θρόνῳ, ἀλλ᾽ ἐν ὑφειμένῳ τῆς ἀξίας καθίσματι. καὶ τῶν κατὰ τὸν Ἄρειον λαληθέντων, ἀναθέματι μὲν ἐκεῖνος, καὶ οἱ ἐκείνῳ συμφρονοῦντες ἅπαντες ὑποβάλλονται. Ὁ δὲ τοῦ Θεοῦ Λόγος παρὰ τῶν Ἁγίων Πατέρων Ὁμοούσιος καὶ ὁμότιμος καὶ συνάναρχος ἀνακηρύττεται τῷ Πατρί. Ἐκτιθέασι δὲ οὗτοι καὶ τὸ τῆς Πίστεως ἅγιον Σύμβολον, ἀναγόντες αὐτὸ μέχρι τοῦ, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον· τὸ γὰρ ἑξῆς, ἡ δευτέρα ἀνεπλήρωσε Σύνοδος. Ἐκύρωσε δὲ πρὸς τούτοις ἡ πρώτη Σύνοδος καὶ τὴν τοῦ Πάσχα Ἑορτὴν πότε, καὶ πῶς δεῖ ἡμᾶς αὐτὴν ἐκτελεῖν, καὶ μὴ μετὰ Ἰουδαίων, ὥσπερ ἦν πρότερον ἔθιμον. Ἐκτιθέασι δὲ καὶ Κανόνας περὶ Ἐκκλησιαστικῆς καταστάσεως εἴκοσι. Τὸ δὲ ἅγιον τῆς Πίστεως Σύμβολον ὁ μέγας καὶ Ἰσαπόστολος Κωνσταντῖνος, ὕστερος πάντων ἐρυθροῖς ἐπεκύρωσε γράμμασιν. Ἦσαν δὲ Ἀρχιερεῖς μὲν τῶν ἁγίων τούτων Πατέρων, διακόσιοι τριάκοντα καὶ δύω. Ἱερεῖς δὲ καὶ Διάκονοι, πρὸς δὲ καὶ Μονάζοντες, ὀγδοήκοντα καὶ ἕξ, οἱ σύμπαντες δὲ, τριακόσιοι δέκα καὶ ὀκτώ. Οἱ δ᾽ ἐπισημότεροι ἦσαν οὗτοι. Σίλβεστρος ὁ τῆς Ῥώμης Ἀρχιερεὺς, Μητροφάνης Κωνσταντινουπόλεως ἀσθενῶν, οὗτοι δὴ παρῆσαν διὰ Τοποτηρητῶν. Ἀλέξανδρος ὁ Ἀλεξανδρείας, σὺν Ἀθανασίῳ τῷ μεγάλῳ, Ἀρχιδιακόνῳ τότε ὑπάρχοντι. Εὐστάθιος ὁ Ἀντιοχείας, καὶ Μακάριος Ἱεροσολύμων· ὁ Ὅσιος Κουδρούβης Ἐπίσκοπος· Παφνούτιος ὁ ὁμολογητής· ὁ μυροβλύτης Νικόλαος, καὶ Σπυρίδων ὁ Τριμυθοῦντος, ὃς τὸν ἐκεῖσε Φιλόσοφον καταβαλὼν, ἐβάπτισε, τὸ τρισήλιον αὐτῷ ὑποδείξας. Ἐν τῷ μεταξὺ δὲ τῆς Συνόδου δύω πρὸς Θεὸν μεταστάντων Πατέρων Ἀρχιερέων, ὁ μέγας Κωνσταντῖνος τοῖς αὐτῶν κιβωτίοις τὸν ὅρον τῆς ἁγίας Συνόδου ἐνθέμενος, καὶ ἀσφαλῶς περικλείσας, εὗρεν ἐκεῖνον καὶ παρ᾽ αὐτῶν κυρωθέντα τε καὶ ὑπογραφέντα ἀῤῥήτοις λόγοις Θεοῦ. Τελεσθείσης δὲ τῆς Συνόδου, ἐπεὶ καὶ ἡ Πόλις ἤδη ἀνοικοδομηθεῖσα πεπλήρωτο, μετακαλεῖται Κωνσταντῖνος ὁ μέγας τοὺς Ἁγίους ἐκείνους ἅπαντας ἄνδρας· οἳ καὶ περιελθόντες σύμπαντες, καὶ εὐξάμενοι, ταύτην ἀνενδότως Βασιλεύουσαν εἶναι τῶν Πόλεων προσεκύρωσαν· καὶ τῇ Μητρὶ τοῦ Λόγου ταύτην ἀνέθεντο, τοῦ Βασιλέως κελεύσαντος. Καὶ οὕτως οἱ Ἅγιοι ἕκαστος οἴκαδε ἀνεχώρησαν. Ἀλλὰ μήπω τοῦ μεγάλου πρὸς Θεὸν ἐκδημήσαντος Κωνσταντίνου, σὺν τῷ Υἱῷ δὲ αὐτοῦ Κωνσταντίῳ τὰ σκῆπτρα διέποντος, ὁ Ἄρειος τῷ Βασιλεῖ πρόσεισι, λέγων· καταλιπεῖν ἅπαντα, καὶ τῇ Ἐκκλησίᾳ ἑνωθῆναι θέλειν Θεοῦ. γράψας τοίνυν τὰς αὐτοῦ βλασφημίας, ἀπῃώρησε τοῦ τραχήλου. καὶ ὡς δῆθεν τῇ Συνόδῳ πειθόμενος, ἐκεῖνα τῇ χειρὶ περικρούων, τούτοις ἔλεγε πείθεσθαι. ἀμέλει καὶ ὁ Βασιλεὺς, δέξασθαι εἰς κοινωνίαν τὸν Ἄρειον τῷ Πατριάρχῃ τῆς Κωνσταντινουπόλεως ἐνεκελεύετο. Ἦν δὲ τότε μετὰ Μητροφάνην, Ἀλέξανδρος, ὃς τὸ δύστροπον εἰδὼς τοῦ ἀνδρὸς, ἀμφιβάλλων ἦν. καὶ δεόμενος τοῦ Θεοῦ δεῖξαι αὐτῷ, εἰ κατὰ γνώμην αὐτοῦ κοινωνήσει Ἀρείῳ. ἐπεὶ δ᾽ ὁ καιρὸς ἐπέστη, καθ᾽ ὃν ἔδει συλλειτουργῆσαι αὐτῷ, θερμοτέρως γίνεται τῆς Προσευχῆς. Ὁ δὲ Ἄρειος περὶ τὴν Ἐκκλησίαν ἐρχόμενος, περὶ τὸν κίονα τοῦ φόρου νυξάσης αὐτὸν τῆς γαστρὸς, εἰς δημόσιον ἀπόπατον εἴσεισι. κἀκεῖσε διαῤῥαγεὶς, σύμπασαν τὴν ἔνδοθεν πλάσιν κάτωθεν ἐξερεύγεται· τὴν τοῦ Ἰούδα ῥῆξιν ὑποστὰς, ἐπ᾽ ἴσῃ προδοσίᾳ τοῦ Λόγου, καὶ τὸν Υἱὸν τοῦ Θεοῦ τῆς Πατρικῆς οὐσίας ἀποῤῥηγνὺς, αὐτὸς διαῤῥήγνυται νεκρὸς εὑρεθείς. Καὶ οὕτως ἡ τοῦ Θεοῦ Ἐκκλησία τῆς ἐκείνου λύμης ἀπήλλακται. Ταῖς τῶν Ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ Θεοφόρων Πατέρων πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς.

### Ὠδὴ ζʹ. Ὁ Εἱρμός.

Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο, ,,
Ἄγγελος τοῖς Ὁσίοις Παισί. τοὺς ,,
Χαλδαίους δὲ καταφλέγον πρόσταγμα Θεοῦ, ,,
τὸν τύραννον ἔπεισε βοᾶν· εὐλογητὸς εἶ ὁ ,,
Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. ,,

Ὀδυρόμενος τῷ πάθει σου ὁ Ἥλιος, ζόφον περιεβάλλετο, καὶ ἐν ἡμέρᾳ ἐπὶ πᾶσαν Δέσποτα τὴν γῆν, τὸ φῶς συνεσκότασε βοᾶν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἠμφιάσατο Χριστὲ τῇ καταβάσει σου, φέγγος τὰ καταχθόνια, ὁ Προπάτωρ δὲ θυμηδίας ἔμπλεως ὀφθεὶς, χορεύων ἐσκίρτησε βοῶν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τριαδικόν.

Τὴν Βασιλίδα καὶ πάντων κυριεύουσαν, φύσιν τὴν τρισυπόστατον, ἀγαθότητος, καὶ ἀπείρου πέλαγος φωτὸς, ὑμνοῦντες βοήσωμεν Πιστοί· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Ὁ ἐν καμίνῳ πυρός.

Ἐν νεφέλῃ φωτὸς, ἀναληφθεὶς καὶ σώσας Κόσμον, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἐπὶ τῶν ὤμων Χριστὲ, τὴν πλανηθεῖσαν ἄρας φύσιν, ἀναληφθεὶς, τῷ Θεῷ καὶ Πατρὶ προσήγαγες.

Ἀνελθὼν ἐν σαρκὶ, πρὸς τὸν ἀσώματον Πατέρα, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τὴν νεκρωθεῖσαν ἡμῶν, τῇ ἁμαρτίᾳ φύσιν ἄρας, τῷ σῷ ἰδίῳ Πατρὶ Σῶτερ προσήγαγες.

Ἄλλος. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἐνικήσατε μανίας τὸν ἐπώνυμον, Ἄρειον τὸν μανέντα δεινῶς, καὶ λαλήσαντα εἰς τὸ ὕψος ἄδικα Θεοῦ. Υἱῷ γὰρ ἠρνήσατο βοᾶν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τὸν Υἱὸν βροντῆς μιμούμενοι θεσπέσιοι, Λόγον Πατρὶ συνάναρχον, καὶ ὁμόθρονον, πυριμόρφοις στόμασιν ὑμῶν, τοὺς πάντας διδάσκετε βοᾶν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς ὑπόπτεροι τῷ Λόγῳ βοηθήσαντες, ἥκετε θεομακάριστοι. Οἰκουμένης γὰρ, ἐκ περάτων ἤθροισεν ὑμᾶς, τὸ Πνεῦμα τὸ ἅγιον βοᾶν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Νεανίας τρεῖς ἡ κάμινος οὐκ ἔφλεξε, γέννησιν προτυποῦσα τὴν σήν. τὸ γὰρ θεῖον πῦρ σε μὴ φλέξαν ᾤκησεν ἐν σοὶ, καὶ πάντας ἐφώτισε βοᾶν· εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Καταβασία.

,, Σύμφωνον ἐθράνησεν ὀργάνων μέλος,
,, Σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέ-
,, τας. Ἡ τοῦ Παρακλήτου δὲ φωσφόρος χά-
ρις, Σεβασμιάζειν τῇ βοᾷ Τριὰς μόνη, ,,
Ἰσοσθενὴς, ἄναρχε, εὐλογητὸς εἶ. ,,

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας, ,,
καὶ δικαίου θυσίαν ὕδατι ἔφλεξας· ἅπαν- ,,
τα γὰρ δρᾷς, Χριστὲ, μόνον τῷ βούλεσθαι, ,,
ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. ,,

Ἰουδαίων τὸν πάλαι προφητοκτόνον Λαὸν, θεοκτόνον ὁ φθόνος νῦν ἀπειργάσατο, σὲ τὸν Σταυρῷ ἀναρτήσαντα, Λόγε Θεοῦ, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὑγρὰς ἀψῖδας οὐ καταλέλοιπας, καὶ εἰς Ἅδου φοιτήσας ὅλον συνήγειρας, κείμενον Χριστὲ, ἐν σαπρίᾳ τὸν ἄνθρωπον· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἐκ φωτὸς φωτοδότην Λόγον συνέλαβες, καὶ τεκοῦσα ἀφράστως τὸν ὑπερούσιον. Πνεῦμα γὰρ ἐν σοὶ, Κόρη θεῖον ἐσκήνωσεν· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων.

Τὸν ἐν δυσὶ ταῖς οὐσίαις, ἀναπτάντα ζωοδότην Χριστὸν, εἰς Οὐρανοὺς μετὰ δόξης, καὶ Πατρὶ συγκαθεζόμενον, Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐκ δουλείας τὴν Κτίσιν, τῶν εἰδώλων λυτρωσάμενον, καὶ παραστήσαντα ταύτην, ἐλευθέραν τῷ ἰδίῳ Πατρὶ, σὲ Σωτὴρ ὑμνοῦμεν, καὶ σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν τῇ αὐτοῦ καταβάσει, καθελόντα τὸν ἀντίπαλον, καὶ τῇ αὐτοῦ ἀναβάσει, ἀνυψώσαντα τὸν ἄνθρωπον, Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Τῶν Χερουβὶμ ὑπερτέρα, ἀνεδείχθης Θεοτόκε Ἁγνὴ, ἐν τῇ γαστρί σου τὸν τούτοις, ἐποχούμενον βαστάσασα· ὃν σὺν Ἀσωμάτοις, βροτοὶ δοξολογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Τρωθέντες ἀκτῖσι τῆς σῆς Θεότητος, οἱ χρηστοί σου ποιμένες σὲ ὡμολόγησαν, γενεσιουργὸν τῶν ἁπάντων καὶ Κύριον· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ὁ Χορὸς τῶν ποιμένων ὁ παναοίδιμος, ἀθροισθεὶς θεοφρόνως, Τριάδα ἄκτιστον, μίαν θεολογῶν πάντας διδάσκει βοᾷν· σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἱεράρχαι ποιμένες οἱ ἀξιάγαστοι, τὴν Χριστοῦ Ἐκκλησίαν καταφωτίζουσιν, ἄλλοι ἀλλαχοῦ ταύτην καταφαιδρύναντες, καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Μυστικῶς ἐν εἰκόσι προεθεάσαντο, οἱ Προφῆταί σε πάντες Λόγον κυήσασαν· σάρκα γὰρ ἐκ σοῦ λαβὼν οὗτος προῆλθε διπλοῦς, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία.

Λύει τὰ δεσμὰ, καὶ δροσίζει τὴν φλόγα, Ὁ τρισσοφεγγὴς τῆς Θεαρχίας τύπος· ὑμνοῦσι Παῖδες, εὐλογεῖ δὲ τὸν μόνον, Σωτῆρα καὶ παντουργὸν ὡς εὐεργέτην, Ἡ δημιουργηθεῖσα σύμπασα Κτίσις.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον· ὃν οὐ τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τάγματα· διὰ σοῦ δὲ Πάναγνε ὡράθη βροτοῖς, Λόγος σεσαρκωμένος, ὃν μεγαλύνοντες, σὺν ταῖς Οὐρανίαις στρατιαῖς σὲ μακαρίζομεν.

Παθῶν ἀμέτοχος σὺ διέμεινας, Λόγε Θεοῦ σαρκὶ, προσομιλήσας τοῖς πάθεσιν· ἀλλὰ λύεις τῶν παθῶν τὸν ἄνθρωπον, πάθει χρηματίσας, πάθος Σωτὴρ ἡμῶν, μόνος γὰρ ὑπάρχεις ἀπαθὴς καὶ Παντοδύναμος.

Φθορὰν θανάτου καταδεξάμενος, διαφθορᾶς ἐτήρησας τὸ Σῶμά σου ἄγευστον· ἡ δὲ σὴ ζωοποιὸς καὶ θεία ψυχὴ, Δέσποτα ἐν τῷ ᾅδῃ, οὐ καταλέλειπται, ἀλλ' ὥσπερ ἐξ ὕπνου ἀναστὰς, ἡμᾶς συνήγειρας.

Θεὸν Πατέρα, Υἱὸν συνάναρχον, πάντες βροτοὶ, ἐν χείλεσιν ἁγνοῖς μὲν δοξάζομεν, τὴν δὲ ἄρρητον καὶ ὑπερένδοξον Πνεύματος Παναγίου, δύναμιν σέβομεν, μόνη γὰρ ὑπάρχει παναθενὴς Τριὰς ἀχώριστος.

Ἄλλος. Σὲ τὴν ὑπὲρ νοῦν.

Σὲ τὸν λυτρωτὴν τοῦ Κόσμου, Χριστὸν τὸν Θεὸν, οἱ Ἀπόστολοι βλέποντες, ἐνθέως ὑψούμενον, μετὰ δέους σκιρτῶντες ἐμεγάλυνον.

Σοῦ τὴν θεωθεῖσαν σάρκα, ὁρῶντες Χριστὲ, ἐν τῷ ὕψει οἱ Ἄγγελοι, ἀλλήλοις διένευον, ἀληθῶς οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν.

Σὲ τῶν Ἀσωμάτων τάξεις, Χριστὲ ὁ Θεὸς, ἐν νεφέλαις αἰρόμενον, ἰδοῦσαι ἐκραύγαζον, τῷ τῆς δόξης Βασιλεῖ, πύλας ἄρατε.

Θεοτοκίον.

Χαῖρε Θεοτόκε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ὃν ἐκύησας σήμερον, ἐκ γῆς ἀνιπτάμενον, σὺν Ἀγγέλοις ὁρῶσα ἐμεγάλυνες.

Ἄλλος. Θεὸν ἀνθρώποις ἰδεῖν.

ΣΥ῾ρῶν συμμάχους ἡμᾶς συνήθροισε, τῇ κραταιᾷ δυνάμει καθοπλίσας τοῦ Πνεύματος, ὁ Πατρὶ συνάναρχος καὶ σύνθρονος, Λόγος ὁ πρὸ αἰώνων· ὃν νῦν Παμμίεροι, σὺν ταῖς Οὐρανίαις στρατιαῖς ἀεὶ δοξάζετε.

ΝΟμὼν Ἀρείου δεινῆς αἱρέσεως, ὡς ἰατροὶ ψυχῶν τε καὶ σωμάτων ἐστήσατε, ἱερῶς τῆς Πίστεως τὸ Σύμβολον, πᾶσιν ἐκτεθεικότες, ὃ νῦν κατέχοντες, μνήμην τὴν ὑμῶν, Ἱερουργοὶ ἀεὶ δοξάζομεν.

Ὡς φῶς ὑπάρχων Χριστὲ παναύγαστον, τῆς τῶν παθῶν ἀχλύος τὴν ψυχήν μου ἐκλύτρωσαι, ταῖς πρεσβείαις Δέσποτα τῶν σῶν Λειτουργῶν, τῶν νῦν σε κηρυξάντων, ἄναρχον, ἄκτιστον, Κτίστην τε τῶν ὅλων, καὶ Θεὸν, Πατρὶ συνάναρχον.

Θεοτοκίον.

Νεκροῖς ἀνάστασις, νῦν δεδώρηται, διὰ τῆς σῆς ἀφράστου καὶ ἀρρήτου κυήσεως, Θεοτόκε Δέσποινα, ζωὴ γὰρ ἐκ σοῦ, σάρκα περικειμένη, πᾶσιν ἐξέλαμψε, καὶ τὸ τοῦ θανάτου ἀμειδὲς σαφῶς διέλυσεν.

Καταβασία.

Χαίροις Ἄνασσα Μητροπάρθενον κλέος. Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα, Ῥητρεῦον οὐ σθένει σε μέλπειν ἀξίως. Ἰλιγγιᾷ δὲ νοῦς, ἅπας σου τὸν τόκον νοεῖν. Ὅθεν σε συμφώνως δοξάζομεν.

Ἐξαποστειλάριον.

Τὸ, Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, ἐκ γ'. Καὶ Ἀναστάσιμον. Τοῖς Μαθηταῖς.

Τιβεριάδος θάλασσα, σὺν παισὶ Ζεβεδαίου, Ναθαναὴλ τῷ Πέτρῳ τε, σὺν δυσὶν ἄλλοις πάλαι, καὶ Θωμᾶν εἶχε πρὸς ἄγραν, οἳ Χριστοῦ τῇ προστάξει, ἐν δεξιοῖς



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

χαλάσαντες, πλῆθος εἵλκον ἰχθύων. ὃν Πέτρος γνοὺς, πρὸς αὐτὸν ἐνήχετο, οἷς τὸ τρίτον, φανεὶς, καὶ ἄρτον ἔδειξε, καὶ ἰχθὺν ἐπ' ἀνθράκων.

Ἕτερον τῶν Πατέρων.

Γυναῖκες ἀκουτίσθητε.

Πατέρων θείων σήμερον, τὴν μνήμην ἑορτάζοντες, ταῖς παρακλήσεσι τούτων, δεόμεθα Πανοικτίρμων, πάσης βλάβης αἱρέσεων, ῥῦσαι Λαόν σου Κύριε, καὶ πάντας καταξίωσον, Πατέρα, Λόγον δοξάζειν, καὶ τὸ Πανάγιον Πνεῦμα.

Ἕτερον τῆς Ἀναλήψεως.

Τῶν Μαθητῶν ὁρώντων σε ἀνελήφθης, Χριστὲ πρὸς τὸν Πατέρα συνεδριάζων, Ἄγγελοι προτρέχοντες ἐκραύγαζον· ἄρατε πύλας ἄρατε, ὁ Βασιλεὺς γὰρ ἀνῆλθε, πρὸς τὴν ἀρχίφωτον δόξαν.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἱστῶμεν στίχ. η'. καὶ ψάλλομεν, γ'. Ἀναστάσιμα, δ'. καὶ τῶν ἁγίων Πατέρων, δ'. γ'. Ἀναστάσιμα, Ἦχος, πλ. β'.

Ὁ Σταυρός σου Κύριε, ζωὴ καὶ ἀντίληψις ὑπάρχει τῷ Λαῷ σου, καὶ ἐπ' αὐτῷ πεποιθότες, σὲ τὸν ἀναστάντα Θεὸν ἡμῶν ὑμνοῦμεν, ἐλέησον ἡμᾶς.

Ἡ Ταφή σου Δέσποτα, Παράδεισον ἤνοιξε τῷ γένει τῶν ἀνθρώπων, καὶ ἐκ φθορᾶς λυτρωθέντες, σὲ τὸν ἀναστάντα Θεὸν ἡμῶν ὑμνοῦμεν, ἐλέησον ἡμᾶς.

Σὺν Πατρὶ, καὶ Πνεύματι, Χριστὸν ἀνυμνήσωμεν, τὸν ἀναστάντα ἐκ νεκρῶν, καὶ πρὸς αὐτὸν ἐκβοῶμεν· σὺ ζωὴ ὑπάρχεις ἡμῶν καὶ ἀνάστασις, ἐλέησον ἡμᾶς.

Τριήμερος ἀνέστης Χριστὲ, ἐκ τάφου καθὼς γέγραπται, συνεγείρας, τὸν Προπάτορα ἡμῶν. διό σε καὶ δοξάζει, τὸ γένος τῶν ἀνθρώπων, καὶ ἀνυμνεῖ σου τὴν Ἀνάστασιν.

Ἕτερα τῶν Ἁγίων Πατέρων. Ἦχος, πλ. β'.

Ὅλην ἀποθέμενοι.

Ὅλην συγκροτήσαντες, τὴν τῆς ψυχῆς ἐπιστήμην, καὶ τῷ θείῳ Πνεύματι, συνδιασκεψάμενοι, τὸ μακάριον, καὶ σεπτὸν Σύμβολον, οἱ σεπτοὶ Πατέρες, θεογράφως διεχάραξαν, ἐν ᾧ σαφέστατα, τῷ Γεγεννηκότι συνανάρχον, τὸν Λόγον ἐκδιδάσκουσι, καὶ παναληθῶς ὁμοούσιον, ταῖς τῶν Ἀποστόλων, ἑπόμενοι προδήλως διδαχαῖς, οἱ ἀοίδιμοι καὶ πανόλβιοι, ὄντως καὶ Θεόφρονες.

Ὅλην εἰσδεξάμενοι, τὴν νοητὴν λαμπηδόνα, τοῦ Ἁγίου Πνεύματος, τὸ ὑπερφυέστατον χρησμολόγημα, τὸ βραχὺ ῥήματι, καὶ πολὺ συνέσει, Θεοπρεπῶς ἀπεφθέγξαντο, ὡς Χριστοκήρυκες, καὶ εὐαγγελικῶν προϊστάμενοι, δογμάτων οἱ Μακάριοι, καὶ τῶν εὐσεβῶν παραδόσεων, ἄνωθεν λαβόντες, τὴν τούτων ἀποκάλυψιν σαφῶς, καὶ φωτισθέντες ἐξέθεντο, Ὅρον Θεοδίδακτον.

Στίχ. Εὐλογητὸς εἶ Κύριε ὁ Θεός.

Ὅλην συλλεξάμενοι, ποιμαντικὴν ἐπιστήμην, καὶ θυμὸν κινήσαντες, νῦν τὸν δικαιότατον ἐνδικώτατα, τοὺς βαρεῖς ἤλασαν, καὶ λοιμώδεις λύκους, τῇ σφενδόνῃ τῇ τοῦ Πνεύματος, ἐκσφενδονήσαντες, τοῦ τῆς Ἐκκλησίας πληρώματος· πεσόντας ὡς πρὸς θάνατον, καὶ ὡς ἀνιάτως νοσήσαντας, οἱ θεῖοι Ποιμένες, ὡς δοῦλοι γνησιώτατοι Χριστοῦ, καὶ τοῦ ἐνθέου κηρύγματος, Μύσται Ἱερώτατοι.

Στίχ. Συναγάγετε αὐτῷ τοὺς Ὁσίους.

Πάλιν τὸ πρῶτον.

Ὅλην συγκροτήσαντες.

Δόξα, Ἦχος, πλ. δ'.

Τῶν Ἁγίων Πατέρων ὁ χορὸς, ἐκ τῶν τῆς Οἰκουμένης περάτων συνδραμὼν, Πατρὸς, καὶ Υἱοῦ, καὶ Πνεύματος Ἁγίου, μίαν οὐσίαν ἐδογμάτισε καὶ φύσιν, καὶ τὸ μυστήριον τῆς Θεολογίας, τρανῶς παρέδωκε τῇ Ἐκκλησίᾳ. οὓς εὐφημοῦντες ἐν πίστει μακαρίσωμεν λέγοντες· ὢ θεία παρεμβολὴ, θεηγόροι ὁπλῖται, παρατάξεως Κυρίου. ἀστέρες πολύφωτοι, τοῦ νοητοῦ στερεώματος. τῆς μυστικῆς Σιὼν οἱ ἀκαθαίρετοι πύργοι. τὰ μυρίπνοα ἄνθη τοῦ Παραδείσου. τὰ πάγχρυσα στόματα τοῦ Λόγου. Νικαίας τὸ καύχημα. Οἰκουμένης ἀγλάϊσμα, ἐκτενῶς πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν.

Ὑπερευλογημένη ὑπάρχεις.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λιτὴν στιχηρὰ τοῦ Ἁγίου τῆς Μονῆς.

Δόξα, καὶ νῦν, τὸ Ἑωθινόν.

Ἦχος πλ. β'.

Μετὰ τὴν εἰς ᾅδου κάθοδον, καὶ τὴν ἐκ νεκρῶν Ἀνάστασιν, ἀθυμοῦντες



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Ελληνικής Μαγνησίας

ὡς εἰκὸς ἐστὶ τῷ χωρισμῷ σου Χριστὲ οἱ Μαθηταί, πρὸς ἐργασίαν ἐτράπησαν. καὶ πάλιν πλοῖα καὶ δίκτυα, καὶ ἄγρα οὐδαμοῦ. ἀλλὰ σὺ Σῶτερ ἐμφανισθεὶς, ὡς Δεσπότης πάντων, δεξιοῖς τὰ δίκτυα κελεύεις βαλεῖν. καὶ ἦν ὁ λόγος ἔργον εὐθύς. καὶ πλῆθος τῶν ἰχθύων πολύ, καὶ δεῖπνον ξένον ἕτοιμον ἐν γῇ. οὗ μετασχόντων τότε σου τῶν Μαθητῶν, καὶ ἡμᾶς νῦν νοητῶς καταξίωσον ἐντρυφῆσαι, φιλάνθρωπε Κύριε.

Εἰς τὴν Λειτουργίαν, οἱ Μακαρισμοὶ τοῦ ἤχου, ἦχος, πλ. β΄.

ΜΝήσθητί μου, ὁ Θεὸς ὁ Σωτήρ μου, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου, καὶ σῶσόν με, ὡς μόνος φιλάνθρωπος.

ΔΙὰ ξύλου, τὸν Ἀδὰμ ἀπατηθέντα, διὰ ξύλου Σταυροῦ πάλιν ἔσωσας, λῃστὴν βοῶντα· μνήσθητί μου Κύριε ἐν τῇ Βασιλείᾳ σου.

ΑἼδου πύλας, καὶ μοχλοὺς συντρίψας ζωοδότα, πάντας τοὺς ἐν ᾅδῃ ἀνέστησας Κύριε, βοῶντας δόξα, Χριστὲ τῇ ἐγέρσει σου.

ΜΝήσθητί μου, ὁ τὸν θάνατον σκυλεύσας, τῇ ταφῇ σου, καὶ τῇ Ἀναστάσει σου, χαρᾶς τὰ πάντα, πληρώσας ὡς Εὔσπλαγχνος.

Καὶ τῶν Ἁγίων Πατέρων.

Ὠδὴ, γ΄. καὶ ϛ΄.

---

Τῇ Κυριακῇ τῆς Ζ΄. Ἑβδομ. Ἑσπέρας. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν γ΄. προσόμοια, τῶν Ἁγίων Πατέρων, ἦχος, πλ. β΄.

Ἡ ἀπεγνωσμένη.

ΕΚ γαστρὸς ἐτέχθης πρὸ Ἑωσφόρου, ἐκ Πατρὸς Ἀμήτωρ πρὸ τῶν αἰώνων. κἂν Ἄρειος κτίσμα σε, καὶ οὐ Θεὸν δοξάζει, τόλμῃ συνάπτων σε τὸν Κτίστην, τοῖς κτίσμασιν ἀφρόνως, ὕλην πυρὸς τοῦ αἰωνίου, ἑαυτῷ θησαυρίζων. ἀλλ᾽ ἡ Σύνοδος ἡ ἐν Νικαίᾳ, Υἱὸν Θεοῦ σε ἀνεκήρυξε Κύριε, Πατρὶ καὶ Πνεύματι σύνθρονον.

ΤΙς σου τὸν χιτῶνα Σῶτερ διεῖλεν; Ἄρειος σὺ ἔφης ὁ τῆς Τριάδος, τεμὼν τὴν ὁμότιμον, ἀρχὴν εἰς διαιρέσεις. οὗτος ἠθέτησέ σε εἶναι, τὸν ἕνα τῆς Τριάδος, οὗτος Νεστόριον διδάσκει, Θεοτόκον μὴ λέγειν. ἀλλ᾽ ἡ Σύνοδος ἡ ἐν Νικαίᾳ, Υἱὸν Θεοῦ σε ἀνεκήρυξε Κύριε, Πατρὶ καὶ Πνεύματι σύνθρονον.

ΚΡημνῷ περιπίπτει τῆς ἁμαρτίας, Ἄρειος ὁ μύσας τὸ φῶς μὴ βλέπειν, καὶ θείῳ σπαράττεται, ἀγκίστρῳ τοῖς ἐγκάτοις, πᾶσαν ἐκδοῦναι τὴν οὐσίαν, καὶ τὴν πνοὴν βιαίως. ἄλλος Ἰούδας χρηματίσας, τῇ γνώμῃ καὶ τῷ τρόπῳ. ἀλλ᾽ ἡ Σύνοδος ἡ ἐν Νικαίᾳ, Υἱὸν Θεοῦ σε ἀνεκήρυξε Κύριε, Πατρὶ καὶ Πνεύματι σύνθρονον.

Καὶ τοῦ Μηναίου, γ΄.

Δόξα, ἦχος, πλ. β΄.

ΤΑς μυστικὰς σήμερον τοῦ Πνεύματος σάλπιγγας, τοὺς θεοφόρους Πατέρας ἀνευφημήσωμεν, τοὺς μελῳδήσαντας ἐν μέσῳ τῆς Ἐκκλησίας, μέλος ἐναρμόνιον Θεολογίας, Τριάδα μίαν ἀπαράλλακτον, οὐσίαν τε καὶ Θεότητα. τοὺς καθαιρέτας Ἀρείου, καὶ ὀρθοδόξων προμάχους, τοὺς πρεσβεύοντας πάντοτε Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, τῆς Ἑορτῆς. Ὁ αὐτός.

ΕΝ τοῖς ὄρεσι τοῖς ἁγίοις, θεωροῦντές σου τὰς ὑψώσεις Χριστὲ, τὸ ἀπαύγασμα τῆς δόξης τοῦ Πατρὸς, ἀνυμνοῦμέν σου τὴν φωτοειδῆ τοῦ προσώπου μορφήν, προσκυνοῦμέν σου τὰ Παθήματα, τιμῶμεν τὴν Ἀνάστασιν, τὴν ἔνδοξον Ἀνάληψιν δοξάζοντες, ἐλέησον ἡμᾶς.

Εἰς τὸν στίχ. στιχηρὰ Προσόμοια τῶν Ἁγίων Πατέρων, ἦχος, πλ. β΄.

Ὅλην ἀποθέμενοι.

ΟἿλην συγκροτήσαντες, τὴν τῆς ψυχῆς ἐπιστήμην, καὶ τῷ θείῳ Πνεύματι, συνδιασκεψάμενοι, τὸ μακάριον, καὶ σεπτὸν Σύμβολον, οἱ σεπτοὶ Πατέρες, θεογράφως διεχάραξαν. ἐν ᾧ σαφέστατα, τῷ Γεγεννηκότι συνάναρχον, τὸν Λόγον ἐκδιδάσκουσι, καὶ πανἀληθῶς ὁμοούσιον, ταῖς τῶν Ἀποστόλων, ἑπόμενοι προδήλως διδαχαῖς, οἱ εὐκλεεῖς, καὶ πανόλβιοι, ὄντως καὶ Θεόφρονες.

ΟἿλην εἰσδεξάμενοι, τὴν νοητὴν λαμπηδόνα, τοῦ Ἁγίου Πνεύματος, τὸ ὑπερφυέστατον χρησμολόγημα, τὸ βραχὺ ῥήματι, καὶ πολὺ συνέσει, θεοπνεύστως ἀπεφθέγξαντο, ὡς Χριστοκήρυκες, εὐαγγελικῶν προϊστάμενοι, δογμάτων οἱ Μα-

κά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας Μανούσεια

κάκιοι, καὶ τῶν ἀσεβῶν παραδόσεων, ἄνωθεν λαβόντες, τὴν τούτων ἀποκάλυψιν σαφῶς, καὶ φωτισθέντες ἐξέθεντο, Ὅρον θεοδίδακτον.

Ὅλην συλλεξάμενοι, ποιμαντικὴν ἐπιστήμην, καὶ θυμὸν κινήσαντες, νῦν τὸν δικαιότατον ἐνδικώτατα, τοὺς βαρεῖς ἤλασαν, καὶ λοιμώδεις λύκους, τῇ σφενδόνῃ τῇ τοῦ Πνεύματος, ἐκσφενδονήσαντες, τοῦ τῆς Ἐκκλησίας πληρώματος, πεσόντας ὡς πρὸς θάνατον, καὶ ὡς ἀνιάτως νοσήσαντας, οἱ θεῖοι Ποιμένες, ὡς δοῦλοι γνησιώτατοι Χριστοῦ, καὶ τοῦ ἐνθέου κηρύγματος, μύσται ἱερώτατοι.

Δόξα, ἦχος, γ'.

Ἀποστολικῶν παραδόσεων, ἀκριβεῖς φύλακες, γεγόνατε Ἅγιοι Πατέρες. τῆς γὰρ ἁγίας Τριάδος τὸ ὁμοούσιον, ὀρθοδόξως δογματίσαντες, Ἀρείου τὸ βλάσφημον συνοδικῶς κατεβάλετε· μεθ' ὃν καὶ Μακεδόνιον, πνευματομάχον ἀπελέγξαντες, κατεκρίνατε Νεστόριον, Εὐτυχέα, καὶ Διόσκορον, Σαβέλλιόν τε καὶ Σευῆρον τὸν ἀκέφαλον. ὧν τῆς πλάνης αἰτήσασθε ῥυσθέντας ἡμᾶς, ἀκηλίδωτον ἡμῶν τὸν βίον, ἐν τῇ πίστει φυλάττεσθαι δεόμεθα.

Καὶ νῦν, ἦχος, πλ. β'.

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος, τοῦ ἀνυψῶσαι τὴν πεσοῦσαν εἰκόνα τοῦ Ἀδὰμ, καὶ ἀποστεῖλαι Πνεῦμα Παράκλητον, τοῦ ἁγιάσαι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον, ἦχος, πλ. δ'.

Ὑπερδεδοξασμένος εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς τοὺς Πατέρας ἡμῶν θεμελιώσας, καὶ δι' αὐτῶν πρὸς τὴν ἀληθινὴν Πίστιν πάντας ἡμᾶς ὁδηγήσας, πολυεύσπλαγχνε δόξα σοι.

Καὶ τῆς Ἑορτῆς, ἦχος, δ'.

Ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητὰς τῇ ἐπαγγελίᾳ τοῦ Ἁγίου Πνεύματος. βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ Κόσμου.

Καὶ ἀποδίδοται ἡ Ἀκολουθία τῶν Ἁγίων Πατέρων.

Τῇ Β. τῆς Ζ'. Ἑβδομάδος εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολ. καθ. ἦχος, α'.

Τοῦ λίθου σφραγισθέντος.

Ἀγγέλων θαυμαζόντων τὴν ἄνοδον τὸ ξένον, καὶ Μαθητῶν ἐκπληττομένων, τὸ φρικτὸν τῆς ἐπάρσεως, ἀνῆλθες μετὰ δόξης ὡς Θεὸς, καὶ πύλαι σοι ἐπήρθησαν Σωτήρ. διὰ τοῦτο αἱ Δυνάμεις τῶν Οὐρανῶν ἐθαύμαζον βοῶσαι· δόξα τῇ καταβάσει σου Σωτήρ· δόξα τῇ Βασιλείᾳ σου· δόξα τῇ Ἀναλήψει σου, μόνε φιλάνθρωπε.

Δίς.

Μετὰ τὴν β'. στιχολ. καθ. Ὅμοιον.

Τοῦ Ἅδου σκυλευθέντος ὑπὸ σοῦ ζωοδότα, καὶ Κόσμου φωτισθέντος ἐν τῇ σῇ Ἀναστάσει, ἀνῆλθες μετὰ δόξης ὁ Σωτὴρ, ὁ πάντα περιέχων τῇ χειρί. διὰ τοῦτο σὺν Ἀγγέλοις δοξολογοῦμέν σε, Παντοκράτορ Κύριε· δόξα τῇ Ἀναλήψει σου Χριστέ· δόξα τῇ Βασιλείᾳ σου· δόξα τῇ εὐσπλαγχνίᾳ σου, μόνε φιλάνθρωπε.

Δίς.

Ὁ Ν'. Οἱ Κανόνες τῆς Ἑορτῆς, ὁ δ'. μετὰ τῶν Εἱρμῶν εἰς η'. καὶ τοῦ Μηναίου, εἰς δ'. Κοντάκιον, καὶ Ἐξαποστειλ. τῆς Ἑορτῆς.

Εἰς τὸν ἀ. τῶν Αἴνων, στ. προσόμοια, ἦχ. β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Ὁ ὄντως τοῖς Μαθηταῖς, πιστοὶ συνεπαρθῶμεν, τῶν ἀρετῶν εἰς ὄρη, ὡς ἂν Χριστοῦ τὴν δόξαν, ἰδεῖν ἀξιωθείημεν.

Στ. Πάντα τὰ Ἔθνη κροτήσατε.

Ἔσχισαν ἐμφανῶς, τὴν Μανιχαίων λέσχην, οἱ Νόες οἷς ἠπόρουν, Χριστοῦ σαφῶς δηλοῦντες, σύσσωμον τὴν ἀνέλευσιν.

Στ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

Ἀνάλαξον Δαβὶδ, γηθόμενος τὴν λύραν. ἀναληφθεὶς Χριστὸς γὰρ, τοῖς πράγμασι τοὺς λόγους, κυροῖ τῆς Προφητείας σου.

Δόξα, καὶ νῦν. ἦχος, β'.

Ἀνελήφθης ἐν δόξῃ, ἐν τῷ ὄρει τῶν ἐλαιῶν Χριστὲ ὁ Θεὸς, ἐνώπιον τῶν σῶν Μαθητῶν, καὶ ἐκάθισας ἐν δεξιᾷ τοῦ Πατρὸς, ὁ τὰ σύμπαντα πληρῶν τῇ Θεότητι. καὶ ἀπέστειλας αὐτοῖς Πνεῦμα τὸ ἅγιον, τὸ φωτίζον, καὶ στηρίζον, καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών "Μανούσεια"

Τῇ Β'. τῆς Ζ'. Ἑβδομάδος Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ϛ'. τῆς Ἀναλήψεως, γ'. καὶ τοῦ Μηναίου, γ'. τῆς Ἀναλήψεως, ἦχος, δ'.

Ἔδωκας σημείωσιν.

Ἔπαθες ὡς ἄνθρωπος, ὁ ἀπαθὴς τῇ Θεότητι, καὶ ἀνέστης τριήμερος, σκυλεύσας τὸν θάνατον, καὶ συναναστήσας, πάντας τοὺς φθαρέντας, καὶ ἀνελήλυθας Χριστέ, πρὸς τὸν Πατέρα ἐπαγγειλάμενος, ἐκπέμψειν τὸν Παράκλητον, τοῖς Ἱεροῖς Ἀποστόλοις σου, Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ὑμεῖς τί ἑστήκατε, πρὸς Οὐρανὸν ἀτενίζοντες; οἱ ὁρώμενοι Ἄγγελοι, ὡς ἄνθρωποι ἔλεγον, τοῖς τοῦ Λόγου μύσταις, οὗτος ὃν ὁρᾶτε, ὑπὸ νεφέλης φωτεινῆς, ἀναληφθέντα αὐτὸς ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε, κρῖναι τὸν Κόσμον ὡς ἔφησε· πορευθέντες οὖν ἅπαντα, τὰ ῥηθέντα πληρώσατε.

Μετὰ τὴν ἐκ τάφου σου, ὑπὲρ κατάληψιν ἔγερσιν, παντοδύναμε Κύριε, λαβὼν οὓς ἠγάπησας, ἕως Βηθανίας, ἐξήγαγες Λόγε, καὶ πρὸς τὸ ὄρος γενόμενος, τοῦ ἐλαιῶνος τούτους εὐλόγησας, καὶ οὕτως ἀνελήλυθας, ὑποταγέντων Ἀγγέλων σοι, Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν. ἦχος, δ'.

Ὅτε παραγέγονας ἐπὶ τὸ ὄρος Χριστὲ τῶν Ἐλαιῶν, Πατρὸς ἐπιτελέσαι τὴν εὐδοκίαν, ἐξέστησαν οἱ Οὐράνιοι Ἄγγελοι, καὶ ἔφριξαν οἱ καταχθόνιοι. παρίσταντο δὲ οἱ Μαθηταὶ μετὰ χαρᾶς ἔντρομοι, ὡς ἐλάλεις αὐτοῖς. ὡς Θρόνος δὲ ἡτοίμαστο ἐξεναντίας νεφέλη προσμένουσα. πύλας δὲ ὁ Οὐρανὸς διαπετάσας, τῷ κάλλει ἐφαίνετο, καὶ ἡ γῆ τοὺς κρυπτῆρας ἀνακαλύπτει, Ἀδὰμ τὴν κατάβασιν ὡς γνωσθῶσι, καὶ τὴν αὖθις ἀνάβασιν. ἀλλ' ἴχνη μὲν ὑψοῦτο ὡς χειρός, στόμα δὲ μεγάλα ηὐλόγει ὡς ἠκούετο. νεφέλη ὑπελάμβανε, καὶ Οὐρανὸς ἔνδον σε ὑπεδέξατο. ἔργον τοῦτο Κύριε εἰργάσω, μέγα καὶ παράδοξον, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν στ. στ. Προσόμοια, ἦχος, β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Πληρώσας ἀγαθέ, Πατρὸς τὴν εὐδοκίαν, ἑνώσας τε τὰ ἄνω, τοῖς κάτω ἀνελήφθης, ἐν δόξῃ πρὸς τὸ πρότερον.

Στ. Πάντα τὰ Ἔθνη κροτήσατε.

Ἀνῆλθες πρὸς τὸν σόν, Γεννήτορα οἰκτίρμων, ὅθεν οὐκ ἐχωρίσθης, καὶ ὕψωσας τὴν κάτω, κειμένην φύσιν Δέσποτα.

Στ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

Νεφέλη σε φωτός, ἀνέλαβεν εἰς ὕψος, καὶ Ἄγγελοι ἐν φόβῳ, καὶ τρόμῳ διηκόνουν, τῷ θείῳ σου κελεύσματι.

Δόξα, καὶ νῦν. ἦχος, δ'.

Τὴν καταβᾶσαν φύσιν τοῦ Ἀδάμ, εἰς τὰ κατώτερα μέρη τῆς γῆς ὁ Θεός, καινοποιήσας σεαυτῷ, ὑπεράνω πάσης Ἀρχῆς καὶ Ἐξουσίας, ἀνήγαγες σήμερον. ὡς ἀγαπήσας γὰρ συνεκάθισας, ὡς συμπαθήσας δὲ ἥνωσας σεαυτῷ. ὡς ἑνώσας συνέπαθες. ὡς ἀπαθὴς παθῶν, καὶ συνεδόξασας. ἀλλ' οἱ Ἀσώματοι, τίς ἐστιν οὗτος ἔλεγον, ὁ ὡραῖος ἀνήρ; ἀλλ' οὐκ ἄνθρωπος μόνον, Θεὸς δὲ καὶ ἄνθρωπος, τὸ συναμφότερον, τὸ φαινόμενον. ὅθεν ἔξαλλοι Ἄγγελοι, ἐν στολαῖς περιϊπτάμενοι τῶν Μαθητῶν, οἱ μὲν Ἄγγελοι ἐστῶτες, ἄνδρες ἐβόων Γαλιλαῖοι, ὃς ἀφ' ὑμῶν πεπόρευται, οὗτος Ἰησοῦς ἄνθρωπος Θεός, Θεάνθρωπος πάλιν ἐλεύσεται, Κριτὴς ζώντων καὶ νεκρῶν. πιστοῖς δὲ δωρούμενος, ἁμαρτιῶν συγχώρησιν, καὶ τὸ μέγα ἔλεος.

Τῇ Γ'. τῆς Ζ'. Ἑβδομ. εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολ. καθ. ἦχος, β'.

Τὰ ἄνω ζητῶν.

Ὑψόθεν εἰς γῆν, Χριστὲ καταβέβηκας, καὶ αὖθις ἐκ γῆς, εἰς ὕψος ἀνέδραμες, πρὸς τὸν σὸν Γεννήτορα, Μαθητῶν ὁρώντων σου τὴν ἄνοδον. σὺν αὐτοῖς οὖν ἑορτάζοντες, ὑμνοῦμέν σου Σῶτερ τὴν Ἀνάληψιν.

Δίς.

Μετὰ τὴν β'. στιχολ. καθ. ἦχος, γ'.

Τὴν ὡραιότητα.

Ὁ Προαιώνιος, Λόγος καὶ ἄναρχος, ἥνπερ ἀνέλαβε, φύσιν ἀνθρώπειον, θεοποιήσας μυστικῶς, σήμερον ἀνελήφθη. Ἄγγελοι

προ-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

προτρέχοντες, Ἀποστόλοις ἐδείκνυον, τοῦτον πορευόμενον, εἰς Οὐρανοὺς μετὰ δόξης πολλῆς. αὐτῷ δὲ προσκυνήσαντες ἔλεγον· δόξα Θεῷ τῷ ἀναληφθέντι. Δίς.

Ὠ' Ν'. Οἱ Κανόνες τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν, εἰς η'. καὶ τοῦ Μηναίου, εἰς δ'. Κοντάκιον, καὶ Ἐξαποστειλ. τῆς Ἑορτῆς.

Εἰς τὸν ἑσπερινὸν Προσόμοια, ἦχος, β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

ΟΥ' λείπω ὀρφανοὺς, οὕσπερ ἐγὼ συνῆξα, ὁ Κύριος τοῖς φίλοις, ἐλάλει· ἀλλὰ πέμψω, ὑμῖν Πνεῦμα τὸ Ἅγιον.

Στ. Πάντα τὰ Ἔθνη κροτήσατε.

ΑΓγελοι τοῖς σοφοῖς, ἐβόων Ἀποστόλοις· ὦ ἄνδρες Γαλιλαῖοι, ὃν τρόπον καθορᾶτε, αὐτὸς πάλιν ἐλεύσεται.

Στ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

ΚΑτῆλθον ἐν χαρᾷ, ἀπὸ τοῦ Ἐλαιῶνος, οἱ Μαθηταί σου Λόγε, δοξάζοντες ὑμνοῦντες, τὴν θείαν σου Ἀνάληψιν.

Δόξα, καὶ νῦν. ἦχος, δ'.

ΟΤε ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς, τῶν Μαθητῶν ὁρώντων, αἱ νεφέλαι ὑπελάμβανόν σε μετὰ σαρκός. πύλαι ἐπήρθησαν αἱ Οὐράνιαι. ὁ χορὸς τῶν Ἀγγέλων ἔχαιρεν ἐν ἀγαλλιάσει. αἱ ἀνώτεραι Δυνάμεις ἔκραζον λέγουσαι· ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης. οἱ δὲ Μαθηταὶ ἐκπληττόμενοι ἔλεγον· μὴ χωρισθῇς ἡμῶν ὁ Ποιμὴν ὁ καλὸς, ἀλλὰ πέμψον ἡμῖν τὸ Πνεῦμά σου τὸ πανάγιον, τὸ ὁδηγοῦν, καὶ στηρίζον, καὶ φωτίζον, καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.

Τῇ Γ'. τῆς Ζ'. Ἑβδομάδος Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ς'. Προσόμοια τῆς Ἑορτῆς, γ'. καὶ τοῦ Μηναίου, γ'. τῆς Ἑορτῆς, ἦχος, δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

ΚΑθορώντων τῶν θείων σου, Μαθητῶν ἀνελήλυθας, εἰς τὰ Ἐπουράνια καὶ ἐκάθισας, ἐν δεξιᾷ τοῦ Γεννήτορος, ὁ τούτου ἀχώριστος, ὑπερούσιε Υἱὲ, καὶ ὡς εἶπας ἀπέστειλας, τὸν Παράκλητον, Οὐρανοὺς ἐπιγείους ἐκτελοῦντα, τοὺς σοφοὺς καὶ Θεηγόρους, καὶ ἱεροὺς Ἀποστόλους σου.

ΕΣαρκώθης δι' ἄφατον, Ἰησοῦ ἀγαθότητα, καὶ Σταυρὸν καὶ θάνατον ὁ ἀθάνατος, ἐθελουσίως ὑπέμεινας. καὶ αὖθις τριήμερος, ἀναστὰς ἐκ τῶν νεκρῶν, μεθ' ἡμέρας τεσσαράκοντα, ἀνελήλυθας, ὅθεν πρώην κατῆλθες, εὐλογήσας, τὰ ἐπίγεια καὶ πάντας, προσαγαγὼν σῷ Γεννήτορι.

ΕΝ νεφέλαις ὡς εἶδόν σε, ἐπαιρόμενον Κύριε, οἱ σοφοὶ Ἀπόστολοι ὀδυρόμενοι, καὶ κατηφείας πληρούμενοι, ἐβόων σὺν δάκρυσι· μὴ ἐάσῃς ὀρφανοὺς, οὓς δι' οἶκτον ἠγάπησας, ἀλλ' ἀπόστειλον, ἐφ' ἡμᾶς ὡς ὑπέσχου, Πανοικτίρμων, τὸ Πανάγιόν σου Πνεῦμα, φωταγωγοῦν τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν, ἦχος, πλ. α'.

ΔΕῦτε τῶν Πιστῶν τὸ σύστημα, τοὺς νόας νυχθέντες τῶν Μαθητῶν τοῦ Χριστοῦ, ἄληκτον ὕμνον εἴπωμεν, ἐπὶ τοῦ Ἐλαιῶνος ὡς οἱ Ἀπόστολοι μετὰ Δαβὶδ βοήσωμεν· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος, ἵνα ῥύσηται τὰς φυλὰς τῶν βροτῶν, ἐκ τῶν σκανδάλων τοῦ ἀλάστορος, καὶ φωτίσῃ τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στ. Στ. Προσόμοια, ἦχος, β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

ΘΑῦμα καινοπρεπές. ἡ βρότειος γὰρ φύσις, εἰς Οὐρανοὺς ἀνῆλθεν, ἡ ἑνωθεῖσα Λόγῳ, Θεῷ τῷ Παντοκράτορι.

Στ. Πάντα τὰ Ἔθνη κροτήσατε.

ΕΛαμψεν ἡ φαιδρὰ, καὶ πάμφωτος ἡμέρα, τῆς τοῦ Δεσπότου θείας, εἰς Οὐρανοὺς ἀνόδου, λαμπρύνουσα τὰ σύμπαντα.

Στ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

ΩΣπερ τοῖς Μαθηταῖς, ἀπέστειλας ἐξ ὕψους, τὸ συμφυές σου Πνεῦμα, καὶ τῷ Λαῷ σου πέμψον, Χριστὲ Σωτὴρ τὴν χάριν σου.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'.

ΚΥριε, ἀναλαμβανομένου σου ὅθεν οὐκ ἐχωρίσθης, αἱ στρατιαὶ τῶν Ἀγγέλων, καὶ πάντων τῶν Ἀσωμάτων, ἐν ἀγαλλιάσει ἐβόων, ταῖς ἀνωτέραις Δυνάμεσιν· ἄρατε πύλας οἱ Ἄρχοντες ὑμῶν, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης. ὁ γὰρ Θρόνος ὁ Χερουβικὸς, ἀνέλαβέ σε μετὰ σαρκὸς, Κύριε δόξα σοι



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Βιβλιοθήκη Μανούσεια

Τῇ Δ΄. τῆς Ζ΄. Ἑβδομ. εἰς τὸν Ὄρθρον, Μετὰ τὴν α΄. Στιχολ. Κάθισμα ἦχος, δ΄.

Ἐπεφάνης σήμερον.

Πρὸς τὸν σὸν Γεννήτορα παλινδρομήσας, Παντουργὲ τοὺς δούλους σου μὴ καταλείπῃς ὀρφανούς, οἱ Μαθηταὶ ὡς κατεῖδόν σε, ἀναληφθέντα ἐβόων φιλάνθρωπε.

Δόξα, καὶ νῦν, τὸ αὐτό.

Μετὰ τὴν β΄. Στιχολ. Κάθισμα ἦχος, δ΄.

Ἐπεφάνης σήμερον.

Οἱ κλεινοὶ διάκοσμοι τῶν θείων Νόων, τὸν τῆς δόξης Κύριον, ἀναληφθέντα ἐμφανῶς, μετὰ σαρκὸς θεασάμενοι, πύλας ἐβόων ἀλλήλοις ἐπάρατε.

Ὁ Ν΄. Οἱ Κανόνες τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν, εἰς η΄. καὶ τοῦ Μηναίου, εἰς δ΄. Κοντάκιον, καὶ Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους. Στιχηρὰ Προσόμοια, ἦχος, πλ. β΄.

Τριήμερος ἀνέστης.

Δι' ἄκραν εὐσπλαγχνίαν Χριστὲ, ἐτέχθης ἐκ Παρθένου σαρκί. ἑκουσίως, ὑπομείνας δὲ Σταυρὸν, τριήμερος ἀνέστης, ἐκ τάφου πανοικτίρμων, συναναστήσας, καὶ ζωώσας ἡμᾶς.

Στίχ. Πάντα τὰ Ἔθνη κροτήσατε.

Ὁρώντων σε Χριστὲ ὁ Θεὸς, τῶν θείων Μαθητῶν ἐμφανῶς, ἀνελήφθης ἀπὸ γῆς πρὸς Οὐρανὸν, καὶ τούτοις ἐπηγγείλω, ἐκπέμπειν ζωοδότην, ἐκ τοῦ Πατρὸς Πνεῦμα τὸ Ἅγιον.

Στίχ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

Ξενίζεται Ἀγγέλων πληθὺς, τὸ ξένον τῆς ἀνόδου σου, καὶ φρικῶδες, Ἰησοῦ Παμβασιλεῦ. καὶ πύλας οὐρανίους, διαίρειν ἐπιβοῶν, ταῖς ἀνωτέραις νῦν Δυνάμεσι.

Δόξα, καὶ νῦν, ἦχος, πλ. β΄.

Τῶν κόλπων τῶν Πατρικῶν μὴ χωρισθεὶς Γλυκύτατε Ἰησοῦ, καὶ τοῖς ἐπὶ γῆς ὡς ἄνθρωπος συναναστραφεὶς, σήμερον ἐπ' ὄρους τῶν ἐλαιῶν ἀνελήφθης ἐν δόξῃ· καὶ τὴν πεσοῦσαν φύσιν ἡμῶν, συμπαθῶς ἀνυψώσας, τῷ Πατρὶ συνεκάθισας. ὅθεν αἱ οὐράνιαι τῶν Ἀσωμάτων τάξεις, τὸ θαῦμα ἐκπληττόμεναι, ἐξίσταντο θάμβει, καὶ τρόμῳ συνεχόμεναι, τὴν σὴν φιλανθρωπίαν ἐμεγάλυνον. μεθ' ὧν καὶ ἡμεῖς οἱ ἐπὶ γῆς, τὴν πρὸς ἡμᾶς σου συγκατάβασιν, καὶ τὴν ἀφ' ἡμῶν Ἀνάληψιν, δοξολογοῦντες, ἱκετεύομεν λέγοντες· ὁ τοὺς Μαθητὰς καὶ τὴν τεκοῦσάν σε Θεοτόκον, χαρᾶς ἀπείρου πλήσας ἐν τῇ σῇ Ἀναλήψει, καὶ ἡμᾶς ἀξίωσον τῶν ἐκλεκτῶν σου τῆς χαρᾶς, ἀρχαῖς αὐτῶν, διὰ τὸ μέγα σου ἔλεος.

Τῇ Δ΄. τῆς Ζ΄. Ἑβδομάδος Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ Προσόμοια τῆς Ἑορτῆς, γ΄. καὶ τοῦ Μηναίου, γ΄. τῆς Ἑορτῆς, ἦχος δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Τὴν ὑπὲρ πάντων τελέσας σωτηρίαν, τὸ ὄρος κατέλαβες, τοῦ ἐλαιῶνος Χριστέ. ὅθεν ἀνέπτης ἐνώπιον, τῶν Μαθητῶν σου. εἰς Οὐρανοὺς ἐν δόξῃ φερόμενος. διὸ τὸ Μυστήριον, καταπληττόμεναι, ταῖς ἀνωτέραις ἐκραύγαζον, αἱ κάτω τάξεις· ἄρατε πύλας καὶ εἰσελάσεται, ὅθεν ἐξῆλθε τῶν ἁπάντων, ὁ Βασιλεὺς τῶν Θεὸς, ὡς ηὐδόκησε, παραδόξως τῷ Κόσμῳ, σωτηρίαν ἐργασάμενος.

Τῶν Μαθητῶν ὁ χορός σε ὡς ἑώρα, ἀναλαμβανόμενον, ἔλεγε Δέσποτα τί νῦν ἀπαίρεις τῶν δούλων σου; καὶ ποῦ πορεύῃ, ὁ ἐν χερσὶ συνέχων τὰ πέρατα; ἡμεῖς καταλείψαντες, ἅπαντα σοὶ τῷ Θεῷ, ἠκολουθήσαμεν χαίροντες, εἰς τοὺς αἰῶνας, σὺν σοὶ ἐλπίδας ἔχοντες ἔσεσθαι. μὴ καταλίπῃς ὀρφανοὺς ἡμᾶς, ὡς ὑπάρχων Πατὴρ ἡμῶν εὔσπλαγχνε, τὸν Παράκλητον πέμψον, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Τελεωτάτην παρέχων εὐλογίαν, τοῖς φίλοις σου Δέσποτα, ἐμυσταγώγεις αὐτούς· ὁρᾶτε φίλοι πορεύομαι, πρὸς τὸν Πατέρα, ὑμῖν δὲ πέμψω ἄλλον Παράκλητον· ὑμεῖς δὲ κατήφειαν πᾶσαν ἀπώσασθε, οὐ καταλείψω γὰρ πρόβατα, ἅπερ συνῆξα, οὐκ ἐπιλήσομαι οὓς ἠγάπησα. θείαν ἐξ ὕψους ἐνδυσάμενοι, δυναστείαν πορεύεσθε λέγοντες, ἐπὶ πάντα τὰ Ἔθνη, σωτηρίας Εὐαγγέλια.

Δόξα, καὶ νῦν. ἦχος, πλ. β΄.

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος, τοῦ ἀνυψῶσαι

τὴν

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσειη"

τὴν πεσοῦσαν εἰκόνα τοῦ Ἀδὰμ, καὶ ἀποστεῖλαι Πνεῦμα Παράκλητον, τοῦ ἁγιάσαι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν ά. π. Προσόμοια.

Ἦχος, πλ. β'.

Αἱ Ἀγγελικαὶ προπορεύεσθε.

Ἵνα τὸν εἰς γῆν, ἀνυψώσῃς με πεσόντα, ἦλθες ἐπὶ γῆς, προσλαβὼν δὲ καὶ συνάγεις, κἀντεῦθεν συνδοξάζεις συνεδρείᾳ τοῦ Φύσαντος, πάσας τὰς ἐπάρσεις καταῤῥάξας, τοῦ πάλαι με καταβαλόντος. ὑμνῶ Δέσποτα, τὸν ἀκατάληπτον βυθὸν, τῆς φιλανθρωπίας σου.

Στ. Πάντα τὰ Ἔθνη κροτήσατε.

Σκίρτησον Ἀδὰμ, συνευφραίνου καὶ ἡ Εὔα. οὓς γὰρ τῇ φθορᾷ, ἐνεδύσασθε χιτῶνας, ἐν Παραδείσῳ πάλαι, ἀφθαρσίαν ἐλπίσαντες· προσλαβὼν ὁ πλάσας ἀποῤῥήτως, μετέβαλεν εἰς ἀφθαρσίαν. καὶ συνύψωσε, καὶ συνεδρείᾳ Πατρικῇ, τετίμηκε σήμερον.

Στ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

Τύραννον ἐχθρὸν, ἀποστάτην συμπατήσας, θέμει θεϊκῷ, ὁ φορέσας μου τὴν φύσιν, ἀτρέπτως ἀσυγχύτως, ἀμερίστως ἀνέδραμεν, αὖθις σὺν αὐτῇ πρὸς τὸν Πατέρα. οἰχέσθω τῶν αἱρετιζόντων, φληναφήματα. εὐσεβοφρόνως δ' οἱ πιστοὶ, αὐτὸν μεγαλύνομεν.

Δόξα, καὶ νῦν, ἦχος, πλ. β'.

Σήμερον ἐν οὐρανοῖς αἱ ἄνω Δυνάμεις, τὴν ἡμετέραν φύσιν θεώμεναι, θαυμάζουσαι τοῦ ξένου τρόπου τὴν ἄνοδον, διηπόρουν ἀλλήλαις λέγουσαι· τίς οὗτος ὁ παραγενόμενος; βλέπουσαι δὲ τὸν οἰκεῖον Δεσπότην, τὰς οὐρανίους πύλας αἴρειν διεκελεύοντο. μεθ' ὧν ἀπαύστως ὑμνήσωμεν, τὸν μετὰ σαρκὸς ἐκεῖθεν πάλιν ἐρχόμενον, ὡς Κριτὴν τῶν ἁπάντων, καὶ Θεὸν Παντοδύναμον.

Τῇ Ε. τῆς Ζ. Ἑβδομ. εἰς τὸν Ὄρθρον, μετὰ τὴν α. στιχολογίαν κάθισμα ἦχος, πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Κατελθὼν οὐρανόθεν εἰς τὰ ἐπίγεια, καὶ τὴν κάτω κειμένην ἐν τῇ τοῦ ᾅδου φρουρᾷ, συναναστήσας ὡς Θεὸς, Ἀδαμιαίαν μορφὴν, τῇ Ἀναλήψει σου Χριστὲ, ἀνήγαγες εἰς Οὐρανοὺς, καὶ θρόνῳ τῷ Πατρικῷ σου, συγκάθεδρον ἀπειργάσω, ὡς ἐλεήμων καὶ φιλάνθρωπος. Δίς.

Μετὰ τὴν β'. στιχολογίαν κάθισμα ἦχος, πλ. δ'.

Τὸ προσταχθὲν μυστικῶς.

Ἐπὶ τοῦ ὄρους ἀνελθὼν τοῦ Ἐλαιῶνος, ὁ ἐλεήμων Ἰησοῦς αὐτόθεν ἤρθης, φωτεινῆς σε νεφέλης ἐκ τῶν κάτω λαβούσης. ὁρώντων τε καὶ τῶν θείων σου Μαθητῶν. βοώντων καὶ τῶν Ἀγγέλων ἐν οὐρανοῖς· φόβῳ πύλαι ἐπάρθητε. καὶ γὰρ ὁ μόνος κραταιὸς, νικήσας τὸν ἀλάστορα, πρὸς ἡμᾶς ἐπεδήμησε. Δίς.

Ὁ Ν'. Οἱ Κανόνες τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν εἰς η. καὶ τοῦ Μηναίου, εἰς δ'. Κοντάκιον, καὶ Ἐξαποστειλ. τῆς Ἑορτῆς.

Εἰς τὸν Α. ά. Προσόμοια, ἦχ. πλ. β'.

Αἱ Ἀγγελικαί.

Ὅλον με Χριστὲ, προσλαβόμενος ἀφράστως, ὅλῳ μοι τῇ σῇ συνεκράθης θείᾳ φύσει, φυρμὸν οὐχ ὑπομείνας, οὐ τροπὴν οὐ διαίρεσιν. Δόξα τῇ φρικτῇ σου καταβάσει, τῷ πάθει καὶ τῇ Ἀναστάσει, τῇ Ἀναβάσει τε, δι' ὧν ἡ πρὶν χαμαιῤῥιφὴς, ἀνύψωται φύσις ἡμῶν.

Στ. Πάντα τὰ Ἔθνη κροτήσατε.

Ὑμεῖς ἵνα τί, βλεφαρίδας ἀνυψοῦτε, καὶ θαμβητικῶς, τὸν ἀόρατον ὁρᾶτε; οἱ Ἄγγελοί σου Σῶτερ, ἀνεβόων τοῖς Μύσταις σου. οὗτος ὁ ἐν δόξῃ ἀναβαίνων, ὡσαύτως ἥξει σαρκοφόρος, πρὸς τὴν ἅπασαν, κρῖναι δικαίοις ἐν ζυγοῖς, Θεὸς ὢν καὶ ἄνθρωπος.

Στ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

Θρήνου καὶ χαρᾶς, ὁ χορὸς τῶν Μαθητῶν σου, ἐπὶ τῇ σεπτῇ, Ἀναλήψει σου Σωτήρ μου, ἑστὼς ἐν μεταιχμίῳ, ἐν τῷ ὄρει φιλάνθρωπε, Δέσποτα μὴ λίπῃς ἀνεβόων, ὠρφανισμένους σοὺς οἰκέτας, ἀλλ' ἀπόστειλον, Πνεῦμα τὸ Θεῖον ταῖς ψυχαῖς, φωτίζον τῶν δούλων σου.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'.

Ἀνελήφθης ἐν δόξῃ, ἀπὸ γῆς εἰς Οὐρανοὺς, ὁ πάντα πληρῶν τῇ Θεότητι. καὶ ἐν δεξιᾷ Πατρὸς ἐκάθισας, ὁ ἐν ἀρχῇ Θεὸς Λόγος. ὅθεν αἱ οὐράνιαι Δυνάμεις ὁρῶσαι, τοῖς Ἀποστόλοις ἔμφοβοι ἔλεγον· τί ματεμίζετε βλέποντες εἰς τὸν Οὐρανόν; οὗτος ὃν



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ἐθεάσασθε, αὐτὸς πάλιν ἐλεύσεται μετὰ δόξης, τοῦ κρῖναι πᾶσαν τὴν γῆν, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. πρὸς ὃν βοήσωμεν· ἀκατάληπτε Κύριε δόξα σοι.

Τῇ αὐτῇ, Ε. Ἑσπέρας τῆς ἑβδόμης Ἑβδομάδος, Εἰς τό, Κύριε ἐκέκραξα, ψάλλομεν τὴν Ἀκολουθίαν πᾶσαν τῆς Ἑορτῆς ἀπαραλλάκτως, ὡς καὶ ἐν τῇ Κυριακῇ ἡμέρᾳ τῆς Ἀναλήψεως, ἀπὸ τῶν Ἀναγνωσμάτων, καὶ τοῦ Πολυελέου, ἔν τε τῷ Ἑσπερινῷ, καὶ τῷ Ὄρθρῳ, καὶ τῇ Λειτουργίᾳ. τὸ δὲ Μηναῖον ψάλλομεν ἐν τοῖς Ἀποδείπνοις.

Τῇ Παρασκευῇ Ἑσπέρας τῆς Πεντηκοστῆς, Μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἀπ' αἰῶνος Κεκοιμημένων ὀρθοδόξων Χριστιανῶν, Πατέρων καὶ Ἀδελφῶν ἡμῶν. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ϛʹ. καὶ ψάλλομεν προσόμοια Μαρτυρικὰ τῆς Ὀκτωήχου, γʹ.

Ἦχος, πλ. βʹ.

Οἱ Μάρτυρές σου Κύριε, οὐκ ἠρνήσαντό σε, οὐκ ἀπέστησαν ἀπὸ τῶν ἐντολῶν σου· ταῖς αὐτῶν πρεσβείαις ἐλέησον ἡμᾶς.

Οἱ μαρτυρήσαντες διὰ σὲ Χριστέ, πολλὰς βασάνους ὑπέμειναν. πρεσβείαις Κύριε, καὶ εὐχαῖς αὐτῶν, πάντας ἡμᾶς διαφύλαξον.

Οἱ ἀθλοφόροι Μάρτυρες, καὶ Οὐρανοπολῖται, ἐπὶ γῆς ἀθλήσαντες, πολλὰς βασάνους ὑπέμειναν, καὶ τέλειον ἀπέλαβον τὸν στέφανον ἐν Οὐρανοῖς, ἵνα πρεσβεύωσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ τῶν Κεκοιμημένων, γ. ἦχος, πλ.

Ὁ ἐν Ἐδὲμ Παράδεισος.

Τῶν ἀπ' αἰῶνος σήμερον νεκρῶν, ἁπάντων κατ' ὄνομα, μετὰ Πίστεως ζησάντων ὀρθοδόξως, μνήμην τελοῦντες οἱ πιστοί, τὸν Σωτῆρα καὶ Κύριον, ἀνυμνήσωμεν αἰτοῦντες ἐκτενῶς, τούτους ἐν ὥρᾳ τῆς Κρίσεως, ἀπολογίαν ἀγαθὴν, δοῦναι αὐτῷ τῷ Θεῷ ἡμῶν, τῷ πᾶσαν κρίνοντι τὴν γῆν, τῆς δεξιᾶς αὐτοῦ παραστάσεως, τυχόντες ἐν χαρᾷ, ἐν μερίδι Δικαίων, καὶ ἐν ἁγίῳ κλήρῳ φωτεινῷ, καὶ ἀξίους γενέσθαι, τῆς οὐρανίου Βασιλείας αὐτοῦ.

Τῷ οἰκείῳ αἵματι Σωτὴρ, βροτοὺς ἐκπριάμενος, καὶ θανάτῳ σου θανάτου τοῦ πικροῦ, ἐκλυτρωσάμενος ἡμᾶς, καὶ ζωὴν τὴν αἰώνιον, παρασχὼν τῇ Ἀναστάσει σου ἡμῖν· πάντας ἀνάπαυσον Κύριε, τοὺς κοιμηθέντας ὀρθοδόξως, ἢ ἐν ἐρήμοις, ἢ πόλεσιν, ἢ ἐν θαλάσσῃ, ἢ ἐν γῇ, ἢ ἐν παντὶ τόπῳ, Βασιλεῖς τε, Ἱερεῖς Ἀρχιερεῖς, Μοναστὰς, καὶ Μιγάδας, ἐν ἡλικίᾳ πάσῃ παγγενεῖ, καὶ ἀξίωσον τούτους, τῆς οὐρανίου Βασιλείας σου.

Τῇ ἐκ νεκρῶν ἐγέρσει σου Χριστέ, οὐκέτι ὁ θάνατος, κυριεύει τῶν θανόντων ὀρθοδόξως. διὸ αἰτοῦμεν ἐκτενῶς, τοὺς σοὺς δούλους ἀνάπαυσον, ἐν αὐλαῖς σου, καὶ ἐν κόλποις Ἀβραάμ, τοὺς ἐξ Ἀδὰμ μέχρι σήμερον, λατρεύσαντάς σοι καθαρῶς, Πατέρας καὶ Ἀδελφοὺς ἡμῶν, φίλους ὁμοῦ καὶ συγγενεῖς, ἅπαντα ἄνθρωπον, τοὺς τῷ βίῳ λειτουργήσαντας πιστῶς, καὶ πρὸς σὲ μεταστάντας, πολυειδῶς, καὶ πολυτρόπως ὁ Θεός, καὶ ἀξίωσον τυχεῖν, τῆς οὐρανίου Βασιλείας σου.

Δόξα, ἦχος, πλ.

Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην, τὴν κατ' εἰκόνα Θεοῦ, πλασθεῖσαν ἡμῖν ὡραιότητα, ἄμορφον ἄδοξον, μὴ ἔχουσαν εἶδος. ὢ τοῦ θαύματος, τί τὸ περὶ ἡμᾶς τοῦτο γέγονε Μυστήριον; πῶς παρεδόθημεν τῇ φθορᾷ; πῶς συνεζεύχθημεν τῷ θανάτῳ; ὄντως Θεοῦ προστάξει ὡς γέγραπται, τοῦ παρέχοντος τοῖς μεταστᾶσι τὴν ἀνάπαυσιν.

Καὶ νῦν. Θεοτοκίον.

Ἦχος, πλ. βʹ.

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον Τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος Ἄνθρωπος δι' ἡμᾶς. οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος. αὐτὸν ἱκέτευε, Σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Τό, Φῶς ἱλαρόν. Ἀντὶ δὲ τοῦ Προκειμένου



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

Ἀλληλούϊα, ἦχος, πλ. δ΄.

Στίχ. Μακάριοι οὓς ἐξελέξω, καὶ προσελάβου Κύριε.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Τό, Καταξίωσον.

Εἰς τὸν Στίχ. Στίχ. Μαρτυρικόν, ἦχος, πλ. β΄.

Ὁ Σταυρός σου Κύριε, τοῖς Μάρτυσι γέγονεν ὅπλον ἀήττητον. ἔβλεπον γὰρ τὸν προκείμενον θάνατον, καὶ προβλέποντες τὴν μέλλουσαν ζωήν, τῇ ἐλπίδι τῇ εἰς σὲ ἐνεδυναμοῦντο. αὐτῶν ταῖς παρακλήσεσιν ἐλέησον ἡμᾶς.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς.

Νεκρώσιμα.

Ἐτίμησας εἰκόνι σου, τὸ τῶν χειρῶν σου Σῶτερ πλαστούργημα, ζωγραφήσας ἐν ὑλικῇ μορφῇ, τῆς νοερᾶς οὐσίας τὸ ὁμοίωμα, ἧς καὶ κοινωνόν με κατέστησας, θέμενος τῶν ἐπὶ γῆς κατάρχειν με τῷ αὐτεξουσίῳ Λόγε. διὸ Σῶτερ τοὺς δούλους σου, ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς δικαίων ἀνάπαυσον.

Στίχ. Μακάριοι οὓς ἐξελέξω.

Ἵνα μοι τὸ ἀξίωμα τῆς τῶν λοιπῶν ζωῆς διακρίνηται, κῆπον ἐν τῇ Ἐδὲμ παντοίοις ὡραϊσμένον φυτοῖς, λύπης καὶ μερίμνης ἐλεύθερον, μέτοχον θείας ζωῆς, ἰσάγγελον ἐπὶ γῆς μικτόν με ἔταξας. διὸ Σῶτερ τοὺς δούλους σου ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς Δικαίων ἀνάπαυσον.

Δόξα, ἦχος, πλ. β΄.

Ἀρχή μοι καὶ ὑπόστασις τὸ πλαστουργόν σου γέγονε πρόσταγμα. βουληθεὶς γὰρ ἐξ ἀοράτου τε, καὶ ὁρατῆς με ζῶον συμπῆξαι φύσεως, γῆθεν μου τὸ σῶμα διέπλασας. δέδωκας δέ μοι ψυχὴν τῇ θείᾳ σου καὶ ζωοποιῷ ἐμπνεύσει. διὸ Σῶτερ τοὺς δούλους σου ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς Δικαίων ἀνάπαυσον.

Καὶ νῦν. Θεοτοκίον.

Πρεσβείαις τῆς Τεκούσης σε, Χριστὲ καὶ τῶν Μαρτύρων σου, Ἀποστόλων, Προφητῶν Ἱεραρχῶν, Ὁσίων καὶ Δικαίων, καὶ πάντων τῶν Ἁγίων, τοὺς κοιμηθέντας δούλους σου ἀνάπαυσον.

Ἀπολυτίκιον, ἦχος, πλ. δ΄.

Ὁ βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων μόνε Δημιουργέ, ἀνάπαυσον Κύριε τὰς ψυχὰς τῶν δούλων σου. ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ Ποιητῇ καὶ Πλάστῃ καὶ Θεῷ ἡμῶν.

Δόξα, τὸ τέλος. Καὶ νῦν. Θεοτοκίον.

Σὲ καὶ τεῖχος καὶ λιμένα ἔχομεν, καὶ πρέσβιν εὐπρόσδεκτον, πρὸς ὃν ἔτεκες Θεόν, Θεοτόκε ἀνύμφευτε, τῶν πιστῶν ἡ σωτηρία.

Καὶ γίνεται Ἀπόλυσις.

Εἶτα ποιεῖ Εὐλογητὸν ὁ Ἱερεύς, καὶ λέγομεν τὸν ϙ΄. Ψαλμόν.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου.

Τὸ Ἀλληλούϊα, ἐκ γ΄.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω, καὶ προσελάβου.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν.

Εἶτα τὰ Τροπάρια.

Ὁ βάθει σοφίας φιλανθρώπως.

Σὲ καὶ τεῖχος καὶ λιμένα.

Τὰ Νεκρώσιμα Εὐλογητάρια. Εἶτα μνημονεύει ὁ Ἱερεὺς πάντων τῶν προαναπαυσαμένων Πατέρων καὶ Ἀδελφῶν ἡμῶν. Καὶ τὴν Εὐχήν. Μετὰ δὲ τὴν Ἐκφώνησιν. Ὁ Ν΄. Καὶ εὐθὺς ψάλλομεν τὸν παρόντα Νεκρώσιμον Κανόνα εἰς τὸ Κοιμητήριον. Οὗ ἡ ἀκροστιχίς.

Ἔκτον προσᾴδω τοῖς ἀπελθοῦσι μέλος.

Ὠδὴ α΄. Ἦχος, πλ. β΄.

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Ἐν οὐρανίοις θαλάμοις διηνεκῶς, οἱ γενναῖοι Μάρτυρες, δυσωποῦσί σε Χριστέ, οὓς ἐκ γῆς μετέστησας πιστούς, αἰωνίων ἀγαθῶν τυχεῖν ἀξίωσον.

Κατακοσμήσας τὰ πάντα ζῶον μικτόν, μέσον με τὸν ἄνθρωπον, ταπεινότητος ὁμοῦ, καὶ μεγέθους ἔπλασας. διό, τὰς τῶν δούλων σου ψυχάς, Σῶτερ ἀνάπαυσον.

Τοῦ Παραδείσου πολίτην καὶ γεωργόν, κατ' ἀρχάς με ἔταξας, παραβάντα δὲ τὴν σήν, ἐντολὴν ἐξώρισας. διό, τὰς τῶν δούλων σου ψυχάς, Σῶτερ ἀνάπαυσον.

Θεοτοκίον.

Ὁ ἐκ πλευρᾶς διαπλάσας Εὔαν τὸ πρίν, τὴν ἡμῶν Προμήτορα, ἐξ ἀχράντου σου γαστρός, σάρκα περιβάλλεται δι' ἧς, τοῦ θανάτου τὴν ἰσχὺν Ἁγνὴ διέλυσεν.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος.

Ὁμοίως ἤθλησαν οἱ σοί, Μάρτυρες Ζωοδότα, καὶ στεφάνῳ τῆς νίκης κο-

κοσμηθέντες παρὰ σοῦ, τοῖς μεταστᾶσι πιστοῖς, αἰωνίαν λύτρωσιν βραβεύουσι.

Παιδεύσας πρότερον πολλοῖς, τέρασι καὶ σημείοις, ἐμὲ τὸν πλανηθέντα, ἐπ᾽ ἐσχάτων σεαυτὸν, κενώσας ὡς συμπαθὴς, καὶ ζητήσας, εὗρες καὶ διέσωσας.

Ἑόρτων ἄστατον φθορὰν, τοὺς πρὸς σὲ διαβάντας, ἐν σκηναῖς αἰωνίοις, κατοικεῖν χαρμονικῶς, ἀξίωσον ἀγαθὲ, δικαιώσας πίστει τε καὶ χάριτι. Θεοτοκίον.

Οὐκ ἔστιν ἄμεμπτος ὡς σὺ, Πανάμωμε Θεομῆτορ. μόνη γὰρ ἐξ αἰῶνος, τὸν Θεὸν τὸν ἀληθῆ, συνέλαβες ἐν γαστρὶ, τοῦ θανάτου λύσαντα τὴν δύναμιν.

τὸν Εἱρμόν.

Οὐκ ἔστιν Ἅγιος ὡς σὺ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας τῶν πιστῶν σου ἀγαθὲ, καὶ στερεώσας αὐτοὺς, ἐν τῇ πέτρᾳ τῆς ὁμολογίας σου.

Καὶ μνημονεύει ὁ Ἱερεύς.

Εἶτα κα. ἦχ. πλ. β᾽.

Ἀληθῶς ματαιότης τὰ σύμπαντα, ὁ δὲ βίος σκιὰ καὶ ἐνύπνιον· καὶ γὰρ μάτην ταράττεται πᾶς γηγενὴς, ὡς εἶπεν ἡ Γραφὴ, ὅτε τὸν Κόσμον κερδήσωμεν, τότε τῷ τάφῳ οἰκήσωμεν, ὅπου ὁμοῦ Βασιλεῖς καὶ πτωχοί. διὸ Χριστὲ ὁ Θεὸς, τοὺς μεταστάντας ἀνάπαυσον ὡς φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Παναγία Θεοτόκε, τὸν χρόνον τῆς ζωῆς μου, μὴ ἐγκαταλίπῃς με. ἀνθρωπίνῃ προστασίᾳ, μὴ καταπιστεύσῃς με. ἀλλ᾽ αὐτὴ ἀντιλαβοῦ, καὶ ἐλέησόν με.

Ὠδὴ δ᾽. Χριστός μου δύναμις.

Σοφίας μείζονος, δεικνύων χώρισμα, καὶ τῆς περὶ τὰ δῶρα πολυτελοῦς, Δέσποτα χρηστότητος, τὰς τῶν Μαρτύρων χορείας, τοῖς Ἀγγέλοις συνηρίθμησας.

Φράσει Δόξης σου, τυχεῖν ἀξίωσον, τοὺς πρὸς σὲ μεταστάντας ἔνθα Χριστὲ, τῶν εὐφραινομένων ὄντως ἡ κατοικία, καὶ φωνὴ, καθαρᾶς ἀγαλλιάσεως.

Ὑμνοῦντας πρόσδεξαι, τὸ θεῖον κράτος σου, οὓς ἐκ γῆς προσελάβου τέκνα φωτὸς, τούτους ἐργαζόμενος, τῆς ἁμαρτίας τὴν ἀχλὺν, ἐκκαθαίρων Πολυέλεε. Θεοτοκίον.

Ὀχεῖον ἄχραντον, Ναὸν πανάμωμον, Κιβωτὸν Παναγίαν, Παρθενικὸν, τόπον ἁγιάσματος, σὲ καλλονὴν τοῦ Ἰακὼβ, ὁ Δεσπότης ἐξελέξατο.

Ὠδὴ ε᾽. Τῷ θείῳ φέγγει σου.

Ὡς ὁλοκάρπωσις ἱερὰ, καὶ ὡς ἀπαρχὴ τῆς ἀνθρωπίνης οἱ Μάρτυρες φύσεως, τῷ δεδοξασμένῳ προσενεχθέντες Θεῷ, ἡμῖν τὴν σωτηρίαν, ἀεὶ βραβεύουσι.

Ἧς οὐρανίου διαγωγῆς, τῆς διανομῆς τῶν χαρισμάτων, ἀξίωσον Δέσποτα, τοὺς προκοιμηθέντας πιστοὺς οἰκέτας σου, παρέχων τῶν πταισμάτων, τὴν ἀπολύτρωσιν.

Μόνος φύσει ζωοποιὸς, τὸ τῆς ἀγαθότητος ὄντως ἀνεξιχνίαστον πέλαγος, τοὺς τελειωθέντας τῆς Βασιλείας τῆς σῆς, ἀξίωσον Οἰκτίρμον, μόνε ἀθάνατε.

Θεοτοκίον.

Ἰσχὺς καὶ ὕμνησις ὁ ἐκ σοῦ, Δέσποινα τοῦ Κόσμου γεννηθεὶς, καὶ σωτηρία γενόμενος, τοῖς ἀπολλυμένοις ἐκ τῶν τοῦ ᾅδου πυλῶν, ῥυόμενος τοὺς πίστει σὲ μακαρίζοντας.

Ὠδὴ ς᾽. Τοῦ βίου τὴν θάλασσαν.

Σταυρῷ προσηλούμενος, τῶν Μαρτύρων τοὺς χοροὺς, πρὸς ἑαυτὸν συνήγαγες, μιμουμένους τὸ πάθος σου ἀγαθέ. διό σου δεόμεθα, τοὺς πρὸς σὲ μεταστάντας διανάπαυσον.

Ἀφράστῳ τῇ Δόξῃ σου, ὅταν ἔλθῃς φοβερὸς, κρῖναι τὸν Κόσμον ἅπαντα, ἐν νεφέλαις εὐδόκησον Λυτρωτὰ, φαιδρῶς ὑπαντῆσαί σοι, οὓς ἐκ γῆς προσελάβου πιστοὺς δούλους σου.

Πηγὴ ζωῆς πέφυκας, ἐν ἀνδρείᾳ θεϊκῇ, πεπεδημένους Δέσποτα, ὁ ἐξάγων τοὺς δούλους σου τοὺς πρὸς σὲ, πιστῶς ἐκδημήσαντας, ἐν τρυφῇ Παραδείσου κατασκήνωσον.

Θεοτοκίον.

Εἰς γῆν ἀπεστράφημεν, παραβάντες τοῦ Θεοῦ, τὴν ἐντολὴν τὴν ἔνθεον. διὰ σοῦ δὲ Παρθένε πρὸς Οὐρανὸν, ἐκ γῆς ἀνυψώθημεν, τὴν φθορὰν τοῦ θανάτου ἐκτινάξαντες.

Τὸν Εἱρμόν.

Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμὼν, βοῶ σοι· ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου Πολυέλεε.

Τὸ Κοντάκιον, ἦχος, πλ. δ᾽.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον Χριστὲ τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ἐστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος. Ὁ Οἶκος.

Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος, ὁ ποιήσας καὶ πλάσας τὸν ἄνθρωπον. οἱ βροτοὶ οὖν ἐκ γῆς διεπλάσθημεν, καὶ εἰς γῆν τὴν αὐτὴν πορευσόμεθα, καθὼς ἐκέλευσας ὁ πλάσας με, καὶ εἰπών μοι· ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. ὅπου πάντες βροτοὶ πορευσόμεθα, ἐπιτάφιον θρῆνον ποιοῦντες ᾠδὴν τό, Ἀλληλούϊα.

Ὠδὴ ζ΄. Δροσοβόλον μέν.

Αἱμωθέντες τῷ σῷ Αἵματι οἱ Μάρτυρες, τῆς πρώτης παραβάσεως, ῥαντισθέντες δὲ, τῷ ἰδίῳ αἵματι τὴν σήν, σαφῶς εἰκονίζουσι σφαγήν. εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θρασυνόμενον τὸν θάνατον ἐνέκρωσας, Λόγε ζωαρχικώτατε, τοὺς ἐν πίστει δὲ κοιμηθέντας πρόσδεξαι τὰ νῦν, ὑμνοῦντας καὶ λέγοντας Χριστέ· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ ψυχώσας με τὸν ἄνθρωπον φυσήματι, θείῳ Θεαρχικώτατε, τοὺς μεταστάντας Βασιλείας Δέσποτα τῆς σῆς, ἀξίωσον ψάλλειν σοι Σωτήρ· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Ὑπερτέρα πάσης Κτίσεως Πανάμωμε, γέγονας συλλαβοῦσα Θεόν, τὸν συντρίψαντα, τοῦ θανάτου πύλας, καὶ μοχλοὺς συνθλάσαντα. ὅθεν σε Ἁγνή, ὑμνολογοῦμεν οἱ πιστοὶ ὡς Θεομήτορα.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Σταθερῶς τοὺς ἀγῶνας ἐπιδειξάμενοι, τῷ τῆς νίκης στεφάνῳ κατεκοσμήθητε, Μάρτυρες Χριστοῦ ἀθλοφόροι κραυγάζοντες· σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Ἱερῶς τοὺς τὸν βίον ἀπολιπόντας πιστοὺς, καὶ πρὸς σὲ τὸν Δεσπότην μεταχωρήσαντας, δέξαι προσηνῶς ἀναπαύων ὡς εὔσπλαγχνος, σὲ ὑπερυψοῦντας Χριστὲ εἰς τοὺς αἰῶνας.

Τὴν ἐν γῇ τῶν πραέων πάντας αὐλίζεσθαι, τοὺς προκεκοιμημένους Σῶτερ εὐδόκησον, πίστει τῇ εἰς σὲ δικαιώσας καὶ χάριτι, σὲ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Μακαρίζομεν πάντες σὲ παμμακάριστε, τὴν τὸν Λόγον τὸν ὄντως ὄντα μακάριον, σάρκα δι' ἡμᾶς γεγονότα γεννήσασαν, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τὸν Εἱρμόν. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν.

Ἐλπὶς Μαρτύρων χοροὺς ἐνεύρωσε, καὶ πρὸς τὴν σὴν ἀγάπην διαπύρως ἐπτέρωσε, τῶν μελλόντων τούτοις προτυπώσασα, τὴν μὴ σαλευομένην, ὄντως ἀνάπαυσιν, ἧς τοὺς μεταστάντας ἀγαθὲ τυχεῖν ἀξίωσον.

Λαμπρᾶς καὶ θείας τυχεῖν ἐλλάμψεως, τῆς σῆς Χριστὲ τοὺς πίστει μεταστάντας εὐδόκησον, τὴν ἐν κόλποις Ἀβραὰμ ἀνάπαυσιν, μόνος ὡς ἐλεήμων, τούτοις δωρούμενος, καὶ τῆς αἰωνίου ἀξιῶν Μακαριότητος.

Ὁ ὢν τῇ φύσει χρηστὸς καὶ εὔσπλαγχνος, καὶ θελητὴς ἐλέους εὐσπλαγχνίας ἡ ἄβυσσος. οὓς ἐκ τόπου τούτου τῆς κακώσεως, καὶ σκιᾶς τοῦ θανάτου, Σῶτερ μετέστησας, ἔνθα καταλάμπει σου τὸ φῶς, τούτους κατάταξον. Θεοτοκίον.

Κλίνην ἁγίαν Ἁγνὴ γινώσκομεν, καὶ κιβωτὸν καὶ πλάκα σὲ τοῦ Νόμου τῆς χάριτος. διὰ σοῦ γὰρ ἄφεσις δεδώρηται, τοῖς δεδικαιωμένοις, διὰ τοῦ αἵματος, τοῦ σωματωθέντος ἐκ τῆς σῆς γαστρὸς Παναμώμε.

Τὸν Εἱρμόν.

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ „
τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τάγμα- „
τα. διὰ σοῦ δὲ Πάναγνε ὡράθη βροτοῖς, „
Λόγος σεσαρκωμένος, ὃν μεγαλύνοντες, „
σὺν ταῖς οὐρανίαις, στρατιαῖς σε μακαρίζομεν.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. καὶ τὰ Τροπάρια.

Ὁ βάθει σοφίας φιλανθρώπως.

Δόξα, τὸ τέλος, καὶ νῦν. Θεοτοκίον.

Σὲ καὶ τεῖχος καὶ λιμένα.

Καὶ μνημόσυνον ὁ Ἱερεὺς συνήθως. καὶ Ἀπόλυσις.

Τῷ Σαββάτῳ τῆς Πεντηκοστῆς,
Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ἑξάψαλμον.
Τό, Ἀλληλούϊα, εἰς ἦχον. πλ.

Στίχ. Μακάριοι οὓς ἐξελέξω, καὶ προσελάβου.
Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν.
Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς.

Τὸ Τροπάριον.

Ὁ βάθει σοφίας φιλανθρώπως,

Δόξα, τὸ τέλος. Καὶ νῦν, Θεοτ.

Σὲ καὶ τεῖχος καὶ λιμένα.

Εἶτα ἡ συνήθης στιχολ.

Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Ἐν δὲ ταῖς Συναπταῖς πάσαις τῆς στιχολ. καὶ τοῦ Κανόνος, μνημονεύονται πάντες οἱ προαπελθόντες Πατέρες καὶ Ἀδελφοὶ ἡμῶν.

Εἰς τὴν α΄. στιχολ. λέγομεν τὰ Μαρτυρικὰ, καὶ Νεκρώσιμα, ἦχος πλ. β΄.

Ἀθλητικαὶ ἐνστάσεις ἐπὶ τῷ σκάμματι, τυραννικαὶ αἰκίσεις ἐπὶ τοὺς Μάρτυρας. καὶ ἵσταντο χοροὶ τῶν Ἀσωμάτων, βραβεῖα κατέχοντες τῆς νίκης. ἐξέστησαν Τυράννους καὶ Βασιλεῖς οἱ σοφοὶ, καθεῖλον τὸν Βελίαρ ὁμολογίᾳ Χριστοῦ. ὁ ἐνισχύσας αὐτοὺς Κύριε δόξα σοι.

Ἀθλητικὸν ἀγῶνα ὑπομείναντες οἱ Ἅγιοι, καὶ τὰ βραβεῖα τῆς νίκης παρὰ σοῦ κομισάμενοι, κατήργησαν τὰς ἐπινοίας τῶν παρανόμων, ἐδέξαντο στεφάνους τῆς ἀφθαρσίας· δι' αὐτῶν ὁ Θεὸς σῶσον τὰς ψυχὰς ἡμῶν.

Τῶν Ἁγίων σου ἡ μνήμη Κύριε, ἀνεδείχθη ὡς Παράδεισος ὁ ἐν Ἐδέμ. ἐν αὐτῇ γὰρ ἀγάλλεται πᾶσα ἡ Κτίσις. παράσχου ἡμῖν ταῖς αὐτῶν παρακλήσεσιν, εἰρήνην καὶ τὸ μέγα ἔλεος. Νεκρώσιμον.

Ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν, καὶ ἐν χώρᾳ τῶν ζώντων, οὓς προσελάβου Ἰησοῦ, εὐσεβῶς κοιμηθέντας, κατάταξον ὡς ἀδιάλλακτος Θεὸς, καὶ ἔμπλησον τοῦ ἀνεσπέρου φωτὸς, καὶ τῆς ἐπουρανίου σου χαρᾶς ἀξίωσον. Θεοτοκίον.

Τὴν εὐλογημένην καλέσας σου Μητέρα, ἦλθες ἐπὶ τὸ πάθος ἑκουσίᾳ βουλῇ, λάμψας ἐν τῷ Σταυρῷ, ἀναζητῆσαι θέλων τὸν Ἀδάμ. λέγων τοῖς Ἀγγέλοις, συγχάρητέ μοι, ὅτι εὑρέθη ἡ ἀπολλυμένη δραχμή. ὁ πάντα σοφῶς οἰκονομήσας Θεὸς ἡμῶν δόξα σοι.

Εἶτα τὸν Ἄμωμον εἰς Στάσεις β΄. Τὰ Νεκρώσιμα Εὐλογητάρια. Τῶν Ἁγίων ὁ χορὸς, καὶ τὰ λοιπά. Εἶτα Συναπτὴ, καὶ μνημόσυνον. Μετὰ δὲ τὴν Ἐκφώνησιν τὸ Κάθισμα. ἦχος πλ. β΄.

Ἀνάπαυσον Σωτὴρ ἡμῶν μετὰ Δικαίων τοὺς δούλους σου, καὶ τούτους κατασκήνωσον ἐν ταῖς αὐλαῖς σου, καθὼς γέγραπται, παρορῶν ὡς ἀγαθὸς τὰ πλημμελήματα αὐτῶν, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, καὶ πάντα τὰ ἐν ἀγνοίᾳ καὶ γνώσει φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὁ ἐκ Παρθένου ἀνατείλας τῷ Κόσμῳ Χριστὲ ὁ Θεός· Υἱοὺς φωτὸς, δι' αὐτῆς ἀναδείξας, ἐλέησον ἡμᾶς.

Ὁ Ν΄. Οἱ Κανόνες τοῦ Ἁγίου τῆς Μονῆς μετὰ τῶν Εἱρμῶν εἰς ς΄. Καὶ ὁ παρὼν, εἰς η΄. Οὗ ἡ ἀκροστιχίς.

Ψυχαῖς ἁπάσαις αἶνος ἐξ Ἀρσενίου.

Ὠδὴ α΄. ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ.

Ψυχῶν πασῶν ὁ Δεσπότης καὶ ποιητὴς, καὶ Κριτὴς, καὶ Κύριος, ὑπὲρ πάντων τῶν ἐν γῇ, ἐν χειρὶ τὰ πέρατα αὐτοῦ, οὓς μετέστησας πιστοὺς ἐν σοὶ ἀνάπαυσον.

Ὑπὲρ παντὸς κοιμηθέντων γένους βροτῶν, ἡλικίας Δέσποτα, ἀξιώματος ὁμοῦ, καὶ μεγέθους ἅπαντες θερμῶς, δυσωποῦμεν ὅπως σώσῃς οὓς μετέστησας.

Χειρὶ ἀχράντῳ σου Λόγε ὁ ἀπὸ γῆς, πλαστουργήσας μόνος με, καὶ ψυχώσας ὡς Θεὸς, ζωηρᾷ ἐμπνεύσει σου αὐτοὺς, οὓς ἐντεῦθεν προσελάβου σῶσον εὔσπλαγχνε. Θεοτοκίον.

Ἁγνὴ Παρθένε τοῦ Κόσμου καταφυγὴ, καὶ στεῤῥὰ ὑπέρμαχε, ἱκεσίαις σου θερμαῖς, ὑπὲρ πάντων πρέσβευε τῶν σὲ, κεκτημένων ἐν ἀνάγκαις τεῖχος ἄῤῥηκτον.

Καταβασία.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ, ἐν ἀβύσσῳ ἴχνεσι, τὸν διώκτην Φαραὼ, καθορῶν ποντούμενον Θεῷ, ἐπινίκιον ᾠδὴν ἐβόα ᾄσωμεν.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος.

Ἰσχύϊ δόξης θεϊκῆς, ὁ τῆς γῆς ἐξ ἐσχάτων, ὡς νεφέλας ἀνάγων, τῶν πιστῶν πρὸς σὲ ψυχὰς, οὓς ἐκ περάτων Χριστὲ, προσελάβου δούλους σου ἀνάπαυσον.

Σὺ μόνος εἶ ὁ καθιστῶν, Βασιλεῖς καὶ Δυνάστας, καὶ Κριτὰς σὺν Τοπάρχαις. ὅθεν πάντων ὡς Θεὸς, αὐτὸς ἐν κρίσει τῇ σῇ, ῥῦσαι τούτους Σῶτερ τῆς κολάσεως.

Ἁπάσης γῆς ὁ ποιητὴς, σὺν πρεσβύταις παρθένοις, καὶ σὺν νέοις ἐφήβοις,

οὓς

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

οὓς προσελάβου Χριστὲ, τῆς αἰωνίου χαρᾶς, καὶ τρυφῆς σου τούτους καταξίωσον.

Θεοτοκίον.

Ἐλπὶς τοῦ Κόσμου κραταιὰ, Δέσποινα Θεοτόκε, μὴ ἀπώσῃ τοὺς πόθῳ, σοὶ προστρέχοντας ἀεί. ἀλλ᾽ ἱκεσίαις ταῖς σαῖς, πάσης ῥῦσαι ζάλης τοὺς τιμῶντάς σε.

Καταβασία.

Οὐκ ἔστιν Ἅγιος ὡς σὺ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν σου ἀγαθὲ, καὶ στερεώσας αὐτοὺς, ἐν τῇ πέτρᾳ τῆς ὁμολογίας σου.

Κάθισμα, ἦχος, πλ. δ᾽.

Τὴν Σοφίαν καὶ Λόγον.

Ὁ τὰ πάντα ποιήσας νεύματι σῷ, τοὺς ἐν πίστει θανόντας Χριστιανοὺς, πατέρας προπάτορας, πάππους δὲ καὶ προπάππους τε, ἀδελφοὺς καὶ φίλους, πλουσίους καὶ πένητας, βασιλεῖς καὶ ἄρχοντας, ὁμοῦ καὶ μονάζοντας, ὅπου τῶν Δικαίων καὶ Ἁγίων σου πλήθη, ἁπάντων ἡ οἴκησις, δυσωποῦμέν σε ἀνάπαυσον, ὡς Θεὸς ἀδιάλλακτος. Δέσποτα Χριστὲ Βασιλεῦ, τῶν πταισμάτων ἄφεσιν παρέχων αὐτοῖς, ὧν ἐξήμαρτον πάντες οἱ δοῦλοί σου. Δίς.

Θεοτοκίον. Ὅμοιον.

Χαριστήριον αἶνον χρεωστικῶς, ὡς ἡ χήρα ἐκείνη δύω λεπτὰ, προσφέρω σοι Δέσποινα, ὑπὲρ πασῶν τῶν χαρίτων σου. σὺ γὰρ ὤφθης σκέπη, ὁμοῦ καὶ βοήθεια, πειρασμῶν, καὶ θλίψεων, ἀεί με ἐξαίρουσα. ὅθεν ὡς ἐκ μέσης, φλογιζούσης καμίνου, ῥυσθεὶς τῶν θλιβόντων με, ἐκ καρδίας κραυγάζω σοι· Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι. σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Ὠδὴ, δ᾽. Ὁ Εἱρμός.

Χριστός μου δύναμις, Θεὸς καὶ Κύριος, ἡ σεπτὴ Ἐκκλησία θεοπρεπῶς, μέλπει ἀνακράζουσα, ἐκ διανοίας καθαρᾶς, ἐν Κυρίῳ ἑορτάζουσα.

Ὁ Ποιμαίνων Δέσποτα, ἐν τόπῳ χλόης Σωτὴρ, καὶ μετάγων ἐφ᾽ ὕδωρ πάντας πιστοὺς, τὸ τῆς ἀναπαύσεως· μὴ ἀποπέμψῃς τῆς ἐκεῖ, εὐφροσύνης τοὺς οἰκέτας σου.

Ἀγγέλων τάγμασιν, αὐτοὺς κατάταξον, Μοναστῶν σου χορείας Ἱεραρχῶν, λειτουργῶν ἁπάντων σου· σοὶ γὰρ ἀνέθεντο ψυχὰς, σὺν τοῖς σώμασι φιλάνθρωπε.

Σὺ μόνος ἔγνωκας, ὡς πάντων Κύριος, τὰς θανάτου ἐφόδους μέχρι ζωῆς, καὶ τὸ πέρας πάντων βροτῶν. διὸ οἰκτείρησον καὶ νῦν, τοὺς σοὺς δούλους μόνε ὑπεράγαθε.

Θεοτοκίον.

Ἁγίων Ἅγιον, Θεὸν κυήσασα, Παναγία Παρθένε θείαις λιταῖς, τοῦτον νῦν δυσώπησον, σκηναῖς ἁγίων ἐν τρυφῇ, κατατάξαι οὓς μετέστησεν.

Ὠδὴ, ε᾽. Ὁ Εἱρμός.

Τῷ θείῳ φέγγει σου ἀγαθὲ, τὰς τῶν ὀρθριζόντων σοι ψυχὰς, πόθῳ καταύγασον δέομαι, σὲ εἰδέναι Λόγε Θεοῦ, τὸν ὄντως Θεὸν, ἐκ ζόφου τῶν πταισμάτων ἀνακαλούμενον.

Τῶν Μαρτύρων θεῖοι χοροὶ, τάξεις Ἀποστόλων Προφητῶν, καὶ τῶν Δικαίων συστήματα, Σῶτερ σὲ ὑμνοῦντες καθικετεύουσι, τοὺς σῶσαι οὓς περ Κόσμου, πάντας προσείληφας.

Στεῤῥᾶς σου σάλπιγγος τῇ φωνῇ, ὅταν ἐξανοίγωνται τάφοι, νεκρῶν καὶ γῆ τρέμει φρίττουσα, τότε σὺν προβάτοις τοῖς δεξιοῖς σου Χριστὲ, κατάταξον σοὺς δούλους, οὓς περ μετέστησας.

Ἀνδρῶν τὰ στίφη σὺν γυναιξὶ, παίδων γηραιῶν ὁμοῦ, πενήτων δούλων πλουσίων τε, τῶν πιστῶς ἐντεῦθεν μετατεθέντων πρὸς σὲ, ἀνάπαυσον, καὶ σῶσον ὡς ἀδιάλλακτος. Θεοτοκίον.

Σὲ πάντες Ἄχραντε βοηθὸν, ζῶντες καὶ θανόντες εὐσεβῶς, φυλαὶ, καὶ γλῶσσαι κεκτήμεθα. ὅθεν τῆς ἐκεῖσε τυχεῖν ἀνέσεως, αἰτούμεθα πρεσβείαις σου ταῖς πρὸς Κύριον.

Ὠδὴ, ϛ᾽. Ὁ Εἱρμός.

Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμὼν, βοῶ σοι ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου Πολυέλεε.

Ἱλάσθητι Δέσποτα, παρακλήθητι Σωτὴρ, καὶ δεῖξόν σου τὸ ἔλεος, δεῖξον σπλάγχνα, καὶ σῶσον ὡς ἀγαθὸς, τῆς γῆς πάσης ἅπαντας, οὓς πρὸς σὲ μετήγαγες ὡς φιλάνθρωπος.

Ναμά-

Ναμάτων ἐν κλύσμασι, καὶ ἐν ῥείθροις ποταμῶν, καὶ τοὺς ἐξαίφνης θνήξαντας, τοὺς ἐν μάχαις, καὶ ὄρεσι, καὶ ὀπαῖς, τὸν βίον τελέσαντας, μὴ παρίδῃς ὡς μόνος ὢν διάλλακτος.

Ὁ βλέπων ὡς Κύριος, ἐν θαλάσσῃ, καὶ ἐν γῇ, τοὺς ἐν ἀδήλῳ θνήξαντας, τοὺς πολέμοις καὶ μάχαις καὶ ἐν πληγαῖς, δεινῶς τελευτήσαντας, πάντας οἴκτειρον Σῶτερ ὡς φιλάνθρωπος.

Θεοτοκίον.

Ἡ Πάναγνος Δέσποινα, ἡ τεκοῦσα τοῖς βροτοῖς, τὸν Κυβερνήτην Κύριον, τῶν παθῶν μου τὸν ἄστατον καὶ δεινόν, κατάπαυσον τάραχον, καὶ γαλήνην παράσχου τῇ καρδίᾳ μου.

Κοντάκιον, ἦχος πλ. δ'.

Αὐτόμελον.

Τοὺς μεταστάντας ἀφ' ἡμῶν ἐκ τῶν προσκαίρων, ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν κατασκήνωσον, καὶ μετὰ δικαίων ἀνάπαυσον, Σῶτερ ἀθάνατε. εἰ γὰρ ὡς ἄνθρωποι ἥμαρτον ἐπὶ γῆς, ἀλλὰ σὺ ὡς ἀναμάρτητος Κύριος, ἄφες αὐτοῖς τὰ ἑκούσια πταίσματα, καὶ τὰ ἀκούσια, μεσιτευούσης τῆς τεκούσης σε Θεοτόκου· ἵνα συμφώνως βοήσωμεν ὑπὲρ αὐτῶν, Ἀλληλούϊα.

Ὁ Οἶκος.

Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος, ὁ ποιήσας, καὶ πλάσας τὸν ἄνθρωπον. οἱ βροτοὶ οὖν ἐκ γῆς διεπλάσθημεν, καὶ εἰς γῆν τὴν αὐτὴν πορευσόμεθα. καθὼς ἐκέλευσας ὁ πλάσας με, καὶ εἰπών μοι, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· ὅπου πάντες βροτοὶ πορευσόμεθα, ἐπιτάφιον θρῆνον ποιοῦντες ᾠδὴν τό, Ἀλληλούϊα.

Τὸ Συναξάριον τοῦ Μηναίου.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

» Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο, Ἄγγελος τοῖς Ὁσίοις Παισί. τοὺς Χαλδαίους δὲ καταφλέγον πρόσταγμα Θεοῦ, τὸν Τύραννον ἔπεισε βοᾶν· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Σὺν Ἀγγέλοις ἐπὶ θρόνου Σῶτερ δόξης σου, ὅταν ἐλάσῃ κρῖναι τὴν γῆν, ψυχὰς δούλων σου, τῆς σῆς πλῆσον θείας χαρμονῆς, τοῦ ψάλλειν ἀπαύστως καὶ βοᾶν· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἐν φράγμασι θηρῶν, Χριστὲ τοὺς θνήξαντας, καὶ οὓς ἰχθὺς ἐνέλισεν, οὓς κατέχωσε συσσεισμός, καὶ βόθρος καὶ κρημνός, τοὺς πάντας ἐλέησον Σωτήρ, καὶ τῆς ἐκεῖθεν ἀπειλῆς, ῥῦσαι ὡς εὔσπλαγχνος.

Ξίφη, μάχαιρα καὶ πῦρ, δεινῶν ἐπίτασις, καὶ λίθων ἡ κατάλυσις, οὓς ἠνάλωσε σὺν λῃσταῖς, λιμός τε καὶ λοιμός, τῇ σῇ μετουσίᾳ καὶ χαρᾷ, σῶσον ὑμνεῖν σε εὐσεβῶς, τὸν τῶν Πατέρων Θεόν.

Θεοτοκίον.

Ἡ Ὅρμη πέφυκας ἁγνή, τοῦ Κόσμου γέφυρα, μετάγουσα βροτοὺς πρὸς Θεόν. τοὺς τὸν βίον οὖν, τῇ πρὸς σὲ ἐλπίδι καὶ στοργῇ, τελέσαντας, Μῆτερ τοῦ Θεοῦ, πάσης ἀνάγκης καὶ φθορᾶς, σῶζε πρεσβείαις σου.

Ὠδὴ η'. Ὁ Εἱρμός.

» Ἔκστηθι φρίττων Οὐρανέ, καὶ σαλευθήτωσαν τὰ θεμέλια τῆς γῆς. ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται. ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἅπαντας Δέσποτα βροτούς, παντοίου τάγματος, οὓς μετέστησας Σωτήρ, πιστούς σου Βασιλεῖς καὶ Ἄρχοντας, Ἐθνάρχας γῆς καὶ Κριτάς, λαῶν τε καὶ φυλῶν τοὺς προστάτας, ἐλέησον Οἰκτίρμον, καὶ ἀνάπαυσον μόνος, ὅπως σε ὑμνῶμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ῥῦσαι πυρὸς τοῦ φοβεροῦ, δούλους φιλάνθρωπε, Ἐκκλησίας σου σεπτῆς, καὶ σῶσον Μοναστῶν συστήματα, Ἱερωμένων πληθύν, χορείας λειτουργῶν σου ἐνθέων, καὶ πάντας τῆς ἐκεῖσε, καταξίωσον δόξης, ὅπως σε ὑμνῶμεν, εἰς πάντας τοὺς αἰῶνας.

Σῶσον ὦ Δέσποτα Χριστέ, σῶσον ἐλέησον, καὶ ἀνάπαυσον ψυχάς, Λαοῦ σου τοὺς πιστῶς τελέσαντας, τρόπῳ παντὶ τὴν ζωήν, ἐν τόπῳ, καὶ ἐν χώρᾳ παντοίᾳ, καὶ ῥῦσαι τῆς Γεέννης, καὶ πικρᾶς βασάνων, ὅπως σε ὑμνῶμεν, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἔλυσας μόνη τὴν ἀράν, Παρθένε Ἄχραντε, τὴν τῆς Εὔας ἀληθῶς, ζωὴν δὲ τοῖς ἐν γῇ ἐπήγασας. διὸ πρεσβείαις

ταῖς

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΑΤΙΣΤΑΣ ΜΑΝΟΥΣΕΙΟΣ

ταῖς σαῖς, τοῦ βίου τοῦ προσκαίρου λυθέντας, ζωῆς τῆς αἰωνίου, καταξίωσον πάντας, ὅπως σε ὑμνῶμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Ἀπορεῖ πᾶσα γλῶσσα, εὐφημεῖν πρὸς ἀξίαν· ἰλιγγιᾷ δὲ νοῦς καὶ ὑπερκόσμιος, ὑμνεῖν σε Θεοτόκε. ὅμως ἀγαθὴ ὑπάρχουσα, τὴν πίστιν δέχου· καὶ γὰρ τὸν πόθον οἶδας τὸν ἔνθεον ἡμῶν. σὺ γὰρ Χριστιανῶν εἶ προστάτις, σὲ μεγαλύνομεν.

Νῦν ἐλεῆμον στίφη, δυσωπεῖ σε Ἀγγέλων, σὺν Χερουβίμ τε, θεῖα Σεραφὶμ καθικετεύει, Ἐξουσίαι Θρόνοι καὶ Ἀρχαί, καὶ Δυνάμεις τε σὺν Ἀρχαγγέλοις, καὶ Κυριότητές σε αἰτοῦσι κραταιέ, ὅπως ψυχὰς ἁπάσας οἰκτειρήσῃς, ἅσπερ μετέστησας.

Ἰδοὺ οἱ δῆμοι, σὲ τῶν Προφητῶν ἐξαιτοῦνται, τῶν Ἀποστόλων δέονται χοροί, σὺν Πατριάρχαις Μαρτύρων τε στῖφος, σὺν Ὁσίων πλήθεσιν ἀπαρακλήτως, ἐκβοῶσι· σῶσον φιλάνθρωπε ψυχάς, πάντων τῶν ἐκ γῆς τεθνεώτων, εὐσεβῶν δούλων σου.

Ὁ εἰδὼς τὰ πάντα βλέπεις, καθορᾷς καὶ γινώσκεις, βροτῶν τὰ πλήθη, καὶ τὸ τῆς ζωῆς ἑκάστου πέρας, πᾶσι δίδου τὴν τῶν ἐγκλημάτων λύτρωσιν. καὶ Παραδείσου τῆς καλλονῆς, ἀξίωσον πάντας ὡς Θεός, μόνε οὓς ἐξελέξω Οἰκτίρμον, πιστοὺς οἰκέτας σου.

Θεοτοκίον.

Ὑπεραγία Δέσποινα, τοῦ Κόσμου Παρθένε, σὺ πάντων σκέπη, ζώντων καὶ θανόντων χρηματίζεις, καὶ γαλήνη δόξα, καὶ τρυφή, καὶ ἄφεσις τῶν σὲ προστάτιν, καὶ βοηθόν, καὶ ῥύστιν πλουτούντων Ἀγαθή. ὅθεν αὐτοὺς διάσωσον πάντας, ταῖς ἱκεσίαις σου.

Ἐξαποστειλάριον.

Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Μνήμην τελοῦντες πάντων, τῶν κοιμηθέντων ἐν Χριστῷ, καὶ τελευταίας ἡμέρας, μνήμην ποιήσωμεν Πιστοί, ὑπὲρ ἡμῶν τε κἀκείνων, Χριστὸν ἀεὶ δυσωποῦντες.

Θεοτοκίον. Ὅμοιον.

Ὁ Γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, Χριστιανῶν ἡ προστάτις, Παρθένε Μήτηρ Κυρίου, ἀντιλαβοῦ ἡμᾶς ῥῦσαι, τῶν αἰωνίων βασάνων.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἱστῶμεν στ. δ'. καὶ ψάλλομεν τὰ παρόντα στ. εἰς ἦχον, πλ. β'.

Ἡ ἀπεγνωσμένη.

Φοβερὸν τὸ τέλος τοῦ θανάτου, καὶ φρικτὴ ἡ Κρίσις ἡ τοῦ Δεσπότου. τὸ πῦρ γὰρ τὸ ἄσβεστον, ηὐτρέπισται ἐκεῖσε. σκώληξ ἀκοίμητος κολάζων, καὶ βρυγμὸς τῶν ὀδόντων. σκότος ἐξώτερον ὑπάρχει, καὶ αἰωνία δίκη· διὸ κράξωμεν πρὸς τὸν Σωτῆρα· οὓς ἐξελέξω ἐκ τῶν προσκαίρων ἀνάπαυσον, διὰ τὸ μέγα σου ἔλεος.

Πάντες οἱ ἐν βίῳ προσεστηκότες, δεῦτε ἐν τοῖς τάφοις ἐξεστηκότες, ἐγκύψατε ἴδετε, τοῦ Κόσμου τὴν ἀπάτην. ποῦ νῦν τοῦ σώματος τὸ κάλλος, καὶ ἡ δόξα τοῦ πλούτου; ποῦ δὲ ἡ ἔπαρσις τοῦ βίου; ὄντως μάταια πάντα. διὸ κράξωμεν πρὸς τὸν Σωτῆρα· οὓς ἐξελέξω ἐκ τῶν προσκαίρων ἀνάπαυσον, διὰ τὸ μέγα σου ἔλεος.

Νῦν εἰς τὸν τάφον ὁ ἐκ θρόνου, νῦν ὁ ἐν πορφύρᾳ φθορὰν ὑπέδυ. οὐκ ἔτι ἐν θρόνῳ γάρ, ἀλλ' ἐν μνήματι κεῖται. ἴδε ἐξέλιπε, τὸ βασίλειον κράτος. ἴδε ὡς ὄναρ τῶν ἀνθρώπων, παροδεύει ὁ βίος. διὸ κράξωμεν πρὸς τὸν Σωτῆρα· οὓς ἐξελέξω ἀνάπαυσον, διὰ τὸ μέγα σου ἔλεος.

Πάντας τοὺς ἐνθάδε μετατεθέντας, ἐν αἰωνίου ζωῆς ἐλπίδι, καὶ βίον ἀλλάξαντας παντοίῳ Σῶτερ τρόπῳ, πᾶσαν κατάστασιν καὶ γένος, καὶ πᾶσαν ἡλικίαν, ἄνδρας ὁμοῦ τε καὶ γυναῖκας, καὶ ἀρτίτοκα βρέφη, ὡς φιλάνθρωπος ἐν κόλποις τάξον, τοῦ Ἀβραάμ τε καὶ ἐν τόποις ἀφέσεως, διὰ τὸ μέγα σου ἔλεος.

Δόξα, ἦχος β'.

Ὡς ἄνθος μαραίνεται, καὶ ὡς ὄναρ παρέρχεται, καὶ διαλύεται πᾶς ἄνθρωπος. πάλιν δὲ ἠχούσης τῆς σάλπιγγος, νεκροὶ ὡς ἐν συσσεισμῷ πάντες ἀναστήσονται, πρὸς τὴν σὴν ὑπάντησιν Χριστὲ ὁ Θεός. τότε Δέσποτα, οὓς μετέστησας ἐξ ἡμῶν, ἐν ταῖς τῶν ἁγίων σου κατάταξον σκηναῖς, τὰ τούτων ἐγκλήματα παριδὼν ἀγαθέ.

Καὶ νῦν, ἦχος πλ. β'.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐν σοφίᾳ δημιουργήσας τὸ πᾶν, ὁ καὶ τοὺς Προφήτας ἐξαποστείλας ἡμῖν, προφητεῦσαί σου τὴν

παρου-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη

παρουσίαν, καὶ Ἀποστόλους κηρύξαι σου τὰ μεγαλεῖα. καὶ οἱ μὲν προεφήτευον τὴν ἔλευσίν σου, οἱ δὲ τῷ Βαπτίσματι ἐφώτισαν τὰ Ἔθνη. Μάρτυρες δὲ ἔτυχον δόξης ἐκ τούτων, καὶ πρεσβεύουσιν ἐκτενῶς σοι τῷ Δεσπότῃ, σὺν τῇ τεκούσῃ σε Μητρί. ἀνάπαυσον ὁ Θεὸς ψυχὰς ἃς προσελάβου, καὶ ἡμᾶς καταξίωσον τῆς Βασιλείας σου, ὁ Σταυρὸν ὑπομείνας δι' ἐμὲ τὸν κατάκριτον, ὁ λυτρωτής μου καὶ Θεός.

Εἰς τὸν στ. στ. Προσόμοια, ἦχος, πλ. β'.
Ὅλην ἀποθέμενοι.

Ἔχων ἀκατάληπτον, τὴν εἰς ἡμᾶς δι' εὐσπλαγχνίαν, καὶ πηγὴν ἀκένωτον, θεϊκῆς χρηστότητος πολυέλεε, τοὺς πρὸς σὲ Δέσποτα, μεταβεβηκότας, ἐν γῇ ζώντων κατασκήνωσον, εἰς τὰ σκηνώματα, τὰ ἀγαπητὰ καὶ ποθούμενα, κατάχεσιν δωρούμενος, τὴν διηνεκῶς διαμένουσαν. σὺ γὰρ ὑπὲρ πάντων, ἐξέχεας τὸ αἷμά σου Χριστὲ, καὶ ζωηφόρῳ τιμήματι, Κόσμον ἐξηγόρασας.

Στ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς.

Νέκρωσιν ὑπέμεινας, ζωοποιὸν ἑκουσίως, καὶ ζωὴν ἐπήγασας, καὶ τρυφὴν ἀΐδιον, πιστοῖς δέδωκας, θεϊκῇ Δέσποτα, δι' εὐσπλαγχνίαν μόνε, Παμοικτίρμον ἀναμάρτητε, ἐν ᾗ δεόμεθα, τοὺς κεκοιμημένους κατάταξον, ἐλπίδι ἀναστάσεως, λύσιν τῶν πταισμάτων δωρούμενος. ἵνα διὰ πάντων, ὑμνῆται σου τὸ ὄνομα Χριστὲ, καὶ σεσωσμένοι δοξάζωμεν, τὴν φιλανθρωπίαν σου.

Στ. Μακάριοι οὓς ἐξελέξω.

Ζώντων κυριεύοντα, θεαρχικῇ ἐξουσίᾳ, καὶ νεκρῶν δεσπόζοντα, σὲ Χριστὲ γινώσκοντες ἱκετεύομεν, τοὺς πιστοὺς δούλους σου, τοὺς πρὸς σὲ τὸν μόνον, εὐεργέτην ἐκδημήσαντας, αὐτὸς ἀνάπαυσον, σὺν τοῖς ἐκλεκτοῖς σου φιλάνθρωπε, ἐν τόπῳ ἀναψύξεως, ἐν ταῖς τῶν Ἁγίων λαμπρότησι. θελητὴς ἐλέους, ὑπάρχεις γὰρ καὶ σῴζεις ὡς Θεὸς, οὓς κατ' εἰκόνα σου ἔπλασας, μόνε πολυέλεε.

Δόξα, ἦχος, πλ. β'.

Ἄλγος τῷ Ἀδὰμ ἐχρημάτισεν, ἡ τοῦ ξύλου ἀπόγευσις πάλαι ἐν Ἐδὲμ, ὅτε ὄφις ἰὸν ἐξηρεύξατο. δι' αὐτοῦ γὰρ εἰσῆλθεν ὁ θάνατος, παγγενῆ κατεσθίων τὸν ἄνθρωπον. ἀλλ' ἐλθὼν ὁ Δεσπότης, καθεῖλε τὸν δράκοντα, καὶ ἀνάστασιν ἡμῖν ἐδωρήσατο. πρὸς αὐτὸν οὖν βοήσωμεν· φεῖσαι Σωτὴρ, καὶ οὓς προσελάβου μετὰ τῶν ἐκλεκτῶν σου, ἀνάπαυσον ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Ὤφθης ἐνδιαίτημα, θεοπρεπὲς Παναγία, καὶ Θεὸν ἐχώρησας, καὶ Θεὸν ἐγέννησας ἀπειρόγαμε, τὸν βροτοῖς ὁρώμενον, ἐν δυσὶν οὐσίαις, ἐν μιᾷ δὲ ὑποστάσει Ἁγνὴ, αὐτὸν δυσώπησον, τὸν Μονογενῆ καὶ πρωτότοκον, τὸν σὲ Παρθένον Ἄμωμον, καὶ μετὰ τὸν τόκον φυλάξαντα, ψυχὰς ἀναπαῦσαι, τῶν πίστει κοιμηθέντων ἐν φωτὶ, ἐν ἀκηράτῳ φαιδρότητι καὶ μακαριότητι.

Τὰ Τροπάρια.

Ὁ βάθει σοφίας φιλανθρώπως.
Σὲ καὶ τεῖχος καὶ λιμένα.

Καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικά.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος, πλ. β'.
Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς.
Στ. Πρὸς σὲ Κύριε κεκράξομαι.
Ἡ πρᾶξις τῆς ἡμέρας, καὶ Νεκρώσιμον Ἀπόστολον.

Ἀλληλούϊα. ἦχος, πλ. β'.
Μακάριοι οὓς ἐξελέξω, καὶ προσελάβου.
Στ. Καὶ τὸ μνημόσυνον αὐτῶν.

Εὐαγγέλιον τῆς ἡμέρας,
Ἐκ τοῦ κατὰ Ἰωάννην.
Καὶ Νεκρώσιμον.

Κοινωνικόν. Μακάριοι, οὓς ἐξελέξω, καὶ προσελάβου Κύριε, καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν, καὶ γενεάν.

Κυριακῇ τῆς Ἁγίας Πεντηκοστῆς, ὀψὲ Σαββάτῳ, ἐν τῷ μικρῷ Ἑσπερινῷ, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. δ'. Καὶ ψάλλομεν τοὺς γ'. πρώτους. Ζήτει ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, δευτεροῦντες τὸ ἕν.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'.
Ὅτε τὸ Πνεῦμά σου.

Ζήτει εἰς τὴν Λιτήν.

Εἰς τὸν στ. στ. Ἰδιόμελα, ἦχος, β'.
Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν.

στ. Καρ·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Κ. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Ἐν τοῖς Προφήταις.

Σ. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἐν ταῖς αὐλαῖς σου.

Ζήτει πάντα ὄπισθεν.

Δόξα, καὶ νῦν. Ἦχος, β΄.

Τριάδα ὁμοούσιον ὑμνολογήσωμεν, Πατέρα καὶ Υἱὸν σὺν Ἁγίῳ Πνεύματι. οὕτω γὰρ ἐκήρυξαν πάντες οἱ Προφῆται, καὶ Ἀπόστολοι μετὰ Μαρτύρων.

Τό, Νῦν Ἀπολύεις. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Τὸ Ἀπολυτίκιον.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Καὶ τὰ λοιπὰ συνήθως, καὶ Ἀπόλυσις.

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, ἡ συνήθης Στιχολογία. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι΄. Καὶ ψάλλομεν τὰ Ἰδιόμελα, τὰ γ΄. πρῶτα, δευτεροῦντες τὸ α΄. Εἶτα τὰ ε΄. δεύτερα, δευτεροῦντες τὸ πρῶτον. Ἦχος, α΄.

Πεντηκοστὴν ἑορτάζομεν, καὶ Πνεύματος ἐπιδημίαν, καὶ προθεσμίαν ἐπαγγελίας, καὶ ἐλπίδος συμπλήρωσιν, καὶ τὸ μυστήριον ὅσον, ὡς μέγα τε καὶ σεβάσμιον. διὸ βοῶμέν σοι· Δημιουργὲ τοῦ παντὸς Κύριε δόξα σοι. Δίς.

Ὁ αὐτός.

Γλώσσαις ἀλλογενῶν, ἐκαινούργησας Χριστὲ τοὺς σοὺς Μαθητάς. ἵνα δι' αὐτῶν σε κηρύξωσι τὸν ἀθάνατον Λόγον καὶ Θεὸν, τὸν παρέχοντα ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Πάντα χορηγεῖ τὸ Πνεῦμα τὸ ἅγιον. βρύει προφητείας, Ἱερέας τελειοῖ, ἀγραμμάτους σοφίαν ἐδίδαξεν, Ἁλιεῖς Θεολόγους ἀνέδειξεν, ὅλον συγκροτεῖ τὸν θεσμὸν τῆς Ἐκκλησίας. Ὁμοούσιε καὶ ὁμόθρονε, τῷ Πατρὶ καὶ τῷ Υἱῷ, Παράκλητε δόξα σοι.

Ἦχος, β΄.

Εἴδομεν τὸ φῶς τὸ ἀληθινὸν, ἐλάβομεν Πνεῦμα Ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες. αὕτη γὰρ ἡμᾶς ἔσωσε. Δίς.

Ὁ αὐτός.

Ἐν τοῖς Προφήταις ἀπήγγειλας ἡμῖν ὁδὸν σωτηρίας, καὶ ἐν Ἀποστόλοις ἔλαμψε Σωτὴρ ἡμῶν, ἡ χάρις τοῦ Πνεύματός σου. σὺ εἶ Θεὸς πρῶτος, σὺ καὶ μετὰ ταῦτα, καὶ εἰς τοὺς αἰῶνας σὺ εἶ ὁ Θεὸς ἡμῶν.

Ὁ αὐτός.

Ἐν ταῖς αὐλαῖς σου ὑμνήσω σε τὸν Σωτῆρα τοῦ Κόσμου, καὶ κλίνας γόνυ προσκυνήσω σου τὴν ἀήττητον δύναμιν, ἐν ἑσπέρᾳ καὶ πρωῒ καὶ μεσημβρίᾳ, καὶ ἐν παντὶ καιρῷ εὐλογήσω σε Κύριε.

Ὁ αὐτός.

Ἐν ταῖς αὐλαῖς σου Κύριε, οἱ Πιστοὶ τὸ γόνυ τῆς ψυχῆς, καὶ τοῦ σώματος ὑποκλίναντες, ἀνυμνοῦμέν σε τὸν ἄναρχον Πατέρα, καὶ τὸν συνάναρχον Υἱὸν, καὶ τὸ συναΐδιον καὶ Πανάγιον Πνεῦμα, τὸ φωτίζον καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Τριάδα ὁμοούσιον ὑμνολογήσωμεν, Πατέρα, καὶ Υἱὸν, σὺν Ἁγίῳ Πνεύματι. οὕτω γὰρ ἐκήρυξαν πάντες οἱ Προφῆται, καὶ Ἀπόστολοι μετὰ Μαρτύρων.

Δόξα, καὶ νῦν, Ἦχος, πλ. δ΄.

Λέοντος Δεσπότου.

Δεῦτε λαοὶ, τὴν τρισυπόστατον Θεότητα προσκυνήσωμεν, Υἱὸν ἐν τῷ Πατρὶ σὺν Ἁγίῳ Πνεύματι. Πατὴρ γὰρ ἀχρόνως ἐγέννησεν Υἱὸν συναΐδιον, καὶ σύνθρονον. καὶ Πνεῦμα Ἅγιον ἦν ἐν τῷ Πατρὶ, σὺν Υἱῷ δοξαζόμενον. μία Δύναμις, μία Οὐσία, μία Θεότης, ἣν προσκυνοῦντες πάντες λέγωμεν· Ἅγιος ὁ Θεὸς ὁ τὰ πάντα δημιουργήσας δι' Υἱοῦ, συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος. Ἅγιος Ἰσχυρὸς, δι' οὗ τὸν Πατέρα ἐγνώκαμεν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐπεδήμησεν ἐν Κόσμῳ. Ἅγιος Ἀθάνατος, τὸ Παράκλητον Πνεῦμα, τὸ ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ ἐν Υἱῷ ἀναπαυόμενον· Τριὰς Ἁγία δόξα σοι.

Εἴσοδος, τό, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Ἀριθμῶν τὸ Ἀνάγνωσμα.

Εἶπε Κύριος πρὸς Μωυσῆν· συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσ- Κεφ. ια΄. 16.

βυτέρων τοῦ Λαοῦ, οὓς αὐτὸς σὺ οἶδας, ὅτι οὗτοί εἰσι πρεσβύτεροι τοῦ Λαοῦ, καὶ Γραμματεῖς αὐτῶν, καὶ ἄξεις αὐτοὺς εἰς τὴν Σκηνὴν τοῦ μαρτυρίου, καὶ στήσονται ἐκεῖ μετὰ σοῦ. καὶ καταβήσομαι, καὶ λαλήσω ἐκεῖ μετὰ σοῦ. καὶ ἀφελῶ ἀπὸ τοῦ Πνεύματος τοῦ ἐπὶ σοὶ, καὶ ἐπιθήσω ἐπ᾽ αὐτούς. καὶ συναντιλήψονται μετὰ σοῦ τὴν ὁρμὴν τοῦ λαοῦ, καὶ οὐκ οἴσεις αὐτοὺς σὺ μόνος. Καὶ συνήγαγε Μωσῆς ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων τοῦ Λαοῦ, καὶ ἔστησεν αὐτοὺς κύκλῳ τῆς Σκηνῆς. καὶ κατέβη Κύριος ἐν νεφέλῃ, καὶ ἐλάλησε πρὸς Μωσῆν, καὶ παρείλετο ἀπὸ τοῦ Πνεύματος τοῦ ἐπ᾽ αὐτῷ, καὶ ἐπέθηκεν ἐπὶ τοὺς ἑβδομήκοντα ἄνδρας τοὺς Πρεσβυτέρους. ὡς δὲ ἐπανεπαύσατο τὸ Πνεῦμα ἐπ᾽ αὐτοὺς, καὶ προεφήτευσαν ἐν τῇ παρεμβολῇ, καὶ οὐκέτι προσέθεντο. καὶ κατελείφθησαν δύο ἄνδρες ἐν τῇ παρεμβολῇ, ὄνομα τῷ ἑνὶ, Ἐλδὰδ, καὶ ὄνομα τῷ δευτέρῳ, Μωδὰδ, καὶ ἐπανεπαύσατο ἐπ᾽ αὐτοὺς τὸ Πνεῦμα. καὶ οὗτοι ἦσαν τῶν καταγεγραμμένων, καὶ οὐκ ἦλθον εἰς τὴν Σκηνὴν, καὶ προεφήτευσαν ἐν τῇ παρεμβολῇ. καὶ προσδραμὼν ὁ νεανίσκος, ἀπήγγειλε τῷ Μωσεῖ, καὶ εἶπεν αὐτῷ λέγων· Ἐλδὰδ, καὶ Μωδὰδ προφητεύουσιν ἐν τῇ παρεμβολῇ. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς ὁ τοῦ Ναυῆ, ὁ παρεστηκὼς Μωσεῖ, ὁ ἐκλεκτὸς αὐτοῦ, εἶπε· Κύριε Μωσῆ, κώλυσον αὐτούς. καὶ εἶπεν αὐτῷ Μωσῆς· μὴ ζηλοῖς σύ μοι; καὶ τίς δῴη πάντα τὸν Λαὸν Κυρίου Προφήτας, ὅταν δῷ Κύριος τὸ Πνεῦμα αὐτοῦ ἐπ᾽ αὐτούς;

### Προφητείας Ἰωὴλ τὸ Ἀνάγνωσμα.

Κεφ. β΄. 23. Τάδε λέγει Κύριος· τὰ τέκνα σου Σιὼν, χαίρετε καὶ εὐφραίνεσθε ἐπὶ Κυρίῳ τῷ Θεῷ ὑμῶν, ὅτι ἔδωκεν ὑμῖν βρώματα εἰς δικαιοσύνην. καὶ βρέξει ὑμῖν ὑετὸν πρώϊμον καὶ ὄψιμον, καθὼς ἔμπροσθεν. καὶ πλησθήσονται αἱ ἅλωνες σίτου, καὶ ὑπερεκχυθήσονται αἱ ληνοὶ οἴνου καὶ ἐλαίου. καὶ ἀνταποδώσω ὑμῖν ἀντὶ τῶν ἐτῶν, ὧν κατέφαγεν ἡ ἀκρὶς, καὶ ὁ βροῦχος, καὶ ἡ ἐρυσίβη καὶ ἡ κάμπη, ἡ δύναμίς μου ἡ μεγάλη, ἣν ἐξαπέστειλα εἰς ὑμᾶς. καὶ φάγεσθε ἐσθίοντες, καὶ ἐμπλησθήσεσθε, καὶ αἰνέσετε τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ὑμῶν, ὃς ἐποίησε μεθ᾽ ὑμῶν θαυμάσια. καὶ οὐ μὴ καταισχυνθῇ ὁ Λαός μου εἰς τὸν αἰῶνα. καὶ ἐπιγνώσεσθε ὅτι ἐν μέσῳ τοῦ Ἰσραὴλ ἐγώ εἰμι. καὶ ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, καὶ Κεφ. γ΄. 1.
οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ. καὶ οὐ μὴ καταισχυνθῇ ἔτι ὁ Λαός μου εἰς τὸν αἰῶνα. καὶ ἔσται μετὰ ταῦτα, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα. καὶ προφητεύσουσιν οἱ Υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται. καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου, ἐν ταῖς ἡμέραις ἐκείναις, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου, καὶ προφητεύσουσι. καὶ δώσω τέρατα ἐν τῷ Οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα, καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ. ὁ Ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ Σελήνη εἰς αἷμα, πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται.

### Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα. Κεφ λϛ΄ 24

Τάδε λέγει Κύριος· λήψομαι ὑμᾶς ἐκ τῶν Ἐθνῶν· καὶ ἀθροίσω ὑμᾶς ἐκ πασῶν τῶν γενεῶν· καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν ὑμῶν· καὶ ῥανῶ ἐφ᾽ ὑμᾶς ὕδωρ καθαρὸν, καὶ καθαρισθήσεσθε ἀπὸ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν, καὶ ἀπὸ πάντων τῶν εἰδώλων ὑμῶν. καὶ καθαριῶ ὑμᾶς. καὶ δώσω ὑμῖν καρδίαν καινὴν, καὶ Πνεῦμα καινὸν δώσω ὑμῖν. καὶ ἀφελῶ τὴν καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς ὑμῶν, καὶ δώσω ὑμῖν καρδίαν σαρκίνην. καὶ τὸ Πνεῦμά μου δώσω ἐν ὑμῖν, καὶ ποιήσω, ἵνα ἐν τοῖς δικαιώμασί μου πορεύησθε, καὶ τὰ κρίματά μου φυλάξησθε, καὶ ποιήσητε. καὶ κατοικήσητε ἐπὶ τῆς γῆς, ἧς ἔδωκα τοῖς Πατράσιν ὑμῶν· καὶ ἔσεσθέ μοι εἰς Λαὸν, κἀγὼ ἔσομαι ὑμῖν εἰς Θεόν.

### Εἰς τὴν Λιτὴν ἦχ. π. Ἰδιόμελα, τῆς γ. δευτέρας.

Ἐν τοῖς Προφήταις ἀπήγγειλας ἡμῖν ὁδὸν σωτηρίας, καὶ ἐν Ἀποστόλοις ἔλαμψε Σωτὴρ ἡμῶν ἡ χάρις τοῦ Πνεύματός σου. σὺ εἶ Θεὸς πρῶτος, σὺ καὶ μετὰ ταῦτα, καὶ εἰς τοὺς αἰῶνας, σὺ εἶ ὁ Θεὸς ἡμῶν.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ἘΝ ταῖς αὐλαῖς σου ὑμνήσω σε τὸν Σωτῆρα τοῦ Κόσμου, καὶ κλίνας γόνυ προσκυνήσω σου τὴν ἀήττητον δύναμιν. ἐν ἑσπέρᾳ, καὶ πρωΐ, καὶ μεσημβρίᾳ, καὶ ἐν παντὶ καιρῷ εὐλογήσω σε Κύριε.

ἘΝ ταῖς αὐλαῖς σου Κύριε, οἱ πιστοὶ τὸ γόνυ τῆς ψυχῆς καὶ τοῦ σώματος ὑποκλίναντες, ἀνυμνοῦμέν σε τὸν ἄναρχον Πατέρα, καὶ τὸν συνάναρχον Υἱόν, καὶ τὸ συναΐδιον, καὶ πανάγιον Πνεῦμα, τὸ φωτίζον καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ΄.

ὍΤε τὸ Πνεῦμά σου κατέπεμψας Κύριε, καθημένων τῶν Ἀποστόλων, τότε οἱ τῶν Ἑβραίων παῖδες θεωροῦντες, ἐξίσταντο θάμβει. ἤκουον γὰρ αὐτῶν φθεγγομένων ἑτέραις ξέναις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐχορήγει αὐτοῖς. ἰδιῶται γὰρ ὄντες ἐσοφίσθησαν, καὶ τὰ Ἔθνη πρὸς πίστιν ζωγρήσαντες, τὰ θεῖα ἐρρητόρευον. διὸ καὶ ἡμεῖς βοῶμέν σοι· ὁ ἐπὶ γῆς ὀφθεὶς, καὶ ἐκ τῆς πλάνης σώσας ἡμᾶς, Κύριε δόξα σοι.

Εἰς τὸν Στ. τὰ Ἰδιόμελα. Ἦχος, β΄.

ἈΓνοοῦντα τὰ Ἔθνη Κύριε, τὴν τοῦ παναγίου Πνεύματος, ἐν τοῖς Ἀποστόλοις σου γενομένην δύναμιν, τὴν ἐναλλαγὴν τῶν γλωσσῶν, μέθην εἶναι ἐνόμιζον. ἡμεῖς δὲ στηριχθέντες ὑπ' αὐτῶν, ἀπαύστως οὕτω λέγομεν· τὸ Πνεῦμά σου τὸ Ἅγιον, μὴ ἀντανέλῃς ἀφ' ἡμῶν, δεόμεθα φιλάνθρωπε.

Στ. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί.

Ὁ αὐτός.

ΚΎριε τοῦ Ἁγίου Πνεύματος ἡ ἐπιφοίτησις, τοὺς Ἀποστόλους σου ἐμφορήσασα, ἐν ἑτέραις γλώσσαις λαλεῖν παρεσκεύασεν. ὅθεν τὸ παράδοξον, τοῖς μὲν ἀπίστοις μέθη ἐνομίζετο, τοῖς δὲ πιστοῖς πρόξενον σωτηρίας. οὗ τῆς ἐλλάμψεως καὶ ἡμᾶς ἀξίωσον, δεόμεθα φιλάνθρωπε.

Στ. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου.

Ὁ αὐτός.

ΒΑσιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας. ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν. ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγὸς, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς, ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. ἦχος, πλ. δ΄.

ΓΛῶσσαι ποτὲ συνεχέθησαν, διὰ τὴν τόλμαν τῆς πυργοποιΐας. γλῶσσαι δὲ νῦν ἐσοφίσθησαν, διὰ τὴν δόξαν τῆς Θεογνωσίας. ἐκεῖ κατεδίκασε τοὺς ἀσεβεῖς τῷ πταίσματι. ἐνταῦθα ἐφώτισε Χριστὸς τοὺς Ἁλιεῖς τῷ Πνεύματι. τότε κατηργήθη ἡ ἀφωνία πρὸς τιμωρίαν. ἄρτι καινουργεῖται ἡ συμφωνία, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος, πλ. δ΄.

ΕὙλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς Ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ δι' αὐτῶν τὴν Οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε δόξα σοι. Ἐκ γ΄.

Τὸ αὐτό, καὶ εἰς τὸ Θεὸς Κύριος.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολ. κάθισμα. ἦχος, δ΄.

Κατεπλάγη Ἰωσήφ.

ΤΗν μεθέορτον Πιστοὶ, καὶ τελευταίαν Ἑορτὴν, ἑορτάσωμεν φαιδρῶς, αὕτη ἐστὶ Πεντηκοστὴ, ἐπαγγελίας συμπληρώσεις καὶ προθεσμίας. ἐν ταύτῃ γὰρ τὸ πῦρ, τοῦ Παρακλήτου εὐθὺς, κατέβη ἐπὶ γῆς, ὥσπερ ἐν εἴδει γλωσσῶν, καὶ Μαθητὰς ἐφώτισε, καὶ τούτους Οὐρανομύστας ἀνέδειξε. τὸ φῶς ἐπέστη, τοῦ Παρακλήτου, καὶ τὸν Κόσμον ἐφώτισε. Δίς.

Καὶ γίνεται Ἀνάγνωσις.

Μετὰ τὴν β΄. στιχολ. κάθισμα. Ὅμοιον.

ἩΤοῦ Πνεύματος πηγὴ, ἐπιδημοῦσα τοῖς ἐν γῇ, εἰς πυρφόρους ποταμοὺς, μεριζομένη νοητῶς, τοὺς Ἀποστόλους ἐδρόσιζε φωταγωγοῦσα. καὶ γέγονεν αὐτοῖς, νέφος δροσῶδες τὸ πῦρ. φωτίζουσα αὐτοὺς, καὶ ὑετίζουσα φλόξ. δι' ὧν ἡμεῖς ἐλάβομεν, τὴν χάριν διὰ πυρός τε καὶ ὕδατος. τὸ φῶς ἐπέστη, τοῦ Παρακλήτου, καὶ τὸν Κόσμον ἐφώτισε. Δίς.

Καὶ πάλιν Ἀνάγνωσις.

Μετὰ τὸν Πολυέλεον, κάθισμα. ἦχος, πλ. δ΄.

Τὸ προσταχθὲν μυστικῶς.

ΜΕτὰ τὴν ἔγερσιν Χριστὲ, τὴν ἐκ τοῦ τάφου, καὶ τὴν πρὸς ὕψος Οὐρανοῦ, θείαν Ἀνάληψιν, τοῖς Θεόπταις τὴν δόξαν σου κατέπεμψας Οἰκτίρμων, Πνεῦμα εὐθὲς



ΑΝΟΙΧΤΗ ΒΙΒΛΙΟΘΗΚΗ

ἐγκαινίσας τοῖς Μαθηταῖς. ὅθεν ὥσπερ κιθάρα μυστικὴ, πᾶσιν ἐξωμολόγησαν, τῷ θείῳ πλήκτρῳ μυστικῶς, Σῶτερ τὰ ἀπηχήματα, καὶ τὴν οἰκονομίαν σου. Δίς.

Οἱ Ἀναβαθμοὶ, τὸ α'. Ἀντίφωνον τοῦ δ'. ἤχου. Προκείμενον, ἦχος, δ'.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με.

Στ. Κύριε εἰσάκουσον τῆς προσευχῆς μου.

Τό, Πᾶσα πνοή.

Εὐαγγέλιον, Ἑωθινὸν, θ'.

Ἐκ τοῦ κατὰ Ἰωάννην.

Οὔσης ὀψίας, ἕως τὸ, ἄν τινων κρατῆτε, κεκράτηνται.

Ἀνάστασιν Χριστοῦ, ἢ λέγομεν, ἀλλ' εὐθὺς τὸν, Ν'.

Δόξα. Ταῖς τῶν Ἀποστόλων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα, τὸ. Ἐλέησόν με ὁ Θεός.

Ἦχος, πλ. β'.

Βασιλεῦ Οὐράνιε, Παράκλητε.

Οἱ Κανόνες τῆς Ἑορτῆς. Ὁ βαρὺς μετὰ τῶν Εἱρμῶν, εἰς η'. καὶ ὁ δ'. μετὰ τῶν Εἱρμῶν, εἰς ς'.

Ὁ Κανὼν, οὗ ἡ ἀκροστ.

Πεντηκοστὴν ἑορτάζομεν.

Ποίημα Κοσμᾶ Μοναχοῦ.

Ὠδὴ, α. ἦχος, βαρύς. Ὁ Εἱρμός.

Πόντῳ ἐκάλυψε Φαραὼ σὺν ἅρμασιν, ὁ συντρίβων πολέμους ἐν ὑψηλῷ βραχίονι· ᾄσωμεν αὐτῷ, ὅτι δεδόξασται.

Ἔργῳ ὡς πάλαι τοῖς Μαθηταῖς ἐπηγγείλω, τὸ Παράκλητον Πνεῦμα ἐξαποστείλας Χριστὲ, ἔλαμψας τῷ Κόσμῳ φῶς φιλάνθρωπε.

Νόμῳ τὸ πάλαι προκηρυχθὲν καὶ Προφήταις, ἐπληρώθη τοῦ θείου Πνεύματος σήμερον· πᾶσι γὰρ πιστοῖς χάρις ἐκκέχυται.

Ἕτερος Κανὼν Ἰαμβικός.

Ποίημα Κυρίου Ἰωάννου τοῦ Ἀρκλᾶ.

Οὗ ἡ ἀκροστιχίς.

Διὰ Στίχων Ἡρωελεγείων.

Θειογενὲς, Λόγε Πνεῦμα Παράκλητον πάλιν ἄλλον. Ἐκ Γενέτου κόλπων ἥκας ἐπιχθονίοις. Οἷα πυρὸς γλώσσῃσι φέρον Θεότητος αὔλου, Σῆμα τεῆς φύτλης, καὶ χάριν Ὑμνοπόλοις.

Ὠδὴ, α'. ἦχος, δ'. Ὁ Εἱρμός.

„ Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ. Ἐρρητόρευσε τὸν θεόγραφον Νόμον. Ἰλὺν γὰρ ἐκτινάξας ὄμματος νόου, Ὁρᾷ τὸν ὄντα καὶ μυεῖται Πνεύματος, Γνῶσιν γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν.

Ἔφη τὸ σεπτὸν καὶ σεβάσμιον στόμα· Νοσφισμὸς ὑμῖν οὐ γενήσεται φίλοις. Ἐγὼ γὰρ εἰς Πατρῷον ὕψιστον Θρόνον, Συνεδριάζων ἐκχεῶ τοῦ Πνεύματος, Λάμψαι ποθοῦσι τὴν χάριν τὴν ἄφθονον.

Ὅρος βεβηκὼς ἀτρεκέστατος Λόγος, Γαληνόμορφον ἐκτελεῖ τὴν καρδίαν. Ἔργον γὰρ ἐκπεράνας εὔφρανε φίλους, Πνοῇ βιαίᾳ καὶ πυρὸς γλωττήμασι, Νείμας τὸ Πνεῦμα Χριστὸς ὡς ὑπέσχετο.

Καταβασία. Τοὺς Εἱρμούς.

Πόντῳ ἐκάλυψε. καὶ,

Θείῳ καλυφθείς.

Ὠδὴ, γ'. Ὁ Εἱρμός.

Ἣν ἐξ ὕψους δύναμιν τοῖς Μαθηταῖς „
Χριστὲ, ἕως ἂν ἐνδύσησθε ἔφης, κα- „
θίσατε ἐν Ἱερουσαλήμ. ἐγὼ δὲ ὡς ἐμὲ Πα- „
ράκλητον ἄλλον, Πνεῦμα τὸ ἐμόν τε καὶ „
Πατρὸς ἀποστελῶ, ἐν ᾧ στερεωθήσεσθε. „

Ἡ τοῦ θείου Πνεύματος ἐπιδημήσασα δύναμις, τὴν μερισθεῖσαν πάλαι φωνὴν, κακῶς ὁμονοησάντων εἰς μίαν ἁρμονίαν, θείως συνῆψε, γνώσει συνετίζουσα πιστοὺς τῆς Τριάδος, ἐν ᾗ ἐστερεώθημεν.

Εἱρμὸς Ἄλλος.

Ἔρρηξε γαστρὸς ἠτεκνωμένης πέδας, Ὕ- „
βριν τε δυσκάθεκτον ἀτεκνουμένης, „
Μόνη προσευχὴ τῆς Προφήτιδος πάλαι, „
Ἄννης φερούσης πνεῦμα συντετριμμένον, „
Πρὸς τὸν δυνάστην καὶ Θεὸν τῶν γνώσεων. „

Ἄληπτός ἐστιν ἡ Θεαρχικωτάτη. Ῥήτορας γὰρ ἐξέφηνε τοὺς ἀγραμμάτους, Ἄλις σοφιστὰς συστομίζοντας λόγῳ. Καὶ τῆς βαθείας νυκτὸς ἐξαιρουμένους, Λαοὺς ἀπείρους ἀστραπῇ τοῦ Πνεύματος.

Ἦν ἐκπορευτὸν ἐξ ἀγεννήτου φάους, Τὸ παμφαὲς ἐργόφωτον ἄφθιτον σέλας. Οὗ τὴν δι' Υἱοῦ Πατρικῆς ἐξουσίας, Νῦν ἐμφανίζει συμφυῆ φρυκτωρίαν, Πυρώδης ἦχος ἐν Σιὼν τοῖς Ἔθνεσιν.

Καταβασία. Τὴν ἐξ ὕψους δύναμιν. καὶ,

Ἔρρηξε γαστρὸς ἠτεκνωμένης.

Κάθισμα. ἦχος, πλ. δ'. Τὸ προσταχθέν.

Οἱ τοῦ Σωτῆρος ἐρασταὶ, χαρᾶς ἐπλήσθησαν, καὶ θάρσος ἔλαβον, οἱ πρώην

δειλιῶντες, ὡς τὸ Πνεῦμα τὸ ἅγιον σήμερον ἐξ ὕψους, κατῆλθεν ἐπὶ τὸν οἶκον τῶν Μαθητῶν, καὶ ἄλλος ἄλλα ἐλάλει πρὸς τοὺς Λαούς. γλῶσσαι γὰρ διεσπάρησαν, ὁρώμεναι ὡσεὶ πυρός, καὶ τούτους οὐ κατέφλεξαν, ἀλλὰ μᾶλλον ἐδρόσισαν. Δίς.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Κατανοῶν ὁ Προφήτης, τὴν ἐπ' ἐσχάτων σου Χριστὲ ἔλευσιν ἀνεβόα· τὴν σὴν εἰσακήκοα Κύριε δυναστείαν, ὅτι πάντας τοῦ σῶσαι, τοὺς χριστούς σου ἐλήλυθας.

Ὁ ἐν Προφήταις λαλήσας, καὶ διὰ Νόμου κηρυχθείς, πρῴην τοῖς ἀτελέσι, Θεὸς ἀληθὴς ὁ Παράκλητος, τοῖς τοῦ Λόγου ὑπηρέταις καὶ μάρτυσι, γνωρίζεται σήμερον.

Σῆμα Θεότητος φέρον, τοῖς Ἀποστόλοις ἐν πυρὶ Πνεῦμα κατεμερίσθη, καὶ ξέναις ἐν γλώσσαις ἐνέφηνεν, ὡς Πατρόθεν θεῖον σθένος ἐρχόμενον, ὅπερ αὐτοκέλευστον.

Εἱρμὸς Ἄλλος.

Ἄναξ ἀνάκτων οἷος ἐξ οἵου μόνος, Λόγος προελθὼν Πατρὸς ἐξ ἀναιτίου. Ἰσοσθενές σου Πνεῦμα τοῖς Ἀποστόλοις, Νημερτὲς ἐξέπεμψας ὡς εὐεργέτης. Ἄδουσι δόξα τῷ κράτει σου Κύριε.

Λουτρὸν τὸ θεῖον τῆς παλιγγενεσίας, Λόγῳ κεραννὺς συντεθειμένης φύσις. Ὀμβροβλυτεῖς μοι ῥεῖθρον ἐξ ἀκηράτου, Νενυγμένης σου πλευρᾶς, ὦ Θεοῦ Λόγε. Ἐπισφραγίζων τῇ ζέσει τοῦ Πνεύματος.

Κάμπτει τὰ πάντα τῷ Παρακλήτῳ γόνυ, Γόνον τε Πατρὸς Πατρὶ συμφυεστάτῳ. Ἐν γὰρ προσώποις οἶδε τριττοῖς οὐσίαν. Νημερτὲς ἀπρόσιτον ἄχρονον μίαν. Ἔλαμψε φῶς γὰρ ἡ χάρις τοῦ Πνεύματος.

Σελεῖσθε πάντες τῇ Θεαρχικωτάτῃ, Ὅσοι λατρευταὶ τῆς τριφεγγοῦς οὐσίας. Ὑπερφυῶς τελεῖ γὰρ ὡς εὐεργέτης. Καὶ πυρσολαμπεῖ Χριστὸς εἰς σωτηρίαν, Ὅλην πορίζων τὴν χάριν τοῦ Πνεύματος.

Καταβασία. Κατανοῶν ὁ Προφήτης. καὶ Ἄναξ ἀνάκτων οἷος ἐξ οἵου μόνος.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Τὸ διὰ τὸν φόβον σου ληφθὲν Κύριε, ἐν γαστρὶ τῶν Προφητῶν, καὶ κυηθὲν ἐπὶ τῆς γῆς πνεῦμα σωτηρίας. Ἀποστολικὰς καρδίας κτίζει καθαράς, καὶ ἐν τοῖς πιστοῖς εὐθὲς ἐγκαινίζεται. φῶς γὰρ καὶ εἰρήνη, διότι τὰ σὰ προστάγματα.

Ἡ ἐπιφοιτήσασα ἰσχὺς σήμερον, αὕτη πνεῦμα ἀγαθόν, Πνεῦμα σοφίας Θεοῦ, Πνεῦμα ἐκ Πατρὸς ἐκπορευθέν, καὶ δι' Υἱοῦ πιστοῖς ἡμῖν πεφηνὸς μεταδοτικόν, ἐν οἷς κατοικίζεται φύσει, τῆς ἐν ᾗ κατοπτεύεται ἁγιότητος.

Εἱρμὸς Ἄλλος.

Λυτήριον κάθαρσιν ἀμπλακημάτων, Πυρίπνοον δέξασθε Πνεύματος δρόσον, Ὦ τέκνα φωτόμορφα τῆς Ἐκκλησίας. Νῦν ἐκ Σιὼν γὰρ ἐξελήλυθε νόμος, Ἡ γλωσσοπυρσόμορφος Πνεύματος χάρις.

Καθώσπερ εὐδόκησεν αὐτεξουσίως, Ἀδέσποτον κάτεισι Πνεῦμα Πατρόθεν. Σοφίζον ἐν γλώσσῃσι τοὺς Ἀποστόλους, Ἐπισφραγίζον τὸν φερέσβιον Λόγον, Πατροσθενὲς ξύμμορφον ὁ Σωτὴρ ἔφη.

Ἦτο τὰς φρένας μὲν ἐξ ἁμαρτίας, Χαὐτῷ κατεσκεύαζε τῶν Ἀποστόλων, Θεὸς Λόγος παντάρχος ἄχραντον δόμον. Ὁμοσθενοῦς δὲ καὶ συνουσιωμένου, Νῦν ἐγκατοικίζεται Πνεύματος φάος.

Καταβασία. Τὸ διὰ τὸν φόβον σου. καὶ Λυτήριον κάθαρσιν ἀμπλακημάτων.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

Ναυτιῶν τῷ σάλῳ, τῶν βιωτικῶν μελημάτων, συμπλόοις ποντούμενος ἁμαρτίαις, καὶ ψυχοφθόρῳ θηρὶ προσριπτούμενος, ὡς ὁ Ἰωνᾶς Χριστὲ βοῶ σοι· ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.

Ἐκ τοῦ Πνεύματός σου, σάρκα ἐπὶ πᾶσαν ὡς εἶπας, πλουσίως ἐξέχεας, καὶ ἐπληρώθη τῆς σῆς ἡ σύμπασα γνώσεως Κύριε, ὅτι ἐκ Πατρὸς Υἱὸς ἀρρεύστως ἔφυς, καὶ τὸ Πνεῦμα ἀμερίστως πρόεισι.

Εἱρμὸς Ἄλλος.

Ἱλασμὸς ἡμῖν Χριστὲ καὶ σωτηρία, Ὁ Δεσπότης ἔλαμψας ἐκ τῆς Παρθένου, Ἵν' ὡς Προφήτην θηρὸς ἐκ θαλαττίου, Στέρνων Ἰωνᾶν τῆς φθορᾶς διαρπάσῃς, Ὅλον τὸν Ἀδὰμ παγγενῆ πεπτωκότα.

Ἱμερτὸν ἡμῖν εὐθὲς ἐν τοῖς ἐγκάτοις, Αἰωνίως ἔξουσι Πνεῦμα καινίσαις, Πατροπροβλήτως πάντοτε ξυνημμένον. Ὕλης



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἀπεχθοῦς καυστικὸν μολυσμάτων, Ῥύπτε τε φρενῶν ῥυπτικὸν Παντοκράτορ.

Ὀρεκτὸν ἀξίωμα τοῖς Ἀποστόλοις, Σιωνίταις μίμνουσι σὴν παρουσίαν, Γνώρισμα Πνεῦμα Πατρογεννήτου Λόγου. Λέσχην ἄπιστον τῶν Ἐθνῶν ποππυσμάτων, Ὤκιστα δεικνὺς, πυρπνόως καθιδρύεις.

Καταβασία. Ναυτιῶν τῷ σάλῳ. καὶ, Ἱλασμὸς ἡμῖν Χριστὲ καὶ σωτηρία.

Κοντάκιον, ἦχος, πλ. δ'.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν Ἔθνη ὁ Ὕψιστος. ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε, καὶ συμφώνως δοξάζομεν τὸ Πανάγιον Πνεῦμα.

Ὁ Οἶκος.

Ταχεῖαν καὶ σταθηρὰν δίδου παραμυθίαν τοῖς δούλοις σου Ἰησοῦ, ἐν τῷ ἀκηδιάσαι τὰ πνεύματα ἡμῶν. μὴ χωρίζου τῶν ψυχῶν ἡμῶν ἐν θλίψεσι. μὴ μακρύνου τῶν φρενῶν ἡμῶν ἐν περιστάσεσιν. ἀλλὰ ἀεὶ ἡμᾶς πρόφθασον, ἔγγισον ἡμῖν, ἔγγισον ὁ πανταχοῦ, ὥσπερ καὶ τοῖς Ἀποστόλοις σου πάντοτε συνῆς, οὕτω καὶ τοῖς σὲ ποθοῦσιν ἕνωσον σαυτὸν Οἰκτίρμων. ἵνα συνημμένοι σε ὑμνῶμεν, καὶ δοξολογῶμεν, τὸ Πανάγιον Πνεῦμα.

Συναξάριον.

Τῇ Κυριακῇ τῆς Ἁγίας Πεντηκοστῆς.

Πνοὴ βιαία γλωσσοπυρσότως μένει,
Χριστὸς τὸ Θεῖον Πνεῦμα τοῖς Ἀποστόλοις.
Ἐκκέχυται μεγάλῳ ἐνὶ ἤματι Πνεῦμα Ἁλιεῦσι.

Ταύτῃ ἡμέρᾳ, Κυριακῇ ὀγδόῃ ἀπὸ τοῦ Πάσχα, τὴν ἁγίαν Πεντηκοστὴν ἑορτάζομεν. καὶ ταύτην δὲ ἀπὸ τῶν Ἑβραϊκῶν παρειλήφαμεν Βίβλων. ὥσπερ γὰρ ἐκεῖνοι τὴν παρ' αὐτοῖς Πεντηκοστὴν ἑορτάζουσι, τιμῶντες τὸν ἕβδομον ἀριθμὸν, καὶ ὅτι μετὰ τὸ Πάσχα πεντήκοντα ἡμέρας διαβιβάσαντες, τὸν Νόμον ἔλαβον, οὕτω καὶ ἡμεῖς μετὰ τὸ Πάσχα πεντήκοντα ἡμέρας ἑορτάζοντες, τὸ πανάγιον Πνεῦμα λαμβάνομεν, νομοθετοῦν καὶ ὁδηγοῦν εἰς πᾶσαν ἀλήθειαν, καὶ τὰ ἀρέσκοντα τῷ Θεῷ διαταττόμενον. Ἰστέον δὲ ὡς παρ' Ἑβραίοις τρεῖς ἦσαν Ἑορταὶ, τὸ Πάσχα, ἡ Πεντηκοστὴ, καὶ ἡ Σκηνοπηγία. τὸ μὲν οὖν Πάσχα εἰς ἀνάμνησιν ἐποίουν τῆς Διαβάσεως τῆς ἐρυθρᾶς θαλάσσης. τὸ γὰρ Πάσχα διάβασις ἑρμηνεύεται. ἐδήλου δὲ ἡ τοιαύτη Ἑορτὴ τὴν ἡμετέραν ἀπὸ τῆς σκοτεινῆς ἁμαρτίας πρὸς τὸν Παράδεισον αὖθις διάβασιν καὶ ἐπάνοδον. τὴν δὲ Πεντηκοστὴν ἑώρταζον εἰς ἀνάμνησιν τῆς ἐν τῇ ἐρήμῳ κακοπαθείας αὐτῶν, καὶ ὅπως διὰ πολλῶν θλίψεων εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσήχθησαν. τότε γὰρ καὶ καρποῦ, σίτου, καὶ οἴνου ἀπήλαυσαν, καὶ ἐδήλου τὴν ἡμετέραν ἐκ τῆς ἀπιστίας κάκωσιν, καὶ εἰς τὴν Ἐκκλησίαν εἴσελευσιν. τότε γὰρ καὶ ἡμεῖς τοῦ Δεσποτικοῦ μεταλαμβάνομεν Σώματος, καὶ Αἵματος. οἱ μὲν οὖν διὰ ταύτην τὴν αἰτίαν λέγουσι τὴν παρ' Ἑβραίοις Πεντηκοστὴν ἑορτάζεσθαι. οἱ δὲ, εἰς τιμὴν ὥς φασι τῶν πεντήκοντα ἡμερῶν, ἃς νηστεύσας ὁ Μωϋσῆς τὸν Θεόγραφον Νόμον ἐδέξατο. ἐν ταὐτῷ μεμνημένοι καὶ τῆς μοσχοθυσίας καὶ τῶν ἄλλων, ἅπερ, ὅτε Μωϋσῆς ἀνιὼν ἐν τῷ ὄρει, καὶ κατιὼν διεπράξατο. ἑτέροις ἔδοξε τὴν Πεντηκοστὴν παρ' Ἑβραίοις ἐπινοηθῆναι διὰ τὴν τοῦ ἑπτὰ τιμὴν, ὡς εἴρηται. αὐτὸς γὰρ ἐφ' ἑαυτὸν συντιθέμενος, ποιεῖ τὸν πεντήκοντα, μιᾶς δεούσης ἡμέρας, ἡ τιμὴ αὐτῆς οὐκ ἐν ἡμέραις δὲ μόνον, ἀλλὰ καὶ εἰς ἐνιαυτοὺς φθάνουσα, ἐξ ὧν καὶ τὸν παρ' ἐκείνοις Ἰουβιλαῖον γεννῶσιν. ἑπταπλασιαζομένων γὰρ τῶν ἐτῶν, οὗτος γίνεται. ὅτε καὶ τὴν γῆν ἄσπορον ἀφιᾶσι, καὶ ζώοις παρέχουσιν ἄφεσιν, καὶ τοῖς ὠνητοῖς τῶν δούλων ἀναχωρεῖν ἐπιτρέπουσι. Τρίτη δὲ Ἑορτὴ ἡ Σκηνοπηγία, ἑορταζομένη μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν, μετὰ πέντε δηλονότι μῆνας τῆς Ἑορτῆς τοῦ Πάσχα. ἐτελεῖτο δὲ αὕτη εἰς μνήμην τῆς ἡμέρας, καθ' ἣν Μωϋσῆς πρῶτον ἔπηξε τὴν ἐν ὄρει Σινᾶ ὁραθεῖσαν διὰ νεφέλης, καὶ κατασκευασθεῖσαν ὑπὸ τοῦ Ἀρχιτέκτονος Βεσελεὴλ Σκηνήν. Σκηνὰς γὰρ καὶ οὗτοι διαπραττόμενοι, τὴν αὐτὴν ἐπετέλουν Ἑορτὴν, καὶ ἐν ἀγροῖς διάγοντες, καὶ εὐχαριστοῦντες Θεῷ, τοὺς καρποὺς τῶν ἰδίων συνεκόμιζον πόνων. ἐν ταύτῃ δοκεῖ καὶ



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Δαβὶδ τοὺς ὑπὲρ τῶν ληνῶν ἐπιγραφὴν Ψαλμούς. τύπος δὲ ἦν αὕτη τῆς ἡμῶν ἐκ νεκρῶν ἀναστάσεως, ὅτε, διαλυθέντων τῶν σωματικῶν ἡμῶν σκηνῶν, καὶ αὖθις συμπηγνυμένων, τῶν ἰδίων πόνων τοὺς καρποὺς ἀπολαύσομεν, πανηγυρίζοντες ἐν ταῖς αἰωνίοις σκηναῖς. Χρὴ δὲ εἰδέναι, ὡς κατ' αὐτὴν τὴν ἡμέραν, τῆς Πεντηκοστῆς τελουμένης, τὸ Πνεῦμα τὸ Ἅγιον τοῖς Μαθηταῖς ἐπεδήμησεν· ἐπεὶ δὲ τοῖς ἁγίοις ἔδοξε μερίσαι τὰς Ἑορτάς, διὰ τὸ μεγαλεῖον τοῦ παναγίου καὶ ζωοποιοῦ Πνεύματος, ὅτι ἓν ἔστι τῆς Ἁγίας, καὶ ζωαρχικῆς Τριάδος, ἰδοὺ καὶ ἡμεῖς εἰς αὔριον, ὅπως τὸ Πνεῦμα τὸ Ἅγιον ἐπεδήμησε, λέξομεν. Ταῖς τῶν Ἁγίων Ἀποστόλων πρεσβείαις Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζʹ. Ὁ Εἱρμός.

Οἱ ἐν καμίνῳ τοῦ πυρὸς ἐμβληθέντες Ὅσιοι Παῖδες, τὸ πῦρ εἰς δρόσον μετέβαλον, διὰ τῆς ὑμνῳδίας, οὕτω βοῶντες· Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ῥητορευόντων τὰ θεῖα μεγαλεῖα τῶν Ἀποστόλων, τοῦ Πνεύματος ἡ ἐνέργεια, ἐνομίζετο μέθη τοῖς ἀπίστοις, δι' ἧς Τριὰς γνωρίζεται εἷς Θεὸς τῶν Πατέρων ἡμῶν.

Τὴν ἀδιαίρετον φύσιν ὀρθοδόξως θεολογοῦμεν, Θεὸν Πατέρα τὸν ἄναρχον, τῆς αὐτῆς ἐξουσίας Λόγον καὶ Πνεῦμα, εὐλογητὸς εἶ κράζοντες ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Εἱρμὸς ἄλλος.

Σύμφωνον ἐθρόνησεν ὀργάνων μέλος, Σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας. Ἡ τοῦ Παρακλήτου δὲ φωσφόρος χάρις, Σεβασμιάζει τοῦ βοᾶν Τριὰς μόνη, Ἰσοσθενὴς ἄναρχος εὐλογητὸς εἶ.

Φωνὴν Προφητόφθεγκτον ἠγνοηκότες, Ἔφασκον οἰνότευκτον ἄφρονες μέθην, Ῥήσεις ξενηκούσθησαν ὡς Ἀποστόλων. Οἱ εὐσεβεῖς δέ σοι βοῶμεν ἐνθέως· Νευργὲ τοῦ σύμπαντος εὐλογητὸς εἶ.

Θέσπιν κατεβρόντησεν ὁ βλέπων ὄπα. Ἔνθους Ἰωὴλ τοῦ θεαρχικωτάτου. Οἷς ἐκχέω φήσαντος οἷά περ Λόγου. Τοῦ Πνεύματός μου συμβοήσασι φύσις. Ἡ τρισοφεγγόφωτος εὐλογητὸς εἶ.

Τριττὴν μὲν ἠμοίρησεν ὡρῶν τὴν χάριν. Ὅπως ὑπεμφήνειε τρεῖς ὑποστάσεις, Σέβειν ἐν ἁπλότητι τῆς ἐξουσίας. Ἀλλ' ἐν μιᾷ νῦν ἡμερῶν τῇ κυρίᾳ, Υἱὸς Πατὴρ καὶ Πνεῦμα εὐλογητὸς εἶ.

Καταβασία. Οἱ ἐν καμίνῳ τοῦ πυρός. καὶ, Σύμφωνον ἐθρόνησεν ὀργάνων.

Ὠδὴ ηʹ. Ὁ Εἱρμός.

Ἄφλεκτος πυρὶ ἐν Σινᾷ προσομιλοῦσα, βάτος Θεὸν ἐγνώρισε, τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσεῖ, καὶ Παῖδας ζῆλος Θεοῦ, τρεῖς ἀναλώτους τῷ πυρὶ ὑμνῳδοὺς ἔδειξε. πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ζωτικῆς ἐξ ὕψους βιαίας φερομένης, ἠχητικῶς τοῦ Πνεύματος τοῦ παναγίου, Ἁλιεῦσι πνοῆς, πυρίνων εἴδει γλωσσῶν, τὰ μεγαλεῖα τοῦ Θεοῦ ἐρρητορεύοντο. πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὡς μὴ θιγομένῳ προβαίνοντες ἐν ὄρει, μὴ πεφρικότες πῦρ δειματοῦν, δεῦτε καὶ στῶμεν ἐν τῷ ὄρει Σιών, ἐν Πόλει ζῶντος Θεοῦ, Πνευματοφόροις Μαθηταῖς νῦν συγχορεύοντες. πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος.

Λύει τὰ δεσμὰ καὶ δροσίζει τὴν φλόγα, Ὁ τρισσοφεγγὴς τῆς Θεαρχίας τύπος. Ὑμνοῦσι Παῖδες, εὐλογεῖ δὲ τὸν μόνον, Σωτῆρα, καὶ παντουργὸν ὡς εὐεργέτην, Ἡ δημιουργηθεῖσα σύμπασα Κτίσις.

Μνήμην ὁ Χριστὸς τῶν βροτοσσόων ἐπῶν. Ἀπαρακυθεὶς τοῖς Ἀποστόλοις ἔφη. Τὸ Πνεῦμα τάχει γλωσσοπυρσεύτῳ θέᾳ, Ἐφίζον εὐλογητὸν οἰκειουμένη, Ἡ ἀλλοτριωμένη δὲ μέλπει σε Κτίσις.

Σωτηριωδῶς αὐτοδεσπότως ἰδόν, Φῶς αὐτολαμπὲς καὶ παρεκτικὸν φάους, Ὑπάρχων ἥκεις ἔμφορον Ἀποστόλοις, Τιμῆσεν ὡς ἄημα τοῖς σοῖς οἰκέταις, Λελιπαρημένον τε Πνεῦμα προσμένοις.

Ἧσε Προφητῶν Πνευματέμφορον στόμα, Σὴν σωματωδῶς ὦ Μέδων ἐνδημίαν. Καὶ Πνεῦμα κόλπων Πατρικῶν προηγμένον, Ἀκτιστοσυμπλαστουργοσύνθρονον σέθεν, Γ᾿ εἰς ἐνανθρωπήσεως πιστοῖς σέβας.

Καταβασία. Ἄφλεκτος πυρί. καί, Λύει τὰ δεσμά, καὶ δροσίζει τὴν φλόγα.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Μὴ τῆς φθορᾶς διὰ πεῖραν κυοφορήσασα, καὶ παντεχνήμονι Λόγῳ σάρκα δανείσασα, Μῆτερ ἀπείρανδρε, Παρθένε Θεοτόκε, δοχεῖον τοῦ ἀστέκτου, χωρίον τοῦ ἀπείρου, Πλαστουργοῦ σου σὲ μεγαλύνομεν.

Ἐπὶ παμφλάζοντος πάλαι πυρίνου ἅρματος, ὁ ζηλωτὴς καὶ πυρίπνους χαίρων ὀχούμενος, τὴν νῦν ἐκλάμψασαν ἐπίπνοιαν ἐδήλου, ἐξ ὕψους Ἀποστόλοις, ἐφ' ἧς καταλαμφθέντες, τὴν Τριάδα πᾶσιν ἐγνώρισαν.

Νόμου τῶν φύσεων, δίχα ξένον ἠκούετο. τῶν Μαθητῶν, τῆς μιᾶς γὰρ φωνῆς ἀπηχουμένης, Πνεύματος χάριτι ποικίλως ἐνηχοῦντο, λαοί, φυλαὶ καὶ γλῶσσαι, τὰ Θεῖα μεγαλεῖα, τῆς Τριάδος γνῶσιν μυούμενα.

Εἱρμὸς ἄλλος.

Χαίροις Ἄνασσα Μητροπάρθενον κλέος. Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα, Ῥητρεῦον οὐ σθένει σε μέλπειν ἀξίως. Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν Τόκον Νοεῖν. ὅθεν σε συμφώνως δοξάζομεν.

Ἰδεῖν ἔοικε τὴν φυσίζωον Κόρην. Μόνη γὰρ ἐν δίνῃσι κεκρύφει Λόγον, Νοσοῦσαν ἀλθαίνοντα τὴν βροτῶν φύσιν. Ὃς δεξιοῖς κλισμοῖσι νῦν ἱδρυμένος, Πατρὸς πέπομφε τὴν χάριν τοῦ Πνεύματος.

Ὅσοις ἐπνεύσεν ἡ Θεόρρυτος χάρις, Λάμποντες ἀστράπτοντες ἠλλοιωμένοι, Ὀθνείαν ἀλλοίωσιν εὐπρεπεστάτην, Ἰσοσθενοῦσαν τὴν ἄτμητον εἰδότες, Σοφὴν τρίφεγγον Οὐσίαν δοξάζομεν.

Καταβασία.

Μὴ τῆς φθορᾶς διὰ πεῖραν. καί, Χαίροις Ἄνασσα Μητροπάρθενον.

Ἐξαποστ. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Τὸ Παναγιον Πνεῦμα, τὸ προϊὸν ἐκ τοῦ Πατρός, καὶ δι' Υἱοῦ ἐνδημῆσαν, τοῖς ἀγραμμάτοις Μαθηταῖς, τοὺς σὲ Θεὸν ἐπιγνόντας, σῶσον, ἁγίασον πάντας.

Ἕτερον, Ὅμοιον.

Φῶς ὁ Πατήρ, φῶς ὁ Λόγος, φῶς καὶ τὸ Ἅγιον Πνεῦμα. ὅπερ ἐν γλώσσαις πυρίναις, τοῖς Ἀποστόλοις ἐπέμφθη, καὶ δι' αὐτοῦ πᾶς ὁ Κόσμος φωταγωγεῖται, Τριάδα σέβειν Ἁγίαν. Ἅπαξ.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν Στ. ς'. καὶ ψάλλομεν τὰ παρόντα Ἰδιόμελα, ἦχος δ'.

Δευτεροῦντες αὐτά.

Παράδοξα σήμερον, εἶδον τὰ Ἔθνη πάντα ἐν πόλει Δαβίδ, ὅτε τὸ Πνεῦμα κατῆλθε τὸ Ἅγιον ἐν πυρίναις γλώσσαις, καθὼς ὁ θεηγόρος Λουκᾶς ἀπεφθέγξατο. φησὶ γάρ, συνηγμένων τῶν Μαθητῶν τοῦ Χριστοῦ, ἐγένετο ἦχος καθάπερ φερομένης βιαίας πνοῆς, καὶ ἐπλήρωσε τὸν οἶκον, οὗ ἦσαν καθήμενοι· καὶ πάντες ἤρξαντο φθέγγεσθαι, ξένοις ῥήμασι, ξένοις δόγμασι, ξένοις διδάγμασι, τῆς Ἁγίας Τριάδος. Δίς.

Ὁ αὐτός.

Τὸ Πνεῦμα τὸ Ἅγιον, ἦν μὲν ἀεί, καὶ ἔστι καὶ ἔσται, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ' ἀεὶ Πατρὶ καὶ Υἱῷ συντεταγμένον καὶ συναριθμούμενον. ζωὴ καὶ ζωοποιοῦν, φῶς καὶ φωτὸς χορηγόν, αὐτάγαθον, καὶ πηγὴ ἀγαθότητος. δι' οὗ Πατὴρ γνωρίζεται, καὶ Υἱὸς δοξάζεται, καὶ παρὰ πάντων γινώσκεται· μία δύναμις, μία σύνταξις, μία προσκύνησις, τῆς Ἁγίας Τριάδος. Δίς.

Ὁ αὐτός.

Τὸ Πνεῦμα τὸ Ἅγιον, φῶς καὶ ζωὴ καὶ ζῶσα πηγὴ νοερά, Πνεῦμα σοφίας, Πνεῦμα συνέσεως. ἀγαθόν, εὐθές, νοερόν, ἡγεμονεῦον, καθαῖρον τὰ πταίσματα. Θεὸς καὶ θεοποιοῦν, πῦρ ἐκ πυρὸς προϊόν, λαλοῦν, ἐνεργοῦν, διαιροῦν τὰ χαρίσματα. δι' οὗ Προφῆται ἅπαντες, καὶ Θεοῦ Ἀπόστολοι, μετὰ Μαρτύρων ἐστέφθησαν. ξένον ἄκουσμα, ξένον θέαμα, πῦρ διαιρούμενον, εἰς νομὰς χαρισμάτων. Δίς.

Δόξα. καὶ νῦν. ἦχος πλ. β'.

Βασιλεῦ Οὐράνιε, Παράκλητε τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

Δοξο-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη ... "Μανουσεια"

Δοξολογία μεγάλη, τὸ Ἀπολυτίκιον τῆς Ἑορτῆς, ἤγουν, Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν. Εἶτα Ἐκτενής, καὶ ποιεῖ ὁ Ἱερεὺς Ἀπόλυσιν οὕτως.

Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν Οὐρανόθεν καταπέμψας τὸ Παναγιον Πνεῦμα ἐπὶ τοὺς ἁγίους αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς διὰ τὴν ἑαυτοῦ ἀγαθότητα.

Καὶ λαβὼν ὁ Ἱερεὺς συγχώρησιν, ἀπερχόμεθα πάντες.

Εἰς τὴν Λειτουργίαν, λέγομεν τὰ Ἀντίφωνα ταῦτα.

Ἀντίφωνον, Α΄. ἦχος, β΄.

Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ· ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Οὐκ εἰσὶ λαλιαί, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Δόξα. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Καὶ νῦν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἀντίφωνον, Β΄. ἦχος, β΄.

Ἐπακούσαι σου Κύριος, ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου, τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

Σῶσον ἡμᾶς Παράκλητε ἀγαθέ, ψάλλοντάς σοι. Ἀλληλούϊα.

Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου.

Σῶσον ἡμᾶς Παράκλητε.

Μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω.

Σῶσον ἡμᾶς Παράκλητε.

Δόξα. Σῶσον ἡμᾶς Παράκλητε.

Καὶ νῦν, ἦχος, πλ. β΄. Γεγονωτέρᾳ φωνῇ.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ.

Ἀντίφωνον, Γ΄. ἦχος, πλ.

Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ Βασιλεύς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος·

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Εἴσοδος, ὁ Ἱερεύς. Σοφία ὀρθοί.

Ὁ Λαὸς τὸ Εἰσοδικόν.

Ὑψώθητι Κύριε ἐν τῇ δυνάμει σου, ᾄσωμεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Δόξα, καὶ νῦν, τὸ Κοντάκιον, ἦχος, πλ.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος, ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε, καὶ συμφώνως δοξάζομεν τὸ Πανάγιον Πνεῦμα.

Ἀντὶ δὲ τοῦ Τρισαγίου.

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε.

Τὸ Προκείμενον τοῦ Ἀποστόλου. ἦχος, πλ. δ΄.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος, Στ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ἡ πρᾶξις. Ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς.

Τέλος. Τὰ μεγαλεῖα τοῦ Θεοῦ.

Ἀλληλούϊα, ἦχος, α΄.

Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν.

Στ. Ἐξ Οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς Ἑορτῆς.

Κοινωνικόν. Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Τῇ αὐτῇ Κυριακῇ Ἑσπέρας τῆς Ἁγίας Πεντηκοστῆς, Σημαίνει ταχύτερον διὰ τὴν τῆς Γονυκλισίας Ἀκολουθίαν. Μετὰ τὸν Εὐλογητόν, λέγει ὁ ταχθεὶς Μοναχὸς τὸν Προοιμιακὸν Ψαλμόν. εἶτα ὁ Διάκονος εἰ ἔστιν, εἰ δὲ ὁ Ἱερεὺς ποιεῖ Συναπτήν.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος Κόσμου, εὐσταθείας τῶν ἁγίων.

Ὑπὲρ τοῦ περιεστῶτος Λαοῦ, καὶ ἀπεκδεχομένου τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν κλινόντων τὰς καρδίας αὐτῶν ἐνώπιον Κυρίου, καὶ τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἐνισχυθῆναι ἡμᾶς πρὸς τελείωσιν εὐαρεστήσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταπεμφθῆναι πλούσια τὰ ἐλέη αὐτοῦ ἐφ' ἡμᾶς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ δεχθῆναι τὴν Γονυκλισίαν ἡμῶν, ὡς θυμίαμα ἐνώπιον αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν χρηζόντων τῆς παρ' αὐτοῦ βοηθείας, καὶ ἀντιλήψεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τῆς Παναγίας ἀχράντου ὑπερευλογημένης.

Ὁ Ἱερεὺς Ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Εἶτα ψάλλομεν τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ς'. Καὶ ψάλλομεν στ. Ἰδιόμελα, ἦχος, δ'.

Παράδοξα σήμερον, εἶδον τὰ Ἔθνη πάντα ἐν πόλει Δαβὶδ, ὅτε τὸ Πνεῦμα κατῆλθε τὸ Ἅγιον, ἐν πυρίναις γλώσσαις, καθὼς ὁ θεηγόρος Λουκᾶς ἀπεφθέγξατο. φησὶ γάρ, συνηγμένων τῶν Μαθητῶν τοῦ Χριστοῦ, ἐγένετο ἦχος καθάπερ φερομένης βιαίας πνοῆς, καὶ ἐπλήρωσε τὸν οἶκον, οὗ ἦσαν καθήμενοι, καὶ πάντες ἤρξαντο φθέγγεσθαι, ξένοις ῥήμασι, ξένοις δόγμασι, ξένοις διδάγμασι, τῆς Ἁγίας Τριάδος. Δίς. Ὁ αὐτός.

Τὸ Πνεῦμα τὸ Ἅγιον, ἦν μὲν ἀεὶ, καὶ ἔστι, καὶ ἔσται, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ' ἀεὶ Πατρὶ, καὶ Υἱῷ συντεταγμένον καὶ συναριθμούμενον. ζωὴ καὶ ζωοποιοῦν, φῶς καὶ φωτὸς χορηγὸν, αὐτάγαθον, καὶ πηγὴ ἀγαθότητος. δι' οὗ Πατὴρ γνωρίζεται, καὶ Υἱὸς δοξάζεται, καὶ παρὰ πάντων γινώσκεται, μία δύναμις, μία σύνταξις, μία προσκύνησις, τῆς Ἁγίας Τριάδος. Δίς.

Ὁ αὐτός.

Τὸ Πνεῦμα τὸ Ἅγιον, φῶς καὶ ζωὴ, καὶ ζῶσα πηγὴ νοερὰ, Πνεῦμα σοφίας, Πνεῦμα συνέσεως, ἀγαθὸν, εὐθὲς, νοερὸν, ἡγεμονεῦον, καθαῖρον τὰ πταίσματα. Θεὸς καὶ θεοποιοῦν, πῦρ ἐκ πυρὸς προϊὸν, λαλοῦν, ἐνεργοῦν, διαιροῦν τὰ χαρίσματα. δι' οὗ Προφῆται ἅπαντες, καὶ Θεοῦ Ἀπόστολοι, μετὰ Μαρτύρων ἐστέφθησαν. ξένον ἄκουσμα, ξένον θέαμα, πῦρ διαιρούμενον, εἰς νομὰς χαρισμάτων. Δίς.

Δόξα, καὶ νῦν, ἦχος, πλ. β'.

Βασιλεῦ Οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγὸς, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος μετὰ τοῦ Θυμιατοῦ, τὸ, Φῶς ἱλαρόν.

Προκείμενον, ἦχος, βαρύς.

Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς, ὁ ποιῶν θαυμάσια μόνος.

Στ. α'. Ἐγνώρισας ἐν τοῖς Λαοῖς τὴν δύναμίν σου.

Στ. β'. Καὶ εἶπα, νῦν ἠρξάμην, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου.

Στ. γ'. Ἐμνήσθην τῶν ἔργων Κυρίου, ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου.

Καὶ πάλιν.

Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν;

Εἶτα λέγει ὁ Διάκονος.

Ἔτι καὶ ἔτι κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ἡμῶν κλινόντων τὰ γόνατα ἐπὶ γῆς, καὶ ἀσκεπῶν ὄντων, ἀναγινώσκει ὁ Ἱερεὺς, τὰς Εὐχὰς ἀπὸ τοῦ Βήματος μεγαλοφώνως, εἰς ἐπήκοον πάντων.

Ἄχραντε, ἀμίαντε, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀνεξιχνίαστε, ἀναλλοίωτε, ἀνυπέρβλητε, ἀμέτρητε, ἀνεξίκακε Κύριε, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὁ ποιήσας τὸν Οὐ-

ραμὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ δημιουργηθέντα ἐν αὐτοῖς. ὁ πρὸ τοῦ αἰτεῖσθαι τοῖς πᾶσι τὰς αἰτήσεις παρέχων· σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν Δέσποτα φιλάνθρωπε, τὸν Πατέρα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· τοῦ δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντος ἐκ τῶν Οὐρανῶν, καὶ σαρκωθέντος ἐκ Πνεύματος Ἁγίου, καὶ Μαρίας τῆς Ἀειπαρθένου, καὶ ἐνδόξου Θεοτόκου· ὃς πρότερον μὲν λόγοις διδάσκων, ὕστερον δὲ καὶ ἔργοις ὑποδεικνὺς, ἡνίκα τὸ σωτήριον ὑφίστατο Πάθος παρέσχεν ἡμῖν ὑπογραμμὸν τοῖς ταπεινοῖς, καὶ ἁμαρτωλοῖς, καὶ ἀναξίοις δούλοις σου, δεήσεις προσφέρειν ἐν αὐχένος, καὶ γονάτων κλίσεσιν, ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων, καὶ τῶν τοῦ Λαοῦ ἀγνοημάτων. Αὐτὸς οὖν πολυέλεε καὶ φιλάνθρωπε, ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε. ἐξαιρέτως δὲ ἐν τῇ ἡμέρᾳ ταύτῃ τῆς Πεντηκοστῆς, ἐν ᾗ μετὰ τὸ ἀναληφθῆναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τοὺς Οὐρανοὺς, καὶ καθεσθῆναι ἐν δεξιᾷ σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς, κατέπεμψε τὸ Ἅγιον Πνεῦμα ἐπὶ τοὺς Ἁγίους αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους, ὃ καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες τῆς ἀκενώτου χάριτος αὐτοῦ, καὶ ἐλάλησαν ἑτέραις γλώσσαις τὰ μεγαλεῖά σου, καὶ προεφήτευσαν. Νῦν οὖν δεομένων ἐπάκουσον ἡμῶν, καὶ μνήσθητι ἡμῶν τῶν ταπεινῶν, καὶ κατακρίτων, καὶ ἐπίστρεψον τὴν αἰχμαλωσίαν τῶν ψυχῶν ἡμῶν, τὴν οἰκείαν συμπάθειαν ἔχων ὑπὲρ ἡμῶν πρεσβεύουσαν. Δέξαι ἡμᾶς προσπίπτοντάς σοι, καὶ βοῶντας τὸ, Ἡμάρτομεν, ἐπὶ σὲ ἐπερρίφημεν ἐκ μήτρας, ἀπὸ γαστρὸς μητρὸς ἡμῶν Θεὸς ἡμῶν σὺ εἶ. ἀλλ' ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν, γεγυμνώμεθα τῆς σῆς βοηθείας, ἐστερήμεθα ἀπὸ πάσης ἀπολογίας. ἀλλὰ θαρροῦντες τοῖς οἰκτιρμοῖς σου, κράζομεν· Ἁμαρτίας νεότητος ἡμῶν, καὶ ἀγνοίας μὴ μνησθῇς, καὶ ἐκ τῶν κρυφίων ἡμῶν καθάρισον ἡμᾶς. μὴ ἀπορρίψῃς ἡμᾶς εἰς καιρὸν γήρως· ἐν τῷ ἐκλείπειν τὴν ἰσχὺν ἡμῶν μὴ ἐγκαταλίπῃς ἡμᾶς. πρὶν ἡμᾶς εἰς τὴν γῆν ἀποστρέψαι, ἀξίωσον πρὸς σὲ ἐπιστρέψαι, καὶ πρόσχες ἡμῖν ἐν εὐμενείᾳ καὶ χάριτι. ἐπιμέτρησον τὰς ἀνομίας ἡμῶν τοῖς οἰκτιρμοῖς σου. ἀντίθες τὴν ἄβυσσον τῶν οἰκτιρμῶν σου τῷ πλήθει τῶν πλημμελημάτων ἡμῶν. ἐπίβλεψον ἐξ ὕψους ἁγίου σου Κύριε, ἐπὶ τὸν Λαόν σου τὸν περιεστῶτα, καὶ ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος. ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. ῥῦσαι ἡμᾶς ἐκ τῆς καταδυναστείας τοῦ Διαβόλου. ἀσφάλισαι τὴν ζωὴν ἡμῶν τοῖς Ἁγίοις καὶ Ἱεροῖς Νόμοις σου. Ἀγγέλῳ πιστῷ φύλακι παρακατάθου τὸν Λαόν σου. πάντας ἡμᾶς συνάγαγε εἰς τὴν Βασιλείαν σου. δὸς συγγνώμην τοῖς ἐλπίζουσιν ἐπὶ σέ. ἄφες αὐτοῖς καὶ ἡμῖν τὰ ἁμαρτήματα. καθάρισον ἡμᾶς τῇ ἐνεργείᾳ τοῦ Ἁγίου σου Πνεύματος. διάλυσον τὰς καθ' ἡμῶν μηχανὰς τοῦ ἐχθροῦ.

Ἐπισυνάπτει καὶ ταύτην τὴν Εὐχήν.

Εὐλογητὸς εἶ Κύριε, Δέσποτα Παντοκράτορ, ὁ φωτίσας τὴν ἡμέραν τῷ φωτὶ τῷ ἡλιακῷ, καὶ τὴν νύκτα φαιδρύνας ταῖς αὐγαῖς τοῦ πυρὸς, ὁ τὸ μῆκος τῆς ἡμέρας διελθεῖν ἡμᾶς καταξιώσας, καὶ προσεγγίσαι ταῖς ἀρχαῖς τῆς νυκτὸς, ἐπάκουσον τῆς δεήσεως ἡμῶν, καὶ παντὸς τοῦ Λαοῦ σου, καὶ πᾶσιν ἡμῖν συγχωρήσας τὰ ἑκούσια καὶ τὰ ἀκούσια ἁμαρτήματα, πρόσδεξαι τὰς ἑσπερινὰς ἡμῶν ἱκεσίας, καὶ κατάπεμψον τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τῶν οἰκτιρμῶν σου ἐπὶ τὴν κληρονομίαν σου. τείχισον ἡμᾶς Ἁγίοις Ἀγγέλοις σου. ὅπλισον ἡμᾶς ὅπλοις δικαιοσύνης σου. περιχαράκωσον ἡμᾶς τῇ ἀληθείᾳ σου. φρούρησον ἡμᾶς τῇ δυνάμει σου. ῥῦσαι ἡμᾶς πάσης περιστάσεως, πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου. παράσχου δὲ ἡμῖν καὶ τὴν παροῦσαν ἑσπέραν, σὺν τῇ ἐπερχομένῃ νυκτὶ, τελείαν, ἁγίαν, εἰρηνικὴν, ἀναμάρτητον, ἀσκανδάλιστον, ἀφάνταστον, καὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς Ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, Ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου.

Ἐκφώνως ὁ Ἱερεύς.

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν.

Ὁ Διάκονος.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς.

Κύριε Παντοκράτορ.

Ἐλέησον ἡμᾶς ὁ Θεός.

Καὶ τὰ λοιπά.

Εἶτα ὁ Ἱερεὺς τὴν Ἐκφώνησιν.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος.

Εἶτα ὁ Διάκονος.

Ἔτι καὶ ἔτι κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεὺς Ἐπεύχεται μεγαλοφώνως.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὴν σὴν εἰρήνην δεδωκὼς τοῖς ἀνθρώποις, καὶ τὴν τοῦ Παναγίου Πνεύματος δωρεάν, ἔτι τῷ βίῳ καὶ ἡμῖν συμπαρών, εἰς κληρονομίαν ἀναφαίρετον τοῖς πιστοῖς ἀεὶ παρέχων. ἐμφανέστερον δὲ ταύτην τὴν χάριν τοῖς σοῖς Μαθηταῖς, καὶ Ἀποστόλοις σήμερον καταπέμψας, καὶ τὰ τούτων χείλη πυρίναις στομώσας γλώσσαις, δι' ὧν πᾶν γένος ἀνθρώπων τὴν θεογνωσίαν ἰδίᾳ διαλέκτῳ εἰς ἀκοὴν ὠτίου δεξάμενοι· φωτὶ τοῦ Πνεύματος ἐφωτίσθημεν· καὶ τῆς πλάνης ὡς ἐκ σκότους ἀπηλλάγημεν, καὶ τῇ τῶν αἰσθητῶν καὶ πυρίνων γλωσσῶν διανομῇ, καὶ ὑπερφυεῖ ἐνεργείᾳ τὴν εἰς σὲ Πίστιν ἐμαθητεύθημεν, καὶ σὲ θεολογεῖν σὺν τῷ Πατρί, καὶ τῷ Ἁγίῳ Πνεύματι ἐν μιᾷ Θεότητι, καὶ δυνάμει, καὶ ἐξουσίᾳ κατηυγάσθημεν. Σὺ οὖν τὸ ἀπαύγασμα τοῦ Πατρός, ὁ τῆς Οὐσίας καὶ τῆς Φύσεως αὐτοῦ ἀπαράλλακτος καὶ ἀμετακίνητος χαρακτήρ, ἡ πηγὴ τῆς σωτηρίας, καὶ τῆς χάριτος, διάνοιξον κἀμοῦ τοῦ ἁμαρτωλοῦ τὰ χείλη, καὶ δίδαξόν με πῶς δεῖ καὶ ὑπὲρ ὧν χρὴ προσεύχεσθαι. Σὺ γὰρ εἶ ὁ γινώσκων τὸ πολὺ τῶν ἁμαρτιῶν μου πλῆθος, ἀλλ' ἡ σὴ εὐσπλαγχνία νικήσει τούτων τὸ ἄμετρον. ἰδοὺ γὰρ φόβῳ παρίσταμαί σοι, εἰς τὸ πέλαγος τοῦ ἐλέους σου τὴν ἀπόγνωσιν ἀπορρίψας τῆς ψυχῆς μου. κυβέρνησόν μου τὴν ζωήν, ὁ πᾶσαν ῥήματι τὴν Κτίσιν ἀρρήτῳ Σοφίας δυνάμει κυβερνῶν, ὁ εὔδιος τῶν χειμαζομένων λιμήν, καὶ γνώρισόν μοι ὁδόν, ἐν ᾗ πορεύσομαι. Πνεῦμα σοφίας σου τοῖς ἐμοῖς παράσχου διαλογισμοῖς· Πνεῦμα συνέσεως τῇ ἀφροσύνῃ μου δωρούμενος· Πνεῦμα φόβου σου τοῖς ἐμοῖς ἐπισκίασον ἔργοις· καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου· καὶ Πνεύματι ἡγεμονικῷ τὸ τῆς διανοίας μου στήριξον ὀλισθηρόν· ἵνα καθ' ἑκάστην ἡμέραν τῷ Πνεύματί σου τῷ ἀγαθῷ πρὸς τὸ συμφέρον ὁδηγούμενος, καταξιωθῶ ποιεῖν τὰς ἐντολάς σου, καὶ τῆς σῆς ἀεὶ μνημονεύειν ἐνδόξου καὶ ἐρευνητικῆς τῶν πεπραγμένων ἡμῖν παρουσίας. καὶ μὴ παρίδῃς με τοῖς φθειρομένοις τοῦ Κόσμου τούτου συναπατᾶσθαι τερπνοῖς, ἀλλὰ τῶν μελλόντων ὀρέγεσθαι τῆς ἀπολαύσεως ἐνίσχυσον θησαυρῶν. Σὺ γὰρ εἶπας Δέσποτα, ὅτι περ ὅσα ἄν τις αἰτήσηται ἐν τῷ ὀνόματί σου, ἀκωλύτως παρὰ τοῦ σοῦ λαμβάνει συναϊδίου Θεοῦ καὶ Πατρός. διὸ κἀγὼ ὁ ἁμαρτωλός, ἐν τῇ ἐπιφοιτήσει τοῦ Ἁγίου σου Πνεύματος, τὴν σὴν ἱκετεύω ἀγαθότητα, ὅσα ηὐξάμην, ἀπόδος μοι εἰς σωτηρίαν. Ναὶ Κύριε, ὁ πάσης εὐεργεσίας πλουσιοπάροχος δοτὴρ ἀγαθός, ὅτι σὺ εἶ ὁ διδοὺς ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα. Σὺ εἶ ὁ συμπαθής, ὁ ἐλεήμων, ὁ ἀναμαρτήτως γεγονὼς τῆς σαρκὸς ἡμῶν κοινωνός· καὶ τοῖς κάμπτουσι πρὸς σὲ γόνυ, ἐπικαμπτόμενος φιλευσπλάγχνως, ἱλασμός τε γενόμενος τῶν ἁμαρτιῶν ἡμῶν. Δὸς δὴ Κύριε τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου· ἐπάκουσον ἡμῶν ἐξ Οὐρανοῦ ἁγίου σου· ἁγίασον αὐτοὺς τῇ δυνάμει τῆς σωτηρίου δεξιᾶς σου· σκέπασον αὐτοὺς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· μὴ παρίδῃς τὰ ἔργα τῶν χειρῶν σου. Σοὶ μόνῳ ἁμαρτάνομεν, ἀλλὰ καὶ σοὶ μόνῳ λατρεύομεν. οὐκ οἴδαμεν προσκυνεῖν Θεῷ ἀλλοτρίῳ, οὐδὲ διαπετάζειν πρὸς ἕτερον Θεὸν τὰς ἑαυτῶν Δέσποτα χεῖρας. ἄφες ἡμῖν τὰ παραπτώματα, καὶ προσδεχόμενος ἡμῶν τὰς γονυπετεῖς δεήσεις, ἔκτεινον πᾶσιν ἡμῖν χεῖρα βοηθείας. πρόσδεξαι τὴν εὐχὴν πάντων ὡς θυμίαμα δεκτόν, ἀναλαμβανόμενον ἐνώπιον τῆς σῆς ὑπεραγάθου Βασιλείας.

Ἐπισυνάπτει καὶ ταύτην τὴν Εὐχήν.

Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς ἀπὸ παντὸς βέλους πετομένου ἡμέρας, ῥῦσαι ἡμᾶς καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου. πρόσδεξαι θυσίαν ἑσπε-

ρινὴν

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσειος"

ερινήν, τὰς τῶν χειρῶν ἡμῶν ἐπάρσεις. καταξίωσον δὲ ἡμᾶς, καὶ τὸ νυκτερινὸν στάδιον ἀμέμπτως διελθεῖν, ἀπειράστους κακῶν. καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ταραχῆς καὶ δειλίας τῆς ἐκ τοῦ Διαβόλου ἡμῖν προσγινομένης. χάρισαι ταῖς ψυχαῖς ἡμῶν κατάνυξιν, καὶ τοῖς λογισμοῖς ἡμῶν μέριμναν, τῆς ἐν τῇ φοβερᾷ καὶ δικαίᾳ σου Κρίσει ἐξετάσεως. καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, καὶ νέκρωσον τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς, ἵνα καὶ ἐν τῇ καθ᾿ ὕπνον ἡσυχίᾳ ἐμφαιδρυνώμεθα τῇ θεωρίᾳ τῶν κριμάτων σου. ἀπόστησον δὲ ἀφ᾿ ἡμῶν πᾶσαν φαντασίαν ἀπρεπῆ, καὶ ἐπιθυμίαν βλαβεράν. διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς Προσευχῆς ἐστηριγμένους ἐν τῇ πίστει, καὶ προκόπτοντας ἐν τοῖς παραγγέλμασί σου.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς Παναγίας, Ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου.

Ἐκφώνως ὁ Ἱερεύς.

Εὐδοκίᾳ, καὶ χάριτι τοῦ Μονογενοῦς σου Υἱοῦ, μεθ᾿ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

Εἶτα, τό, Καταξίωσον Κύριε.

Μετὰ δὲ τοῦτο, λέγει ὁ Διάκονος.

Ἔτι, καὶ ἔτι, κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς τὴν Εὐχήν.

Ἡ Ἀενάως βρύουσα ζωτικὴ καὶ φωτιστικὴ πηγή, ἡ συναΐδιος τοῦ Πατρὸς δημιουργικὴ δύναμις, ὁ πᾶσαν τὴν οἰκονομίαν διὰ τὴν τῶν βροτῶν σωτηρίαν ὑπερκάλλως πληρώσας, Χριστὲ ὁ Θεὸς ἡμῶν. ὁ θανάτου δεσμοὺς ἀλύτους, καὶ κλεῖθρα ᾅδου διαρρήξας, πονηρῶν δὲ πνευμάτων πλήθη καταπατήσας. ὁ προσαγαγὼν ἑαυτὸν ἄμωμον ὑπὲρ ἡμῶν ἱερεῖον, τὸ Σῶμα δοὺς τὸ ἄχραντον εἰς θυσίαν, τὸ πάσης ἁμαρτίας ἄψαυστόν τε καὶ ἄβατον, καὶ διὰ τῆς φρικτῆς ταύτης, καὶ ἀνεκδιηγήτου ἱερουργίας, ζωὴν ἡμῖν αἰώνιον χαρισάμενος. ὁ εἰς ᾅδου καταβάς, καὶ μοχλοὺς αἰωνίους συντρίψας, καὶ τοῖς κάτω καθημένοις ἄνοδον ὑποδείξας, τὸν δὲ ἀρχέκακον, καὶ βύθιον δράκοντα θεοσόφῳ δελεάσματι ἀγκιστρεύσας, καὶ σειραῖς ζόφου δεσμεύσας ἐν ταρτάρῳ, καὶ πυρὶ ἀσβέστῳ, καὶ σκότῳ ἐξωτέρῳ διὰ τῆς ἀπειροδυνάμου σου κατασφαλισάμενος ἰσχύος. ἡ μεγαλώνυμος Σοφία τοῦ Πατρός. ὁ τοῖς ἐπηρεαζομένοις μέγας ἐπίκουρος φανείς, καὶ φωτίσας τοὺς ἐν σκότει, καὶ σκιᾷ θανάτου καθημένους. Σὺ δόξης ἀενάου Κύριε, καὶ Πατρὸς ὑψίστου Υἱὲ ἀγαπητέ. ἀΐδιον Φῶς ἐξ ἀϊδίου φωτός. Ἥλιε δικαιοσύνης, ἐπάκουσον ἡμῶν δεομένων σου, καὶ ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου, τῶν προκεκοιμημένων Πατέρων, καὶ Ἀδελφῶν ἡμῶν, καὶ τῶν λοιπῶν συγγενῶν κατὰ σάρκα, καὶ πάντων τῶν οἰκείων τῆς Πίστεως, περὶ ὧν καὶ τὴν μνήμην ποιούμεθα νῦν. ὅτι ἐν σοὶ πάντων τὸ κράτος, καὶ ἐν τῇ χειρί σου κατέχεις πάντα τὰ πέρατα τῆς γῆς. Δέσποτα Παντοκράτορ, Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, γένους θνητοῦ τε καὶ ἀθανάτου, καὶ πάσης φύσεως ἀνθρωπίνης Δημιουργέ, συνισταμένης τε καὶ πάλιν λυομένης, ζωῆς τε καὶ τελευτῆς, τῆς ἐνταῦθα διαγωγῆς, καὶ τῆς ἐκεῖθεν μεταστάσεως. ὁ χρόνους μετρῶν τοῖς ζῶσι, καὶ καιροὺς θανάτου ἱστῶν. κατάγων εἰς ᾅδου καὶ ἀνάγων. δεσμεύων ἐν ἀσθενείᾳ, καὶ ἀπολύων ἐν δυναστείᾳ. ὁ τὰ παρόντα χρησίμως οἰκονομῶν, καὶ τὰ μέλλοντα λυσιτελῶς διοικῶν· ὁ τοὺς θανάτου κέντρῳ πληγέντας, ἀναστάσεως ἐλπίσι ζωογονῶν. Αὐτὸς οὖν Δέσποτα τῶν ἁπάντων, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν. ὁ καὶ ἐν ταύτῃ τῇ ἐσχάτῃ καὶ μεγάλῃ καὶ σωτηρίῳ ἡμέρᾳ τῆς Πεντηκοστῆς Ἑορτῆς, τὸ Μυστήριον τῆς Ἁγίας καὶ ὁμοουσίου, καὶ συναϊδίου, καὶ ἀδιαιρέτου, καὶ ἀσυγχύτου Τριάδος ὑποδείξας ἡμῖν, καὶ τὴν ἐπιφοίτησιν καὶ παρουσίαν τοῦ Ἁγίου καὶ ζωοποιοῦ σου Πνεύματος, ἐν εἴδει πυρίνων γλωσσῶν, ἐπὶ τοὺς Ἁγίους σου Ἀποστόλους ἐκχέας· καὶ Εὐαγγελιστὰς αὐτοὺς θέμενος τῆς εὐσεβοῦς ἡμῶν Πίστεως· καὶ ὁμολογητὰς καὶ Κήρυκας τῆς ἀληθοῦς ἀναδείξας Θεολογίας. ὁ καὶ ἐν αὐτῇ τῇ παντελείῳ Ἑορτῇ, καὶ σωτηριώδει, ἱλασμοὺς μὲν ἱκεσίους, ὑπὲρ τῶν κατεχομένων ἐν ᾅδου καταξιώσας δέχεσθαι. μεγάλας τε παρέ-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

χων ἡμῖν ἐλπίδας, ἄφεσιν τοῖς κατεχομένοις τῶν κατεχόντων αὐτοὺς ἁμαρτιῶν, καὶ παραψυχὴν παρὰ σοῦ καταπέμπεσθαι. ἐπάκουσον ἡμῶν τῶν ταπεινῶν, καὶ οἰκτρῶν δεομένων σου, καὶ ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου τῶν προκεκοιμημένων, ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη λύπη καὶ στεναγμός. καὶ κατάταξον τὰ πνεύματα αὐτῶν ἐν σκηναῖς Δικαίων, καὶ εἰρήνης καὶ ἀφέσεως ἀξίωσον αὐτούς. ὅτι οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε, οὐδὲ οἱ ἐν ᾅδῃ ἐξομολόγησιν παῤῥησιάζονται προσφέρειν σοι. ἀλλ᾽ ἡμεῖς οἱ ζῶντες εὐλογοῦμέν σε, καὶ ἱκετεύομεν, καὶ τὰς ἱλαστηρίους εὐχὰς, καὶ θυσίας προσάγομέν σοι ὑπὲρ τῶν ψυχῶν αὐτῶν.

## Ἐπισυνάπτει καὶ ταύτην τὴν Εὐχήν.

Ὁ Θεὸς ὁ μέγας καὶ αἰώνιος, ὁ Ἅγιος, καὶ φιλάνθρωπος, ὁ καταξιώσας ἡμᾶς καὶ ἐν ταύτῃ τῇ ὥρᾳ στῆναι ἐνώπιον τῆς ἀπροσίτου σου Δόξης, εἰς ὕμνον, καὶ αἶνον τῶν θαυμασίων σου, ἱλάσθητι ἡμῖν τοῖς ἀναξίοις δούλοις σου, καὶ παράσχου χάριν τοῦ μετὰ συντετριμμένης καρδίας ἀμετεωρίστως προσενεγκεῖν σοι τὴν Τρισάγιον δοξολογίαν, καὶ τὴν εὐχαριστίαν τῶν μεγάλων σου δωρεῶν, ὧν ἐποίησας, καὶ ποιεῖς πάντοτε εἰς ἡμᾶς. Μνήσθητι Κύριε, τῆς ἀσθενείας ἡμῶν, καὶ μὴ συναπολέσῃς ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν· ἀλλὰ ποίησον μέγα ἔλεος μετὰ τῆς ταπεινώσεως ἡμῶν, ἵνα τὸ τῆς ἁμαρτίας σκότος διαφυγόντες, ἐν ἡμέρᾳ δικαιοσύνης περιπατήσωμεν, καὶ ἐνδυσάμενοι τὰ ὅπλα τοῦ φωτὸς, ἀνεπιβουλεύτως διατελέσωμεν ἀπὸ πάσης ἐπηρείας τοῦ πονηροῦ, καὶ μετὰ παῤῥησίας δοξάσωμεν ἐπὶ πᾶσι σὲ τὸν μόνον ἀληθινὸν καὶ φιλάνθρωπον Θεόν. Σὸν γὰρ ὡς ἀληθῶς, καὶ μέγα ὄντως Μυστήριον, Δέσποτα τῶν ἁπάντων καὶ Ποιητὰ, ἥτε πρόσκαιρος λύσις τῶν σῶν κτισμάτων, καὶ ἡ μετὰ ταῦτα συνάφεια, καὶ ἀνάπαυσις ἡ εἰς αἰῶνας. Σοὶ χάριν ἐπὶ πᾶσιν ὁμολογοῦμεν, ἐπὶ ταῖς εἰσόδοις ἡμῶν ταῖς εἰς τὸν Κόσμον τοῦτον, καὶ ταῖς ἐξόδοις· αἳ τὰς ἐλπίδας ἡμῶν τῆς Ἀναστάσεως καὶ τῆς ἀκηράτου ζωῆς, διὰ τῆς σῆς ἀψευδοῦς ἐπαγγελίας προμνηστεύονται· ἧς ἀπολαύσαιμεν ἐν τῇ δευτέρᾳ μελλούσῃ παρουσίᾳ σου. Σὺ γὰρ εἶ καὶ τῆς Ἀναστάσεως ἡμῶν ἀρχηγὸς, καὶ τῶν βεβιωμένων ἀδέκαστος, καὶ φιλάνθρωπος Κριτὴς, καὶ τῆς μισθαποδοσίας Δεσπότης, καὶ Κύριος. ὁ καὶ κοινωνήσας ἡμῖν παραπλησίως σαρκὸς, καὶ αἵματος, διὰ συγκατάβασιν ἄκραν· καὶ τῶν ἡμετέρων ἀδιαβλήτων παθῶν, ἐν τῷ ἑκουσίως εἰς πεῖραν καταστῆναι, προσλαβόμενος σπλάγχνα οἰκτιρμῶν, καὶ ἐν ᾧ πέπονθας πειρασθεὶς αὐτὸς, τοῖς πειραζομένοις ἡμῖν γενόμενος αὐτεπάγγελτος βοηθός. διὸ καὶ συνήγαγες ἡμᾶς εἰς τὴν σὴν ἀπάθειαν. Δέξαι οὖν, Δέσποτα, δεήσεις καὶ ἱκεσίας ἡμετέρας, καὶ ἀνάπαυσον πάντας τοὺς πατέρας ἑκάστου, καὶ μητέρας, καὶ ἀδελφοὺς, καὶ ἀδελφὰς, καὶ τέκνα, καὶ ἔτι ἄλλο ὁμογενὲς καὶ ὁμόφυλον, καὶ πάσας τὰς προαναπαυσαμένας ψυχὰς ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, καὶ κατάταξον τὰ πνεύματα αὐτῶν, καὶ τὰ ὀνόματα ἐν Βίβλῳ ζωῆς, ἐν κόλποις Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, ἐν χώρᾳ ζώντων, εἰς Βασιλείαν Οὐρανῶν, ἐν Παραδείσῳ τρυφῆς, διὰ τῶν φωτεινῶν Ἀγγέλων σου εἰσάγων ἅπαντας εἰς τὰς ἁγίας σου μονάς. Συνέγειρον καὶ τὰ σώματα ἡμῶν ἐν ἡμέρᾳ, ᾗ ὥρισας, κατὰ τὰς ἁγίας σου καὶ ἀψευδεῖς ἐπαγγελίας. οὐκ ἔστιν οὖν, Κύριε, τοῖς δούλοις σου θάνατος, ἐκδημούντων ἡμῶν ἀπὸ τοῦ σώματος, καὶ πρὸς σὲ τὸν Θεὸν ἐνδημούντων· ἀλλὰ μετάστασις ἀπὸ τῶν λυπηροτέρων ἐπὶ τὰ χρηστότερα, καὶ θυμηδέστερα, καὶ ἀνάπαυσις, καὶ χαρά. Εἰ δὲ καί τι ἡμάρτομεν εἰς σὲ, ἵλεως γενοῦ ἡμῖν τε καὶ αὐτοῖς· διότι οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου ἐνώπιόν σου, οὐδ᾽ ἂν μία ἡμέρα ἡ ζωὴ αὐτοῦ ἐστιν. εἰ μὴ μόνος σὺ ὁ ἐπὶ γῆς φανεὶς ἀναμάρτητος, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, δι᾽ οὗ πάντες ἐλπίζομεν ἐλέους τυχεῖν, καὶ ἀφέσεως ἁμαρτιῶν. διὰ τοῦτο ἡμῖν τε, καὶ αὐτοῖς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς, ἄνες, ἄφες, συγχώρησον τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια, καὶ τὰ ἀκούσια, τὰ ἐν γνώσει καὶ ἐν ἀγνοίᾳ, τὰ πρόδηλα, τὰ λανθάνοντα, τὰ



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ἐν πράξει, τὰ ἐν διανοίᾳ, τὰ ἐν λόγῳ, τὰ ἐν πάσαις ἡμῶν ταῖς ἀναστροφαῖς, καὶ τοῖς κινήμασι. καὶ τοῖς μὲν προλαβοῦσιν ἐλευθερίαν καὶ ἄφεσιν δώρησαι, ἡμᾶς δὲ τοὺς περιεστῶτας εὐλόγησον. τέλος ἀγαθὸν, καὶ εἰρηνικὸν παρεχόμενος ἡμῖν τε, καὶ παντὶ τῷ Λαῷ σου, καὶ ἐλέους σπλάγχνα, καὶ φιλανθρωπίας διανοίγων ἡμῖν ἐν τῇ φρικτῇ, καὶ φοβερᾷ σου παρουσίᾳ, καὶ τῆς Βασιλείας σου ἀξίους ἡμᾶς ποίησον.

Ἐπισυνάπτει καὶ ταύτην τὴν Εὐχήν.

Ὁ Θεὸς ὁ μέγας καὶ Ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον. ὁ πᾶσαν τὴν Κτίσιν ἐν σοφίᾳ δημιουργήσας, ὁ διαχωρίσας ἀναμέσον τοῦ φωτὸς, καὶ ἀναμέσον τοῦ σκότους, καὶ τὸν Ἥλιον θέμενος εἰς ἐξουσίαν τῆς ἡμέρας, Σελήνην δὲ καὶ ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός. ὁ καταξιώσας ἡμᾶς τοὺς ἁμαρτωλοὺς, καὶ ἐπὶ τῆς παρούσης ἡμέρας προφθάσαι τὸ πρόσωπόν σου ἐν ἐξομολογήσει, καὶ τὴν ἑσπερινήν σοι λατρείαν προσαγαγεῖν. Αὐτὸς φιλάνθρωπε Κύριε, κατεύθυνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου, καὶ πρόσδεξαι αὐτὴν εἰς ὀσμὴν εὐωδίας. Παράσχου δὲ ἡμῖν τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα εἰρηνικήν. Ἔνδυσον ἡμᾶς ὅπλα φωτός. ῥῦσαι ἡμᾶς ἀπὸ φόβου νυκτερινοῦ, καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου, καὶ δώρησαι ἡμῖν τὸν ὕπνον, ὃν εἰς ἀνάπαυσιν τῇ ἀσθενείᾳ ἡμῶν ἐδωρήσω, πάσης διαβολικῆς φαντασίας ἀπηλλαγμένον. Ναὶ Δέσποτα τῶν ἁπάντων, τῶν ἀγαθῶν χορηγέ· ἵνα καὶ ἐν ταῖς κοίταις ἡμῶν κατανυγόμενοι, μνημονεύωμεν καὶ ἐν νυκτὶ τοῦ παναγίου ὀνόματός σου, καὶ τῇ μελέτῃ τῶν σῶν ἐντολῶν καταυγαζόμενοι, ἐν ἀγαλλιάσει ψυχῆς διανιστώμεθα πρὸς δοξολογίαν τῆς σῆς ἀγαθότητος, δεήσεις καὶ ἱκεσίας τῇ σῇ εὐσπλαγχνίᾳ προσάγοντες ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν καὶ παντὸς τοῦ Λαοῦ σου· ὃν ταῖς πρεσβείαις τῆς ἁγίας Θεοτόκου ἐν ἐλέει ἐπίσκεψαι.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεός.

Τῆς Παναγίας, ἀχράντου.

Ἐκφώνως ὁ Ἱερεύς.

Σὺ γὰρ εἶ ἡ ἀνάπαυσις τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος.

Πληρώσωμεν τὴν Ἑσπερινήν.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.
Τὴν Ἑσπέραν πᾶσαν τελείαν.
Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν.
Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν.
Τὰ καλὰ καὶ συμφέροντα.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς.
Τῆς Παναγίας, ἀχράντου.

Ἐκφώνως ὁ Ἱερεύς.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις.

Εἰρήνη πᾶσι.

Ὁ Λαός. Καὶ τῷ Πνεύματί σου.

Ὁ Διάκον. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ.

Ὁ Λαός. Σοὶ Κύριε.

Καὶ ὁ Ἱερεὺς εὔχεται τὴν Εὐχὴν ταύτην μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας Οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ Κριτῇ οἱ σοὶ δοῦλοι τὰς ἑαυτῶν ἔκλιναν κεφαλὰς, τοὺς δὲ ἑαυτῶν ὑπέταξαν αὐχένας. οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν. οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ὥραν τε καὶ ἑσπέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων, καὶ ἐνθυμήσεων πονηρῶν.

Εἶτα Ἐκφωνεῖ.

Εἴη τὸ κράτος τῆς Βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ψάλλομεν τὰ Ἰδιόμ. τοῦ π. ἦχ. γ'.

Νῦν εἰς σημεῖον τοῖς πᾶσιν, ἐμφανῶς αἱ γλῶσσαι γεγόνασιν. Ἰουδαῖοι γὰρ,



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

ἐξ ὧν κατὰ σάρκα Χριστός, ἀπιστίᾳ νοσήσαντες, θεϊκῆς ἐξέπεσον χάριτος, καὶ τοῦ θείου φωτὸς οἱ ἐξ Ἐθνῶν ἠξιώθημεν, στηριχθέντες τοῖς λόγοις τῶν Μαθητῶν, φθεγγομένων τὴν δόξαν τοῦ εὐεργέτου τῶν ὅλων Θεοῦ. μεθ' ὧν τὰς καρδίας σὺν τοῖς γόνασι κλίναντες, ἐν πίστει προσκυνήσωμεν, τῷ Ἁγίῳ Πνεύματι στηριχθέντες, Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Στ. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί.

Νῦν τὸ Παράκλητον Πνεῦμα ἐπὶ πᾶσαν σάρκα ἐκκέχυται, Ἀποστόλων γὰρ χορείαις ἀρξάμενον, ἐξ αὐτῶν κατὰ μέθεξιν, τοῖς Πιστοῖς τὴν χάριν ἐφήπλωσε, καὶ πιστοῦται αὐτοῦ τὴν κραταιὰν ἐπιφοίτησιν, ἐν πυρίνῳ τῷ εἴδει, τοῖς Μαθηταῖς διανέμων τὰς γλώσσας εἰς ὑμνῳδίαν, καὶ δόξαν Θεοῦ. διὸ τὰς καρδίας νοερῶς ἐλλαμπόμενοι, ἐν πίστει στηριχθέντες τῷ Ἁγίῳ Πνεύματι, δυσωποῦμεν σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στ. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου.

Νῦν περιβάλλονται κράτος οἱ Χριστοῦ ἀφ' ὕψους Ἀπόστολοι. ἐγκαινίζει γὰρ αὐτοὺς ὁ Παράκλητος, ἐν αὐτοῖς καινιζόμενος μυστικῇ καινότητι γνώσεως. ἣν ταῖς ξέναις φωναῖς, καὶ ὑψηγόροις κηρύττοντες, τὴν ἀΐδιον Φύσιν τε καὶ ἁπλῆν, τρισυπόστατον σέβειν τοῦ εὐεργέτου τῶν ὅλων Θεοῦ, ἡμᾶς ἐκδιδάσκουσι. διὸ φωτισθέντες τοῖς ἐκείνων διδάγμασι, Πατέρα προσκυνήσωμεν, σὺν Υἱῷ, καὶ Πνεύματι, δυσωποῦντες σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν, ἦχος πλ. δ'.
Λέοντος Δεσπότου.

Δεῦτε λαοί, τὴν Τρισυπόστατον Θεότητα προσκυνήσωμεν, Υἱὸν ἐν τῷ Πατρί, σὺν Ἁγίῳ Πνεύματι. Πατὴρ γὰρ ἀχρόνως ἐγέννησεν Υἱόν, συναΐδιον καὶ σύνθρονον. καὶ Πνεῦμα Ἅγιον ἦν ἐν τῷ Πατρί, σὺν Υἱῷ δοξαζόμενον. μία δύναμις, μία οὐσία, μία Θεότης, ἣν προσκυνοῦντες πάντες λέγωμεν· Ἅγιος ὁ Θεός, ὁ τὰ πάντα δημιουργήσας δι' Υἱοῦ, συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος. Ἅγιος Ἰσχυρός, δι' οὗ τὸν Πατέρα ἐγνώκαμεν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐπεδήμησεν ἐν Κόσμῳ. Ἅγιος Ἀθάνατος, τὸ Παράκλητον Πνεῦμα, τὸ ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ ἐν Υἱῷ ἀναπαυόμενον· Τριὰς Ἁγία δόξα σοι.

Εἶτα τὸ, Νῦν Ἀπολύεις. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Τὸ Ἀπολυτίκιον τῆς Ἑορτῆς, ἐκ γ'.

Εἶτα ὁ Ἱερεὺς ποιεῖ Ἀπόλυσιν οὕτως.

Ὁ ἐκ τῶν πατρικῶν καὶ θεϊκῶν κόλπων κενώσας ἑαυτόν, καὶ τὴν ἡμετέραν ὅλην ἀνθρωπείαν προσλαβόμενος φύσιν, καὶ θεώσας αὐτήν. μετὰ δὲ ταύτης εἰς Οὐρανοὺς αὖθις ἀνελθών, καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός, τό, τε θεῖον, καὶ Ἅγιον, καὶ ὁμοούσιον, καὶ ὁμοδύναμον, καὶ ὁμόδοξον, καὶ συναΐδιον Πνεῦμα καταπέμψας ἐπὶ τοὺς Ἁγίους αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους· καὶ διὰ τούτου φωτίσας μὲν αὐτούς, δι' αὐτῶν δὲ πᾶσαν τὴν Οἰκουμένην, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν. ταῖς πρεσβείαις τῆς Παναχράντου, καὶ Παναμώμου Ἁγίας αὐτοῦ Μητρός. τῶν Ἁγίων ἐνδόξων, Πανευφήμων, Θεοκηρύκων, καὶ Πνευματοφόρων Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς διὰ τὴν ἑαυτοῦ ἀγαθότητα.

Καὶ λαβὼν ὁ Ἱερεὺς συγχώρησιν, ἀπέρχονται πάντες.

Τῇ Β'. εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολ. κα. ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ.

Τὴν μεθέορτον Πιστοί, καὶ τελευταίαν Ἑορτήν, ἑορτάσωμεν φαιδρῶς, αὕτη ἐστὶ Πεντηκοστή, ἐπαγγελίας συμπληρώσις καὶ προθεσμίας. ἐν ταύτῃ γὰρ τὸ πῦρ, τοῦ Παρακλήτου εὐθύς, κατέβη ἐπὶ γῆς, ὥσπερ ἐν εἴδει γλωσσῶν. καὶ Μαθητὰς ἐφώτισε, καὶ τούτους Οὐρανομύστας ἀνέδειξε. τὸ φῶς ἐπέστη, τοῦ Παρακλήτου, καὶ τὸν Κόσμον ἐφώτισε.

Δίς.

Μετὰ τὴν β'. στιχολ. κα. Ὅμοιον.

Ἡ τοῦ Πνεύματος πηγή, ἐπιδημοῦσα τοῖς ἐν γῇ, εἰς πυρφόρους ποταμούς, μεριζομένη νοητῶς, τοὺς Ἀποστόλους ἐδρόσιζε φωταγωγοῦσα. καὶ γέγονεν αὐτοῖς, νέφος δροσῶδες τὸ πῦρ, φωτίζουσα αὐτούς,



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσειος"

καὶ ὑετίζουσα φλόξ. δι' ὧν ἡμεῖς ἐλάβομεν τὴν χάριν, διὰ πυρός τε καὶ ὕδατος. τὸ φῶς ἐπέστη, τοῦ Παρακλήτου, καὶ τὸν Κόσμον ἐφώτισεν.

Ὁ Ν'. Καὶ οἱ Κανόνες τῆς Ἑορτῆς. ὁ Βαρὺς μετὰ τῶν Εἱρμῶν, εἰς η'. καὶ ὁ δ'. εἰς ς'. ὁ Κανών.

Οὗ ἡ ἀκροστιχίς.

Πεντηκοστὴν ἑορτάζωμεν.

Ποίημα Κοσμᾶ Μοναχοῦ.

Ὠδὴ, α'. ἦχος, βαρύς. Ὁ Εἱρμός.

Πόντῳ ἐκάλυψε Φαραὼ σὺν ἅρμασιν, ὁ συντρίβων πολέμους ἐν ὑψηλῷ βραχίονι. ᾄσωμεν αὐτῷ, ὅτι δεδόξασται.

Ἔργῳ ὡς πάλαι τοῖς Μαθηταῖς ἐπηγγείλω, τὸ Παράκλητον Πνεῦμα ἐξαποστείλας Χριστὲ, ἔλαμψας τῷ Κόσμῳ φῶς φιλάνθρωπε.

Νόμῳ τὸ πάλαι προκηρυχθὲν, καὶ Προφήταις, ἐπληρώθη τοῦ Θείου Πνεύματος σήμερον. πᾶσι γὰρ πιστοῖς χάρις ἐκκέχυται.

Ἕτερος Κανὼν Ἰαμβικός. Ποίημα Κυρίου Ἰωάννου τοῦ Ἀρκλᾶ. οὗ ἡ ἀκροστ. διὰ Στίχων Ἡρωελεγείων.

Θεογενὲς Λόγε, Πνεῦμα Παράκλητον πάλιν ἄλλον, ἐκ Γενέτου κόλπων ἧκας ἐπιχθονίοις. οἷα πυρὸς γλώσσῃσι φέρον Θεότητος αὔλου, Σῆμα τῆς φύτλης, καὶ χάριν Ὑμνεπόλοις.

Ὠδὴ, α'. ἦχος, δ'. Ὁ Εἱρμός.

Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ. Ἐρρητόρευσε τὸν θεόγραφον νόμον. Ἰλὺν γὰρ ἐκτινάξας ὄμματος νόου, Ὁρᾷ τὸν ὄντα, καὶ μυεῖται Πνεύματος. Γνῶσιν γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν.

Ἔφη τὸ σεπτὸν καὶ σεβάσμιον στόμα. Νοσφισμὸς ὑμῖν οὐ γενήσεται φίλοις. Ἐγὼ γὰρ εἰς Πατρῷον ὕψιστον Θρόνον, Συνεδριάζων ἐκχεῶ τοῦ Πνεύματος, Λάμψαι ποθοῦσι τὴν χάριν τὴν ἄφθονον.

Ὅρος βεβηκὼς ἀτρεκέστατος Λόγος, Γαληνόμορφον ἐκτελεῖ τὴν καρδίαν. Ἔργον γὰρ ἐκπεράνας εὔφρανε φίλους, Πνοῇ βιαίᾳ καὶ πυρὸς γλωττήμασι. Νείμας τὸ Πνεῦμα Χριστὸς ὡς ὑπέσχετο.

Καταβασία. Πόντῳ ἐκάλυψε.

Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος.

Ὠδὴ, γ'. Ὁ Εἱρμός.

Τὴν ἐξ ὕψους δύναμιν τοῖς Μαθηταῖς Χριστὲ, ἕως ἂν ἐνδύσησθε ἔφης, καθίσατε ἐν Ἱερουσαλήμ. ἐγὼ δὲ ὡς ἐμὲ Παράκλητον ἄλλον, Πνεῦμα τὸ ἐμόν τε καὶ Πατρὸς ἀποστελῶ, ἐν ᾧ στερεωθήσεσθε.

Ἡ τοῦ Θείου Πνεύματος ἐπιδημήσασα δύναμις, τὴν μερισθεῖσαν πάλαι φωνὴν, κακῶς ὁμονοησάντων εἰς μίαν ἁρμονίαν, θείως συνῆψε, γνώσει συνετίζουσα πιστοὺς τῆς Τριάδος, ἐν ᾗ ἐστερεώθημεν.

Εἱρμὸς Ἄλλος.

Ἔρρηξε γαστρὸς ἠτεκνωμένης πέδας, Ὕβριντε δυσκάθεκτον ἀτεκνουμένης, Μόνη προσευχὴ τῆς Προφήτιδος πάλαι, Ἄννης φερούσης πνεῦμα συντετριμμένον, Πρὸς τὸν δυνάστην, καὶ Θεὸν τῶν γνώσεων.

Ἄληπτός ἐστιν ἡ Θεαρχικωτάτη. Ῥήτορας γὰρ ἐξέφηνε τοὺς ἀγραμμάτους, Ἄλις σοφιστὰς συστομίζοντας λόγῳ. Καὶ τῆς βαθείας νυκτὸς ἐξαιρουμένους, Λαοὺς ἀπείρους ἀστραπῇ τοῦ Πνεύματος.

Ἦν ἐκπορευτὸν ἐξ ἀγεννήτου φάους, Τὸ πανθεμουργόφωτον ἄφθιτον σέλας. Οὗ τὴν δι' Υἱοῦ Πατρικῆς ἐξουσίας, Νῦν ἐμφανίζει συμφυῆ φρυκτωρίαν, Πυρώδης ἦχος ἐν Σιὼν τοῖς Ἔθνεσιν.

Καταβασία.

Τὴν ἐξ ὕψους δύναμιν. καὶ, Ἔρρηξε γαστρός.

Κάθισμα, ἦχος, πλ. δ'.

Τὴν Σοφίαν καὶ Λόγον.

Τὸ Πανάγιον Πνεῦμα νῦν κατελθὸν, ἐπὶ τοὺς Ἀποστόλους εἴδει πυρὸς, τοῦ θάμβους ἐπλήρωσε, τῶν Ἐθνῶν τὰ συστήματα. ἐν γὰρ γλώσσαις λαλούντων, πυρίναις φιλάνθρωπε, τὴν ἰδίαν ἕκαστος, διάλεξιν ἤκουσεν. ὅθεν καὶ τὸ θαῦμα, τοῖς ἀπίστοις ὡς μέθη, πιστοῖς δὲ σωτήριον, ἀληθῶς ἐγνωρίζετο. διὰ τοῦτο δοξάζομεν, τὸ κράτος σου Χριστὲ ὁ Θεὸς, τῶν πταισμάτων ἄφεσιν αἰτούμενοι, καταπέμψαι πλουσίως τοῖς δούλοις σου. Δίς.

Ὠδὴ, δ'. Ὁ Εἱρμός.

Κατανοῶν ὁ Προφήτης, τὴν ἐπ' ἐσχάτων σου Χριστὲ ἔλευσιν ἀνεβόα· τὴν σὴν εἰσακήκοα Κύριε δυναστείαν, ὅτι πάντας τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας Μανούσεια

Ὁ ἐν Προφήταις λαλήσας, καὶ διὰ Νόμου κηρυχθεὶς, πρῴην τοῖς ἀτελέσι, Θεὸς ἀληθὴς ὁ Παράκλητος, τοῖς τοῦ Λόγου ὑπηρέταις καὶ Μάρτυσι γνωρίζεται σήμερον.

Ῥῆμα Θεότητος φέρον, τοῖς Ἀποστόλοις ἐν πυρὶ, Πνεῦμα κατεμερίσθη. καὶ ξέναις ἐν γλώσσαις ἐνέφηνεν, ὡς πατρόθεν θεῖον θεσμὸς, ἐρχόμενον ἐπὶ γῆν αὐτοκέλευθον.

Εἱρμὸς ἄλλος.

Ἄναξ ἀνάκτων οἷος ἐξ οἵου μόνος, Λόγος προελθὼν Πατρὸς ἐξ ἀναιτίου, Ἰσοσθενές σου Πνεῦμα τοῖς Ἀποστόλοις, Νημερτὲς ἐξέπεμψας ὡς εὐεργέτης. Ἄδουσι δόξα τῷ κράτει σου Κύριε.

Λουτρὸν τὸ θεῖον τῆς παλιγγενεσίας, Λόγῳ κεραννὺς συντεθειμένη φύσις, Ὀμβροβλυτεῖς μοι ῥεῖθρον ἐξ ἀκηράτου, Νενυγμένης σου πλευρᾶς, ὦ Θεοῦ Λόγε. Ἐπισφραγίζων τῇ ζέσει τοῦ Πνεύματος.

Κάμπτει τὰ πάντα τῷ Παρακλήτῳ γόνυ, Γόνῳ τε Πατρὸς Πατρὶ συμφυεστάτῳ. Ἐν γὰρ προσώποις οἶδε τριττοῖς οὐσίαν, Νημερτὲς ἀπρόσιτον ἄχρονον μίαν. Ἔλαμψε φῶς γὰρ ἡ χάρις τοῦ Πνεύματος.

Ἱλεῶσθε πάντες τῇ Θεαρχικωτάτῃ, Ὅσοι λατρευταὶ τῆς τριφεγγοῦς οὐσίας, Ὑπερφυῶς τελεῖ γὰρ ὡς εὐεργέτης. Καὶ πυρσολαμπεῖ Χριστὸς εἰς σωτηρίαν. Ὅλην ποριζων τὴν χάριν τοῦ Πνεύματος.

Καταβασία.

Κατανοῶν ὁ Προφήτης. καί, Ἄναξ ἀνάκτων οἷος ἐξ οἵου μόνος.

ᾨδὴ ε΄. Ὁ Εἱρμός.

Ὁ διὰ τὸν φόβον σου ληφθεὶς Κύριε, ἐν γαστρὶ τῶν Προφητῶν, καὶ κυηθεὶς ἐπὶ τῆς γῆς Πνεῦμα σωτηρίας, Ἀποστολικὰς καρδίας κτίζει καθαρὰς, καὶ ἐν τοῖς πιστοῖς εὐθὲς ἐγκαινίζεται. φῶς γὰρ καὶ εἰρήνη, διότι τὰ σὰ προστάγματα.

Ἡ ἐπιφοιτήσασα ἰσχὺς σήμερον, αὕτη Πνεῦμα ἀγαθὸν, Πνεῦμα σοφίας Θεοῦ, Πνεῦμα ἐκ Πατρὸς ἐκπορευθὲν, καὶ δι' Υἱοῦ πιστοῖς ἡμῖν, πεφηνὸς μεταδοτικὸν, ἐν οἷς κατοικίζεται φύσει, τῆς ἐν ᾗ κατοπτεύεται ἁγιότητος.

Εἱρμὸς ἄλλος.

Λυτήριον κάθαρσιν ἀμπλακημάτων, Πυρίπνοον δέξασθε Πνεύματος δρόσον, Ὦ τέκνα φωτόμορφα τῆς Ἐκκλησίας. Νῦν ἐκ Σιὼν γὰρ ἐξελήλυθε νόμος, Ἡ γλωσσοπυρσόμορφος Πνεύματος χάρις.

Καθώσπερ εὐδόκησεν αὐτεξουσίως, Ἀδέσποτον κάτεισι Πνεῦμα Πατρόθεν, Σοφίζον ἐν γλώσσῃσι τοὺς Ἀποστόλους, Ἐπισφραγίζον τὸν φερέσβιον Λόγον, Πατροσθενὲς ξύμμορφον ὁ Σωτὴρ ἔφη.

Ἰῆτο τὰς φρένας μὲν ἐξ ἁμαρτίας, Χάυτῷ κατεσκεύαζε τῶν Ἀποστόλων, Θεὸς Λόγος πάνταρχος ἄχραντον δόμον. Ὁμοσθενοῦς δὲ καὶ συνουσιωμένου. Νῦν ἐγκατοικίζεται Πνεύματος φάος.

Καταβασία. Τὸ διὰ τὸν φόβον σου. καί, Λυτήριον κάθαρσιν.

ᾨδὴ ς΄. Ὁ Εἱρμός.

Ναυτιῶν τῷ σάλῳ, τῶν βιωτικῶν μελημάτων, συμπλόοις ποντούμενος ἁμαρτίαις, καὶ ψυχοφθόρῳ θηρὶ προσεῤῥιμμένος, ὡς ὁ Ἰωνᾶς Χριστὲ βοῶ σοι· ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.

Ἐκ τοῦ Πνεύματός σου, σάρκα ἐπὶ πᾶσαν ὡς εἶπας, πλουσίως ἐξέχεας, καὶ ἐπληρώθη τῆς σῆς ἡ σύμπασα γνώσεως Κύριε, ὅτι ἐκ Πατρὸς Υἱὸς ἀῤῥεύστως ἔφυς, καὶ τὸ Πνεῦμα ἀμερίστως πρόεισιν.

Εἱρμὸς ἄλλος.

Ἱλασμὸς ἡμῖν Χριστὲ καὶ σωτηρία, Ὁ Δεσπότης ἔλαμψας ἐκ τῆς Παρθένου. Ἵν' ὡς Προφήτην θηρὸς ἐκ θαλαττίου, Στέρνων Ἰωνᾶν τῆς φθορᾶς διαρπάσῃς, Ὅλον τὸν Ἀδὰμ παγγενῆ πεπτωκότα.

Ἱμερτὸν ἡμῖν εὐθὲς ἐν τοῖς ἐγκάτοις, Αἰωνίως ἔξουσι Πνεῦμα καινίσοις, Πατροπροβλήτως πάντοτε ξυνημμένον, Ὕλης ἀπεχθοῦς καυστικὸν μολυσμάτων, Ῥύπου τε φρενῶν ῥυπτικὸν Παντοκράτορ.

Ὀρεκτὸν ἀξίωμα τοῖς Ἀποστόλοις, Σιωνίταις μίμνουσι σοῦ παρουσίαν, Γνώρισμα Πνεῦμα Πατρογεννήτου Λόγου, Λέσχην ἀπηνῆ τῶν Ἐθνῶν ποππυσμάτων, Ὤκιστα δεικνὺς πυρπνόως καθιδρύεις.

Καταβασία. Ναυτιῶν τῷ σάλῳ. καί, Ἱλασμὸς ἡμῖν Χριστέ.

Κοντάκιον, ἦχος, πλ. δ΄.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος. ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάν-

τας

Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας - Μανούσεια

τας ἐκάλεσε. καὶ συμφώνως δοξάζομεν τὸ πανάγιον Πνεῦμα.

Ο' Οἶκος.

Παχεῖαν καὶ σταθηρὰν δίδου παραμυθίαν τοῖς δούλοις σου Ἰησοῦ, ἐν τῷ ἀκηδιᾶσαι τὰ πνεύματα ἡμῶν. μὴ χωρίζου τῶν ψυχῶν ἡμῶν ἐν θλίψεσι. μὴ μακρύνου τῶν φρενῶν ἡμῶν ἐν περιστάσεσιν. ἀλλὰ ἀεὶ ἡμᾶς πρόφθασον. ἔγγισον ἡμῖν, ἔγγισον ὁ πανταχοῦ, ὥσπερ καὶ τοῖς Ἀποστόλοις σου πάντοτε συνῆς, οὕτω καὶ τοῖς σὲ ποθοῦσιν ἕνωσον σαυτὸν Οἰκτίρμων, ἵνα συνημμένοι σε ὑμνῶμεν, καὶ δοξολογῶμεν, τὸ πανάγιον Πνεῦμα.

Συναξάριον.

Τῇ Β'. Μετὰ τὴν Πεντηκοστὴν, ἤτοι τοῦ Ἁγίου Πνεύματος.

Στ. Πᾶσα πνοὴ δόξαζε Πνεῦμα Κυρίου.
Δι' οὗ πονηρῶν πνευμάτων φροῦδα θλάσεις.

Ἡ αὐτὴ ἡμέρα, Δευτέρα τῆς Πεντηκοστῆς, αὐτὸ τὸ πανάγιον, καὶ ζωοποιὸν, καὶ παντοδύναμον ἑορτάζομεν Πνεῦμα, τὸν ἕνα τῆς Τριάδος Θεὸν, τὸ ὁμότιμον, καὶ ὁμοούσιον, καὶ ὁμόδοξον τῷ Πατρὶ καὶ τῷ Υἱῷ. κατ' αὐτὴν μὲν γὰρ τὴν ἡμέραν τῆς Πεντηκοστῆς, τοῖς Ἁγίοις Ἀποστόλοις οὐσιωδῶς ἐπεδήμησεν ἐν εἴδει πυρίνων γλωσσῶν, καθίσαν ἐφ' ἕνα ἕκαστον αὐτῶν ἐν τῷ ὑπερῴῳ, ἐν ᾧ ἦσαν καταμένοντες. διὰ δὲ τὴν εἰς τὸ Ἅγιον Πνεῦμα τιμὴν καὶ μεμερισμένως, καὶ ἐν τῇ αὐτῇ Πεντηκοστῇ ἐθέσπισαν ἑορτάζειν αὐτὸ, οἱ τὰ πάντα καλῶς διαταξάμενοι θεῖοι Πατέρες. ἐπαγγειλάμενος γὰρ ὁ Σωτὴρ πρὸ τοῦ πάθους τὴν τοῦ Παρακλήτου ἔλευσιν, εἰπών· συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς. καὶ πάλιν. Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, διδάξει ὑμᾶς, καὶ ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. καὶ αὖθις. Ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον πέμψει ὑμῖν, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. καὶ μετὰ τὸ Πάθος δὲ πάλιν, ὅτε καὶ πρὸς Οὐρανὸν ἀνῄει, εἶπεν. Ὑμεῖς δὲ περιμείνατε ἐν Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους· πέμπει αὐτό. περιμενόντων γὰρ αὐτῶν ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς, περὶ ὥραν τρίτην τῆς ἡμέρας ἐν τῷ ὑπερῴῳ, αἴφνης βροντὴ Οὐρανόθεν ἐγένετο, ὡς καὶ τὸ πλῆθος τῆς Οἰκουμένης διαδραμεῖν, καὶ ἐν εἴδει πυρίνων γλωσσῶν ὤφθη τὸ Πνεῦμα τὸ Ἅγιον ἐπὶ αὐτῶν ἑκάστῳ, οὐ μόνον τῶν δώδεκα, ἀλλὰ καὶ τῶν ἑβδομήκοντα, καὶ ἐλάλουν ξέναις γλώσσαις, ἤτοι εἷς ἕκαστος τῶν Ἀποστόλων πάσας τὰς τῶν Ἐθνῶν ἐλάλει γλώσσας. οὐ μέντοι τὴν ἰδίαν τοῦ Ἀποστόλου λέγοντος, ὁ ἀλλόφυλος ἤκουεν, ἀλλὰ τὴν ἑκάστου Ἔθνους ὁ Ἀπόστολος ἤκουε, καὶ ἐλάλει. ὅθεν καὶ τοῖς συνειλεγμένοις μεθύειν ἔδοξαν. μὴ γινώσκων γὰρ ἕκαστος πῶς ὁ Ἀπόστολος πᾶσι κατὰ μέρος διελέγετο, μεθύειν αὐτὸν ὑπελάμβανον. ἄλλοι δὲ ἐθαύμαζον λέγοντες· τί ἂν θέλῃ τοῦτο εἶναι; ἦσαν δὲ οὗτοι ἐκ τῆς ἁπανταχοῦ γῆς συνειλεγμένοι διὰ τὴν Ἑορτὴν, Πάρθοι, Μῆδοι, καὶ Ἐλαμῖται, ὑπὸ Ἀντιόχου πρὸ ὀλίγου αἰχμάλωτοι γεγονότες. Μετὰ γὰρ τὴν Ἀνάληψιν, δέκα παρελθουσῶν ἡμερῶν, ἐπιδημεῖ τὸ Πνεῦμα τὸ Ἅγιον. καὶ οὐ παραυτίκα τῷ ἀναληφθῆναι, ἵνα θερμοτέρους μᾶλλον ποιήσῃ τοὺς Μαθητὰς ἐκδεχομένους αὐτό. φασὶ δέ τινες, ὅτι καθ' ἑκάστην τῶν ἡμερῶν, ἓν ἕκαστον τῶν Ἀγγελικῶν ταγμάτων προσιὸν, τὴν θεωθεῖσαν ἐκείνην σάρκα προσεκύνει. τῶν οὖν ἐννέα πληρωθεισῶν ἡμερῶν, τῇ δεκάτῃ ὁ Παράκλητος ἐπεδήμησε, τῆς καταλλαγῆς γενομένης διὰ τοῦ Υἱοῦ. Μετὰ δὲ πεντήκοντα ἀπὸ τοῦ Πάσχα, εἰς ὑπόμνησιν τοῦ παλαιοῦ Νόμου. ὁ γὰρ Ἰσραὴλ, ἐξ οὗ τὴν ἐρυθρὰν διεπεραιώθη, πεντήκοντα παρελθουσῶν ἡμερῶν, τὸν Δεκάλογον ἔλαβεν. Ὅρα δὲ καὶ τὰ σύμβολα. ἐκεῖ ὄρος, ὧδε ὑπερῷον. ἐκεῖ πῦρ, ὧδε γλῶσσαι πύριναι. ἀντὶ δὲ βροντῶν καὶ γνόφου, πνοὴ βιαία ἐνταῦθα. ἐν εἴδει μὲν οὖν γλωσσῶν κατῆλθε τὸ Πνεῦμα τὸ Ἅγιον, ὅτι οἰκείως ἔχειν πρὸς τὸν ζῶντα Λόγον παραδηλοῖ. ἢ καὶ ὅτι οἱ Ἀπόστολοι διδάσκειν, καὶ ἐπάγειν τὰ Ἔθνη διὰ γλώσσης ἔμελλον. πυρίνων δὲ, ὅτι ὁ Θεὸς πῦρ καταναλίσκον ἐστὶ, καὶ διὰ τὴν κάθαρσιν. μεριζομένων δὲ, διὰ τὰ χαρίσματα. καὶ ὥσπερ ποτὲ τοὺς τὴν μίαν γλῶσσαν ἐπισταμένους, εἰς πολλὰς διεῖλε, καὶ συνέχεεν, οὕτω καὶ

νῦν τοὺς τὴν μίαν γλῶσσαν ἐπισταμένους, εἰς πολλὰς ἐμέρισεν, ἵνα συνάξῃ τοὺς ὑπ' ἐκείνων τῶν γλωσσῶν, εἰς τὰ πέρατα τῆς Οἰκουμένης διασπαρέντας. ἐν Ἑορτῇ δὲ γίνεται, ἵνα πλειόνων ἀθροισθέντων, ἁπανταχοῦ τὸ πρᾶγμα ἐξηχηθείη. καὶ ἵνα οἱ ἐν τῷ Πάσχα τυχόντες, καὶ τὰ ἐπὶ τῷ Χριστῷ γεγενημένα ἰδόντες, θαυμάζειν ἔχωσιν. ἐν τῇ Πεντηκοστῇ δὲ, ὅτι ἐχρῆν, καθ' ὃν καιρὸν τὸ πρὶν ὁ Νόμος ἐδόθη, κατ' αὐτὸν καὶ τὴν τοῦ Πνεύματος χάριν ἐκκενωθῆναι. καθὰ καὶ ὁ Χριστὸς ἐποίησεν, ἐν τῷ νομικῷ Πάσχα, οἰκεῖον Πάσχα τελέσας, τὸ ἀληθινὸν Πάσχα. οὐκ εἰς τὸ στόμα δὲ ἐκάθισε τὸ Πνεῦμα, ἀλλ' εἰς τὰς κεφαλὰς τῶν Ἀποστόλων, τὸ ἡγεμονικὸν περιλαμβάνον, καὶ τὸ ὑπερφέρον τοῦ σώματος, καὶ αὐτὸν τὸν νοῦν, ἀφ' οὗ καὶ ἡ γλῶσσα τὸ λέγειν ἔχει. ἢ καὶ ὅτι τρόπον τινὰ φωνὴν διὰ τῆς γλώσσης τὸ Πνεῦμα ἀφίησιν, ὡς χειροτονεῖν τοὺς Ἀποστόλους διὰ τῶν κεφαλῶν ἁπάσης τῆς ὑπ' Οὐρανὸν Διδασκάλους. ἡ γὰρ χειροθεσία ἐν τῇ κορυφῇ γίνεται. ὁ δὲ ἦχος καὶ τὸ πῦρ, ὅτι καὶ ἐν Σιναίῳ ταῦτα ἐγένετο, ὡς ἂν δειχθείη τὸ αὐτὸ Πνεῦμα, καὶ τότε καὶ νῦν τὰ νομοθετοῦν, καὶ πάντα διαταττόμενον. συνεχέθη δὲ τὸ πλῆθος τῷ τῆς πνοῆς ἤχῳ, ὅτι ἔδοξαν τέλος ἔχειν, ὅσα τοῖς Ἰουδαίοις ὁ Χριστὸς περὶ τῆς αὐτῶν καταστροφῆς προήγγειλεν. ὡσεὶ πυρὸς δὲ εἶπεν, ἵνα μηδέν τι σωματικὸν ἐννοήσῃ τις περὶ τοῦ ἁγίου Πνεύματος. μέθην οὖν κατακρίνονται οἱ Ἀπόστολοι. ἀλλ' ὁ Πέτρος σταθεὶς καὶ δημηγορήσας ἐπὶ μέσῳ τῷ πλήθει, τοῦτο ἀπήλεγξε μὴ ἀληθείας ἐχόμενον, τὴν τοῦ Ἰωὴλ Προφητείαν ἐν τῷ λόγῳ παραγαγὼν, καὶ ἐχειρώσατο ἐξ αὐτῶν ὡσεὶ χιλιάδας τρεῖς. Παράκλητος δὲ τὸ Πνεῦμα τὸ Ἅγιον λέγεται, ὡς παραμυθεῖσθαι καὶ ἀναψύχειν ἡμᾶς δυνάμενον. ἀντὶ γὰρ τοῦ Χριστοῦ τοῦτο ἐλάβομεν, κἀκεῖνο δι' αὐτοῦ ἔχοντες. καὶ ὅτι ἐντυγχάνει ὑπὲρ ἡμῶν φωναῖς ἀλαλήτοις πρὸς τὸν Θεὸν, ὡς φιλάνθρωπον ἡμῶν προϊστάμενον· καθὰ δῆτα καὶ ὁ Χριστός. Παράκλητος γὰρ κἀκεῖνος. διὰ τοῦτο γὰρ καὶ ἄλλος Παράκλητος τὸ Πνεῦμα τὸ Ἅγιον λέγεται. φησὶ γὰρ ὁ Ἀπόστολος. Ἔχομεν Παράκλητον Ἰησοῦν τὰ πρὸς τὸν Θεόν. ἄλλος δὲ εἴρηται διὰ τὸ Ὁμοούσιον. τὸ γὰρ ἄλλος καὶ ἄλλος, ἐπὶ ταυτουσίων καὶ ὁμοφυῶν· τὸ δὲ ἄλλο καὶ ἄλλο, ἐπὶ διαφόρων οἴδαμεν φύσεων. τοῦτο τὸ Ἅγιον Πνεῦμα, ἓν ὂν καὶ τῷ Πατρὶ, καὶ τῷ Υἱῷ κατὰ πάντα. ὅθεν καὶ συνδημιουργεῖ τούτοις τὸ πᾶν, καὶ αὐτὴν τὴν ἐσομένην Ἀνάστασιν, καὶ ὅσα βούλεται πράσσει, ἁγιάζει, ἀφορίζει, νεοποιεῖ, ἀποστέλλει, σοφίζει, χρίει Προφήτας, καὶ ἁπλῶς εἰπεῖν ἅπαντα. αὐτεξούσιον ὂν, παντοδύναμον, ἀγαθὸν, εὐθὲς, ἡγεμονικόν. δι' αὐτοῦ πᾶσα σοφία, ζωὴ, κίνησις, εἴ τι μετέχον ἁγιωσύνης, καὶ παντοίας ζωῆς. ἁπλῶς ὅσα ἔχει ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, πλὴν τῆς ἀγεννησίας, καὶ τῆς γεννήσεως, παρὰ τοῦ Πατρὸς ἐκπορευόμενον. ἐκχυθέντος οὖν ἐπὶ πᾶσαν σάρκα τοῦ Πνεύματος, ὁ Κόσμος παντοίων χαρισμάτων ἐμπέπλησται, καὶ δι' αὐτοῦ τὰ Ἔθνη πάντα πρὸς θεογνωσίαν ἐχειραγωγήθησαν, καὶ πᾶσα νόσος, καὶ πᾶσα μαλακία ἐξώρισται. Τρισσῶς δὲ τοῖς Μαθηταῖς ἐδόθη παρὰ Χριστοῦ τὸ Πνεῦμα τὸ Ἅγιον. πρὸ τοῦ Πάθους, ἀμυδρῶς λίαν. μετὰ τὴν Ἀνάστασιν, δι' ἐμφυσήματος ἐμφανέστερον. καὶ νῦν κατέπεμψε τοῦτο οὐσιωδῶς. μᾶλλον δὲ αὐτὸ κατῆλθε τελεώτερον φωτίζον, καὶ ἁγιάζον αὐτούς. καὶ δι' αὐτοῦ πάλιν τῆς Οἰκουμένης τὰ πέρατα οἰκειούμενον. Τῇ ἐπιφοιτήσει τοῦ Ἁγίου Πνεύματος, πρεσβείαις τῶν Ἀποστόλων σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζʹ. Ὁ Εἱρμός.

„ Οἱ ἐν καμίνῳ τοῦ πυρὸς ἐμβληθέντες, ὅσιοι Παῖδες, τὸ πῦρ εἰς δρόσον μετέβαλον, διὰ τῆς ὑμνῳδίας, οὕτω βοῶντες· Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ῥητορευόντων τὰ θεῖα μεγαλεῖα τῶν Ἀποστόλων, τοῦ Πνεύματος ἡ ἐνέργεια, ἐνομίζετο μέθη τοῖς ἀπίστοις. δι' ἧς Τριὰς γνωρίζεται εἷς Θεὸς τῶν Πατέρων ἡμῶν.

Τὴν ἀδιαίρετον φύσιν ὀρθοδόξως θεολογοῦμεν, Θεὸν Πατέρα τὸν ἄναρχον, τῆς αὐτῆς ἐξουσίας Λόγον, καὶ Πνεῦ-



Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας

μα. ἀλογητὸς εἶ κράζοντες ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Εἱρμὸς Ἄλλος.

Σύμφωνον ἐθρόησεν ὀργάνων μέλος, Σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας. Ἡ τοῦ Παρακλήτου δὲ φωσφόρος χάρις, Σεβασμιάζει τοῦ βοᾶν· Τριὰς μόνη. Ἰσοσθενὴς ἄναρχος ἀλογητὸς εἶ.

Φωνὴν Προφητόφθεγκτον ἠγνοηκότες, Ἔφασκον οἰνότευκτον ἄφρονες μέθην. Ῥήσεις ξενηχοῦθησαν ὡς Ἀποστόλων. Οἱ δυσσεβεῖς δὲ σοὶ βοῶμεν ἐνθέως, Νευργὲ τοῦ σύμπαντος ἀλογητὸς εἶ.

Θέσπιν κατεβρόντησεν ὁ βλέπων ὄπα, Ἔμπνους Ἰωὴλ τοῦ θεαρχικωτάτου. Οἷς ἐκχεῶ φήσαντος οἷάπερ Λόγου. Τοῦ Πνεύματος μου συμβοήσασα φύσις, Ἡ τρισσοφεγγόφωτος ἀλογητὸς εἶ.

Ῥιπτὴν μὲν ἀμοίρησεν ὁρῶν τὴν χάριν, Ὅπως ὑπεμφήνειε τρεῖς ὑποστάσεις, Σέβειν ἐν ἁπλότητι τῆς ἐξουσίας. Ἀλλ' ἐν μιᾷ νῦν ἡμερῶν τῇ κυρίᾳ· Υἱὸς Πατὴρ καὶ Πνεῦμα ἀλογητὸς εἶ.

Καταβασία.

Οἱ ἐν καμίνῳ τοῦ πυρός. καὶ,
Σύμφωνον ἐθρόησεν ὀργάνων.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Ἄφλεκτος πυρὶ ἐν Σινᾷ προσομιλοῦσα, βάτος Θεὸν ἐγνώρισε, τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσεῖ, καὶ Παῖδας ζῆλος Θεοῦ, τρεῖς ἀναλώτους τῷ πυρὶ ὑμνῳδοὺς ἔδειξε. πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ῥωστικῆς ἐξ ὕψους, βιαίας φερομένης, ἠχητικῶς τοῦ Πνεύματος τοῦ Παναγίου, Ἁλιεῦσι πυρὸς, πυρίνων εἴδει γλωσσῶν, τὰ μεγαλεῖα τοῦ Θεοῦ ἐρρητορεύοντο. πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὡς μὴ θιγομένῳ προβαίνοντες ἐν ὄρει, μὴ πεφρικότες πῦρ δειματοῦν, δεῦτε καὶ στῶμεν ἐν τῷ ὄρει Σιὼν, ἐν Πόλει ζῶντος Θεοῦ, Πνευματοφόροις Μαθηταῖς νῦν συγχορεύοντες. πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς Ἄλλος.

Λύει τὰ δεσμὰ καὶ δροσίζει τὴν φλόγα, Ὁ τρισσοφεγγὴς τῆς Θεαρχίας τύπος. Ὑμνοῦσι Παῖδες, ἀλογεῖ δὲ τὸν μόνον, Σωτῆρα καὶ παντουργὸν ὡς εὐεργέτην, Ἡ δημιουργηθεῖσα σύμπασα Κτίσις.

Ἠνήμην ὁ Χριστὸς τῶν βροτοσσόων ἐπῶν, Ἀπαρκυθεὶς τοῖς Ἀποστόλοις ἔφη. Τὸ Πνεῦμα τάχει γλωσσοπυρσεύτῳ θέᾳ, Ἐφίζον ἀλογητὸν οἰκειουμένη, Ἀλλοτριουμένη δὲ μέλπει σε Κτίσις.

Σωτηριωδῶς αὐτοδεσπότως ἰὸν, Φῶς αὐτολαμπὲς, καὶ παρεκτικὸν φάους, Ὑπάρχων ἥκες ἐμφοροῦν Ἀποστόλοις; Τιμῆεν ὡς ἄημα τοῖς σοῖς οἰκέταις, Λελιπαρημένον τε Πνεῦμα προσμένοις.

Ἦσε Προφητῶν Πνευματέμφορον στόμα, Σὴν σωματωδῶς ὦ Μέδων ἐνδημίαν, Καὶ Πνεῦμα κόλπων Πατρικῶν προηγμένον, Ἀκτιστοσυμπλαστουργοσύνθρονον σέθεν, Γεῖς ἐνανθρωπήσεως πιστοῖς σέβας.

Καταβασ. Ἄφλεκτος πυρὶ ἐν Σινᾷ. καὶ, Λύει τὰ δεσμὰ, καὶ δροσίζει.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Ἡ τῆς φθορᾶς διὰ πεῖραν κυοφορήσασα, καὶ παντεχνήμονι Λόγῳ σάρκα δανείσασα, Μῆτερ ἀπείρανδρε, Παρθένε Θεοτόκε, δοχεῖον τοῦ ἀστέκτου, χωρίον τοῦ ἀπείρου, Πλαστουργοῦ σου σὲ μεγαλύνομεν.

Ἐπὶ παμφλάζοντος πάλαι πυρίνου ἅρματος, ὁ ζηλωτὴς καὶ πυρίπνους χαίρων ὀχούμενος, τὴν νῦν ἐκλάμψασαν ἐπίπνοιαν ἐδήλου, ἐξ ὕψους Ἀποστόλοις, ὑφ' ἧς καταλαμφθέντες, τὴν Τριάδα πᾶσιν ἐγνώρισαν.

Νόμου τῶν φύσεων, δίχα ξένον ἠκούετο, τῶν Μαθητῶν· τῆς μιᾶς γὰρ φωνῆς ἀπηχουμένης, Πνεύματος χάριτι, ποικίλως ἐνηχοῦντο, Λαοὶ φυλαὶ καὶ γλῶσσαι, τὰ θεῖα μεγαλεῖα, τῆς Τριάδος γνῶσιν μυούμεναι.

Εἱρμὸς Ἄλλος.

Χαίροις Ἄνασσα Μητροπάρθενον κλέος. Ἅπαν γὰρ εὔδινον εὔλαλον στόμα, Ῥητρεῦον οὐ σθένει σε μέλπειν ἀξίως. Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν Τόκον Νοεῖν. ὅθεν σε συμφώνως δοξάζομεν.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Βιβλιοθήκη Σιάτιστας "Μανούσακα"

Ἔ Ἀδεῖν ἔοικε τὴν φυσίζωον Κόρην. Μόνη γὰρ ἐν δίνῃσι κεκρύφει Λόγον, Νοσοῦσαν ἀλθαίνοντα τὴν βροτῶν φύσιν. Ὃς δεξιοῖς κλισμοῖσι νῦν ἱδρυμένος, Πατρὸς πέπομφε τὴν χάριν τοῦ Πνεύματος.

Ὅσοις ἔπνευσεν ἡ Θεόρρυτος χάρις. Λάμποντες ἀστράπτοντες ἠλλοιωμένοι. Ὀθνείαν ἀλλοίωσιν εὐπρεπεστάτην, Ἰσοσθενοῦσαν τὴν ἄτμητον εἰδότες, Σοφὴν τρίφεγγον Οὐσίαν δοξάζομεν.

Καταβασία. Μὴ τῆς φθορᾶς διαπεῖραν. καὶ Χαίροις Ἄνασσα Μητροπάρθενον.

Ἐξαποστειλ. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Τὸ Πανάγιον Πνεῦμα, τὸ προϊὸν ἐκ τοῦ Πατρὸς, καὶ δι' Υἱοῦ ἐνδημῆσαν, τοῖς ἀγραμμάτοις Μαθηταῖς, τοὺς σὲ Θεὸν ἐπιγνόντας, σῶσον ἁγίασον πάντας. Δίς.

Ἕτερον, Ὅμοιον.

Φῶς ὁ Πατὴρ, φῶς ὁ Λόγος, φῶς καὶ τὸ Ἅγιον Πνεῦμα· ὅπερ ἐν γλώσσαις πυρίναις, τοῖς Ἀποστόλοις ἐπέμφθη, καὶ δι' αὐτοῦ πᾶς ὁ Κόσμος φωταγωγεῖται, Τριάδα σέβειν Ἁγίαν. Ἅπαξ.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοὴ, ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν, στίχ. Ἰδιόμελα, ἦχος, β'.

Ἐν τοῖς Προφήταις.

Στίχ. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί.

Ἐν ταῖς αὐλαῖς σου ὑμνήσω σε.

Στίχ. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου.

Ἐν ταῖς αὐλαῖς σου Κύριε οἱ πιστοί.

Δευτεροῦντες τὸ α'.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'.

Γλῶσσαι ποτὲ συνεχέθησαν.

Ζήτει ἅπαντα εἰς τὸν Ἑσπερινὸν τοῦ Σαββάτου.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Τυπικὰ, καὶ ἐκ τῶν Κανόνων τῆς Ἑορτῆς, Ὠδὴ γ'. καὶ ς'.

Εἴσοδος, ὁ Ἱερεὺς, Σοφία ὀρθή.

Ὁ Λαὸς, τὸ Εἰσοδικόν.

Ὑψώθητι Κύριε ἐν τῇ δυνάμει σου.

Ἄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

Τὸ Τροπάριον, ἦχος, πλ. δ'.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς Ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ δι' αὐτῶν τὴν Οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε δόξα σοι.

Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν Ἔθνη ὁ Ὕψιστος. ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε. καὶ συμφώνως δοξάζομεν τὸ πανάγιον Πνεῦμα.

Τὸ Τρισάγιον.

Προκείμ. τοῦ Ἀποστόλου, ἦχος, πλ. β'.

Σῶσον Κύριε τὸν Λαόν σου.

Στίχ. Πρὸς σὲ Κύριε κεκράξομαι.

Ὁ Ἀπόστολος πρὸς Ἐφεσίους.

Ἀδελφοὶ, ὡς τέκνα φωτὸς περιπατεῖτε.

Ἀλληλούϊα, ἦχος, β'.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Στίχ. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος, ὁρᾶτε μὴ καταφρονήσητε.

Κοινωνικόν. Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἰστέον δὲ, ὅτι ἡ Ἑβδομὰς αὕτη τῆς Ἁγίας Πεντηκοστῆς λελυμένη ἐστὶν ἀπὸ τυροῦ, ἰχθύος, οἴνου, καὶ ἐλαίου. χαλάζουσι δὲ καὶ τὰ Μεσώρια τῶν Ὡρῶν, καὶ ὁ ἐν τοῖς Ἀποδείπνοις ψαλλόμενος Κανὼν τῆς Ὑπεραγίας Θεοτόκου.

Τῇ Β'. κατὰ τὴν Πεντηκοστὴν, Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στίχ. Προσόμοια, ἦχος, α'.

Τῶν οὐρανίων Ταγμάτων.

Νῦν ἐγκαινίζονται γλῶσσαι, τὰ μεγαλεῖα Θεοῦ, ἑτεροφθόγγοις λόγοις, καὶ πυρὸς ὡς ἐν εἴδει, εἰς πίστωσιν ἁπάντων, τῶν ἐπὶ γῆς, διηγεῖσθαι τρανώτατα. νῦν εἰς σημεῖον τοῖς Ἔθνεσιν ἀληθῶς, σωτηρία ἐπεδήμησας.

Ἣν καταπέμψαι ὑπέσχου τοῖς Μαθηταῖς σου Χριστὲ, ἐξ ὕψους δυναστείαν, ἐκπληρώσας ἐκπέμπεις, τὸ Ἅγιόν σου Πνεῦμα, δείξας ἡμῖν, ὅτι σὺ εἶ ἡ ἀλήθεια, καὶ ἐπὶ σὲ οἱ ἐλπίζοντες ἀγαθὲ, ἀληθῶς οὐ καταισχύνονται.

Τὴν προθεσμίαν πληρώσας, σοῦ τὸν Παράκλητον, ὡσεὶ πυρὸς ἐν γλώσσαις, ἐξαπέστειλας Κόσμῳ, τὰς πάντων ἁμαρτίας, θείῳ πυρὶ, ἀναχωνεῦσαι, καὶ

δοῦ-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΑΤΙΣΤΑΣ "ΜΑΝΟΥΣΕΙΑ"

δὸμαι ἡμῖν, τὴν πρὸς αὐτὸν κοινωνίαν εἰλικρινῆ, τοῖς πιστῶς θεολογοῦσιν αὐτόν.

Καὶ τοῦ Μηναίου, γ΄.

Δόξα, καὶ νῦν. ἦχος, α΄.

Πεντηκοστὴν ἑορτάζομεν, καὶ Πνεύματος ἐπιδημίαν, καὶ προθεσμίαν ἐπαγγελίας, καὶ ἐλπίδος συμπλήρωσιν, καὶ τὸ Μυστήριον ὅσον, ὡς μέγα τε καὶ σεβάσμιον. διὸ βοῶμέν σοι· Δημιουργὲ τοῦ παντὸς, Κύριε δόξα σοι.

Εἰς τὸν ν΄. ψ΄. ἦχος, β΄.

Οἶκος τοῦ Εὐφραθᾶ.

Ἔργῳ τοῖς Μαθηταῖς, ὡς ἐπηγγείλω Λόγε, ἀπέστειλας τὸ Θεῖον, καὶ Ἅγιόν σου Πνεῦμα, καὶ τούτους κατεφώτισας.

ς΄. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου.

Ὕψωσε ἐξ Οὐρανοῦ, τοὺς Ἀποστόλους πᾶσα, τοῦ θείου Παρακλήτου, ἡ δύναμις πανσόφους, καὶ Θεολόγους ἔδειξε.

ς΄. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί.

Ξένος ἀλλογενῶν, ἀκούοντες ἠπόρουν, ταῖς γλώσσαις ταῖς ἰδίαις, τοὺς θείους Ἀποστόλους, Τριάδα μεγαλύνοντας.

Δόξα, καὶ νῦν, ἦχος, α΄.

Γλώσσαις ἀλλογενῶν, ἐκαινούργησας Χριστὲ τοὺς σοὺς Μαθητάς. ἵνα δι᾽ αὐτῶν σε κηρύξωσι τὸν ἀθάνατον Λόγον καὶ Θεόν, τὸν παρέχοντα ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Τῇ Γ΄. μετὰ τὴν Πεντηκοστὴν, Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολογίαν κάθισμα. ἦχος, α΄.

Τὸν τάφον σου Σωτήρ.

Τριττάττω, συνυμνῶ, συνδοξάζω, συσσέβω, Πατρὶ, καὶ τῷ Υἱῷ, τὸ πανάγιον Πνεῦμα, ἑνῶν τῇ Θεότητι, διαιρῶν ἰδιότησιν. οὕτω τοῦτο γὰρ, τοὺς τοῦ Χριστοῦ Ἀποστόλους, ἐμφορήσαν νῦν, ἀλλὰ τὸν σύμπαντα Κόσμον, κηρύττειν ἐσόφισε. Δίς.

Μετὰ τὴν β΄ στιχολογίαν κάθισμα. Ὅμοιον.

Χριστοῦ τοὺς Μαθητὰς, ἡ τοῦ Πνεύματος χάρις, φρικτῶς ἐξ Οὐρανοῦ, κατελθοῦσα ἐν εἴδει, πυρὸς κατεφώτισε, καὶ Φωστῆρας ἀπέδειξε, καταγγέλλοντας, τὴν τῆς Ἁγίας Τριάδος, μίαν δύναμιν, καὶ Κυριότητα μίαν, ἣν πίστει δοξάζομεν. Δίς.

Ὁ Ν. Καὶ οἱ Κανόνες τῆς Ἑορτῆς, ὁ βαρὺς μετὰ τῶν Εἱρμῶν, εἰς η΄. Καὶ τοῦ Μηναίου, εἰς δ΄. Κοντάκιον, καὶ Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Εἰς τὸν ν΄. τῶν Αἴνων ψ΄. ἦχος, β΄.

Οἶκος τοῦ Εὐφραθᾶ.

Ὕλη θεαρχικῇ, τὸν νοῦν καταλαμφθέντες, οἱ Μαθηταί σου Λόγε, οὐσιωδῶς τὸ Πνεῦμα, τὸ ἅγιον ἐδέξαντο.

ς΄. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί.

Γλῶσσαι μετὰ πυρὸς, ἐξ ὕψους ὁραθεῖσαι, ἐπὶ τοὺς Ἀποστόλους, κατῆλθον μερισθεῖσαι, φωτίζουσαι οὐ φλέγουσαι.

ς΄. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου.

Ἄνωθεν πρὸς ἡμᾶς, Παράκλητε φοιτήσας, ὡς πρὶν τοῖς Ἀποστόλοις, ἁγίασον καὶ σῶσον, τοὺς σὲ Θεὸν κηρύττοντας.

Δόξα, καὶ νῦν. ἦχος, α΄.

Πάντα χορηγεῖ τὸ Πνεῦμα τὸ ἅγιον. βρύει Προφητείας, Ἱερέας τελειοῖ, ἀγραμμάτους σοφίαν ἐδίδαξεν, Ἁλιεῖς Θεολόγους ἀπέδειξεν. ὅλον συγκροτεῖ τὸν θεσμὸν τῆς Ἐκκλησίας· ὁμοούσιε καὶ ὁμόθρονε τῷ Πατρὶ καὶ τῷ Υἱῷ, Παράκλητε δόξα σοι.

Τῇ Γ΄. μετὰ τὴν Πεντηκοστὴν, Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν ψ΄. Προσόμοια. ἦχος, α΄.

Τῶν οὐρανίων Ταγμάτων.

Ὡς προσφυὲς ὡς οἰκεῖον, τοῖς λογικοῖς Οὐρανοῖς, ἐν πυριμόρφοις γλώσσαις, τοῦ Θεοῦ καταγγέλλειν, τοῖς Ἔθνεσι τὴν δόξαν, τοῦ τῷ πυρὶ, Οὐρανοὺς ὡραΐσαντος, καὶ καταυγάσαντος Κόσμον τὸν αἰσθητὸν, σὺν Υἱῷ τε καὶ τῷ Πνεύματι.

Ὅμοιον.

Ἐν τῇ Σιὼν συνηγμένων, τῶν Μαθητῶν τοῦ Χριστοῦ, ὡς ἡ ἐπαγγελία, τὸ πανάγιον Πνεῦμα, ἐν τούτοις ἐφιζῆσαν, εἴδει πυρὸς, πυριπνόους ἀπέδειξεν, ἐκφαντορίαις τὰ δόγματα μυστικαῖς, τῆς Τριάδος ῥητορεύοντας.

Ὅμοιον.

Ὑπνοχάλκευτα ξίφη, τοὺς ἱεροὺς Μαθητὰς, τὸ ἱερὸν φοιτῆσαν, ἐκτετέλεκε Πνεῦμα, τὴν γῆν καθιερῶσαν, τῷ Ποιητῇ, ἀφιεροῦς συγκόψαντας, ὡς ἐκλιπεῖν

τὰς ῥομφαίας τοῦ πονηροῦ, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ τοῦ Μηναίου, γ'.

Δόξα, καὶ νῦν. Ἦχος, β'.

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν.

Ζήτει εἰς τὴν Ἑορτήν.

Εἰς τὸν στ. στ. Προσόμοια, ἦχος, δ'.

Ἔδωκας σημείωσιν.

Σήμερον ἐφοίτησε, τοῦ παναγίου σου Πνεύματος, ἡ ἐνέργεια Κύριε, ἐν τοῖς Ἀποστόλοις σου, καὶ σοφοὺς ἐνδεῖξαν, τῇ θεογνωσίᾳ, καταπεπλήρωκεν ἰδοὺ, τῆς μακαρίας διδασκαλίας σου. διό σου τὴν σωτήριον, οἰκονομίαν δοξάζομεν, Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

στ. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί.

Σήμερον τὸ Πνεῦμά σου, τὸ παντοδύναμον Δέσποτα, ἐκ Πατρὸς καταπέμπεται, τὸ σοὶ Ὁμοούσιον, ἐν πυρίναις γλώσσαις. διανεμηθὲν δὲ, τὰ μεγαλεῖά σου λαλεῖν, τοὺς Ἀποστόλους σου παρεσκεύασε. διό σου τὴν σωτήριαν, οἰκονομίαν δοξάζομεν, Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

στ. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου.

Σήμερον ἐξέχεας, τοῦ Παρακλήτου σου Πνεύματος, ὁ Σωτὴρ τὰ χαρίσματα, τῇ βροτείᾳ φύσει, διδοὺς προφητεύειν, ὡς ἔφησας Λόγε, καὶ τὴν Τριάδα προσκυνεῖν, ἀδιαιρέτως συνεξεπαίδευσας. διό σου τὴν σωτήριον, οἰκονομίαν δοξάζομεν, Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν. Ἦχος, β'.

Ἐν τοῖς Προφήταις ἀνήγγειλας ἡμῖν ὁδὸν σωτηρίας.

Ζήτει εἰς τὴν Ἑορτήν.

Ἀπολυτίκιον.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολογίαν. Κάθισμα. ἦχος, δ'.

Ταχὺ προκατάλαβε.

Καθώσπερ ἐπηγγείλατο, αὐτεξουσίως μολὼν, τὸ Πνεῦμα τὸ ἅγιον, τοῖς Ἀποστόλοις Χριστὲ, εἰς μίαν συνήρμοσε, Πίστεως συμφωνίαν, τῆς ἀκτίστου Τριάδος, γλώσσας τὰς διαφόρους, τῆς Ἐθνῶν πανσπερμίας. ἀλλ' οἴκησον καὶ ἡμῖν ἀγαθὲ, Φιλάνθρωπε δεόμεθα. Δίς.

Μετὰ τὴν β'. στιχολογίαν. Κάθισμα. ἦχος, πλ. δ'.

Τὴν Σοφίαν καὶ Λόγον.

Τὸ πανάγιον Πνεῦμα νῦν κατελθὸν, ἐπὶ τοὺς Ἀποστόλους εἴδει πυρὸς, θάμβους ἐπλήρωσε, τῶν Ἐθνῶν τὰ συστήματα. ἐν γὰρ γλώσσαις λαλούντων, πυρίναις φιλάνθρωπε, τὴν ἰδίαν ἕκαστος, διάλεξιν ἤκουσεν. ὅθεν καὶ τὸ θαῦμα, τοῖς ἀπίστοις ὡς μέθη, Πιστοῖς δὲ σωτήριον, ἀληθῶς ἐγνωρίζετο. διὰ τοῦτο δοξάζομεν, τὸ κράτος σου Χριστὲ ὁ Θεὸς, τῶν πταισμάτων ἄφεσιν αἰτούμενοι, καταπέμψαι πλουσίως τοῖς δούλοις σου. Δίς.

Ὁ Ν'. Καὶ οἱ Κανόνες τῆς Ἑορτῆς, ὁ δ'. μετὰ τῶν Εἱρμῶν, εἰς η'. καὶ τοῦ Μηναίου, εἰς δ'.

Εἰς τὸν στ. τῶν Αἴνων στ. Προσόμοια, ἦχος, πλ. β'.

Τριήμερος ἀνέστης.

Τὸ Πνεῦμα τὸ Πανάγιον, τὸ φῶς τὸ ἐκ φωτὸς προϊὸν, ἐν πυρίναις, γλώσσαις ἦλθεν ἐπὶ γῆς, φλέξαι τὰς ἁμαρτίας, τῶν πίστει προσκυνούντων, τὴν τρισυπόστατον Θεότητα.

στ. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί.

Τὸ Πνεῦμα τὸ πανάγιον, ἐγκαίνισον ἡμῖν ὁ Θεός. ὅπερ πάλαι, πέμψας σου τοῖς Μαθηταῖς, ἐξέχυσας Οἰκτίρμον, πληρῶσαι ἐν τῷ Κόσμῳ, σου τὰ σωτήρια θελήματα.

στ. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου.

Τὸ Πνεῦμα τὸ πανάγιον, πιστῶς θεολογήσωμεν, ἐκβοῶντες· μὴ ἀποστῇς ἀφ' ἡμῶν, Παράκλητε ὁ πᾶσι, παρέχων σωτηρίαν, καὶ ἁγιάζων τοὺς ὑμνοῦντάς σε.

Δόξα, καὶ νῦν, ἦχος, β'.

Ἐν ταῖς αὐλαῖς σου ὑμνήσω σε.

Ζήτει εἰς τὴν Ἑορτήν.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, καὶ Ἀπόλυσις.

Τῇ Δ'. μετὰ τὴν Πεντηκοστὴν, Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, στ. Προσόμοια ἦχος, α'.

Τῶν οὐρανίων Ταγμάτων.

Μωσῆς ἐν ὄρει τὸν ὄντα, πυρὶ τεθέαται. ἀλλὰ καὶ τοῖς θεόπταις, καὶ

σο-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

σοφοῖς Ἀποστόλοις, τὸ Πνεῦμα πυρίμορφως κάτεισι νῦν, ὡς σαφῶς ὑπεμφήνειεν, ὡς εἷς Θεὸς ὁ λαλήσας τότε, καὶ νῦν, ἐν ταυτότητι τῆς φύσεως.

Ἐν πυριμόρφοις ταῖς γλώσσαις, οἱ Θεοῤῥήτορες, Βαπτίσματος τοῦ θείου, οἱ πρὸς ὕδωρ καλοῦντες, Ῥητόρων φλυαρίας, ἀθέων πυρὶ, τῷ τοῦ Πνεύματος ἔφλεξαν. ἀλλὰ φωτίσαις Παράκλητε καὶ ἡμᾶς, τοὺς πιστῶς θεολογοῦντάς σε.

Καὶ τοὺς ἐν ὕλῃ Θεέ μου, σοὶ λειτουργήσαντας, προσλαβομένη πάχος, τὸ τῆς ὕλης ἀῤῥήτως, ὡς πάλαι τοὺς ἀΰλους, πυρὶ καινουργεῖς, φλογεροὺς τῷ τοῦ Πνεύματος, ὡς πολυύμνητος πέλεις, ὡς θαυμαστὸς, ἐν τοῖς ἔργοις σου φιλάνθρωπε.

Δόξα, καὶ νῦν, ἦχος, β'.

Ἐν ταῖς αὐλαῖς σου Κύριε οἱ πιστοί.

Ζήτει εἰς τὴν Ἑορτήν.

Εἰς τὸν στ. στ. Προσόμοια, ἦχος, δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὁμοδύναμον, σύνθρονον, συμφυὲς καὶ συνάναρχον, τῷ Πατρὶ τῷ Λόγῳ τε Πνεῦμα Ἅγιον, συμπαντουργὸν συναΐδιον, παναγαθὸν παντάρχον, τοὺς τοῦ Λόγου Μαθητὰς, ἐμφορῆσαν ἐσόφισεν, ἐν τοῖς Ἔθνεσιν, ἐν φωναῖς πολυγλώσσοις καταγγέλλειν, τοῦ Θεοῦ τὰ μεγαλεῖα, καὶ τῆς Τριάδος τὰ δόγματα.

Στ. Καρδίαν καθαρὰν κτίσον.

Τὰ τῇ μέθῃ σκοτούμενα, τῆς ἀγνοίας Θεάνθρωπε, τῶν Ἐθνῶν συστήματα τὰ πολύσπορα, ὑψηγοροῦντας ἐν Πνεύματι, τὰ θεῖα τοὺς Μύστας σου, πολυγλώσσοις λαλιαῖς, ἀπεκάλουν μεθύοντας, τοὺς ἐλάσαντας, τῆς ἀπάτης τὴν μέθην. ἀλλ' ἡμεῖς σε, δι' αὐτῶν ἐπεγνωκότες, θεολογοῦμεν σωζόμενοι.

Στ. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου.

Ἡ Πηγὴ ἡ ἀΐδιος, ἀενάως ἡ βρύουσα, ποταμὸν ἀνέκφραστον ἀγαθότητος, ὕδωρ τὸ ζῶν ἀεὶ βλύζουσα, συμφύτως προχέουσα, ταῖς αὐτοῦ ἐπιῤῥοαῖς, τὴν ψυχήν μου κατάρδευσον λυπουμένην με, τῶν παθῶν τῆς καμίνου, τοῦ φλογμοῦ τε, τῶν δεινῶν πειρατηρίων, καὶ τοῦ πυρὸς τῆς κολάσεως.

Δόξα, καὶ νῦν, ἦχος, β'.

Τριάδα ὁμοούσιον ὑμνολογήσωμεν.

Ζήτει εἰς τὴν Ἑορτήν. Ἀπολυτίκιον.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολογίαν. Κάθισμα. ἦχος, α'.

Τὸν τάφον σου Σωτήρ.

Αἱ πρὶν προφητικαὶ, περαιοῦνται προῤῥήσεις. ὁ τύπος γὰρ αὐγαῖς, ἀμυδραῖς ἐκκαλύψας· μελλόντων τὴν δήλωσιν, ὡς Θεὸς ὁ Παράκλητος, νῦν ἐκκέχυται, τοῖς Ἀποστόλοις πλουσίως. διὰ τούτων δὲ, καὶ τοῖς πιστῶς προσκυνοῦσι, Τριάδα τὴν ἄκτιστον. Δίς.

Μετὰ τὴν β'. στιχολογίαν Κάθισμα. ἦχος, πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Ἡ τοῦ Πνεύματος αἴγλη τοὺς Ἀποστόλους σου, ἐμφορήσασα Σῶτερ φωστῆρας ἔδειξε· τὴν τῶν αἱρέσεων ἀχλὺν, ἀποδιώκοντας, ἀπὸ τῆς γῆς καὶ τῶν πιστῶν, καταφωτίζοντας ψυχὰς, λατρεύειν σου τὸν Πατέρα, καὶ τὸ παναγιον Πνεῦμα, τὸ ἁγιάζον τοὺς προσκυνοῦντάς σε. Δίς.

Ὁ Ν. Καὶ οἱ Κανόνες τῆς Ἑορτῆς, ὁ βαρὺς μετὰ τῶν Εἱρμῶν, εἰς η'. Καὶ τοῦ Μηναίου, εἰς δ'. Κοντάκιον, καὶ Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Εἰς τὸν στ. τῶν Αἴνων στ. Προσόμοια, ἦχος, δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἡ τοῦ Πνεύματος κάθοδος, Ἀποστόλους ἐφώτισεν, ἐν πυρίναις γλώσσαις νῦν ἐποφθεῖσα αὐτοῖς. καὶ τούτους Ῥήτορας ἔδειξε, τοῖς πᾶσι κηρύττοντας, τῆς Τριάδος ἀληθῆ, ὁμοφυῆ τε τὴν ἕνωσιν. ὅθεν ἅπαντα, ἐξεπλήττοντο Ἔθνη, καθορῶντα, τοὺς ποτὲ ἀγροικοτάτους, σοφῶς λαλοῦντας ἀπόῤῥητα.

Στ. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί.

Ὑπερῴῳ καθήμενοι, οἱ Ἀπόστολοι ἔλαβον, τοῦ Ἁγίου Πνεύματος τὴν ἐνέργειαν. πνοὴν βιαίαν φοιτήσασαν, ἐν πυρίναις γλώσσαισι. καὶ ἐλάλουν ἐμφανῶς, διαφόροις διδάγμασι, προσφθεγγόμενοι, τὸν τῆς χάριτος λόγον βεβαιοῦντες, τὸν παθόντα ἑκουσίως, Χριστὸν ὑπάρχειν Θεὸν ἀληθῆ.

Στ. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου.

Ὡς κατέπεμψας Κύριε, τοῦ Ἁγίου σου Πνεύματος, Ἀποστόλοις σήμερον

θείαν

ΑΝΩΝΥΜΟΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοτική Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσειο"

θείαν χάριν καὶ νῦν, ἡμῖν παράσχου δεόμεθα, αὐγάσαι καρδίας φωτὶ, ἀσμάτως τῆς αὐτοῦ, ἐπελεύσεως ὅπως σαφῶς, τὸν Τρισάγιον, ἐν φωναῖς ἀσιγήτοις, αἶνον πάντες, ἀναπέμψωμεν ὑμνοῦντες, Τριάδα φύσει ἀχώριστον.

Δόξα, καὶ νῦν, ἦχος, β΄.

Ἐν τοῖς Προφήταις ἀπήγγειλας ἡμῖν ὁδὸν σωτηρίας.

Ζήτει εἰς τὴν Ἑορτήν.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Τῇ Ε΄. μετὰ τὴν Πεντηκοστὴν, Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν στιχ. Προσόμοια, ἦχος, δ΄.

Ἔδωκας σημείωσιν.

Ὁ Πνεῦμα τὸ ἅγιον, τὸ διαιροῦν τὰ χαρίσματα, ἐπὶ γῆς ἐπεδήμησεν, οὐχ ὥσπερ τὸ πρότερον, τῇ σκιᾷ τοῦ Νόμου, λάμψαν ἐν Προφήταις· οὐσιωδῶς δὲ νῦν ἡμῖν, τῇ μεσιτείᾳ Χριστοῦ δεδώρηται. καρδίας ἐκκαθάρωμεν, ταῖς ἀρεταῖς καὶ δεξώμεθα, τὴν αὐτοῦ ἐπιφοίτησιν, μυστικῶς φωτιζόμενοι.

Ὁ Πνεῦμα τὸ ἅγιον, μὴ ἀπαμελῇς φιλάνθρωπε, ἀφ᾽ ἡμῶν, ἀλλὰ δώρησαι, ἀξίως τὴν χάριν σου, πολιτευομένους, ψυχῇ καὶ καρδίᾳ, διαμερίζουσαν αὐτοῦ, τὴν μετουσίαν κληρονομῆσαι ἡμᾶς, Ναοὺς καὶ οἰκητήρια, τοῦ Παρακλήτου ὑπάρχοντας, Ἰησοῦ ὁ Θεὸς ἡμῶν, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ὁ Πνεῦμα τὸ ἅγιον, τὸ ἁγιάζον τὰ σύμπαντα, εὐσεβῶς ἀνυμνήσωμεν, καὶ πίστει βοήσωμεν· ὁ ἐλθὼν ἐν Κόσμῳ, Πατρὸς εὐδοκίᾳ, μὴ ἀποχώρει ἀφ᾽ ἡμῶν, τῶν λατρευόντων σου τῇ Θεότητι. Ναοὺς ἡμᾶς ἀνάδειξον, τῆς σῆς ἀφράστου χρηστότητος, καὶ ἁγίασον ἅπαντας, τοὺς πιστῶς ἀνυμνοῦντάς σε.

Καὶ τοῦ Μηναίου, γ΄.

Δόξα, καὶ νῦν, ἦχος, Βαρύς.

Παράκλητον ἔχοντες πρὸς τὸν Πατέρα Χριστὸν τὸν Θεὸν, Παράκλητον ἄλλον ἐπιδημήσαντα τῇ γῇ σήμερον, τὸ Πνεῦμα τῆς ἀληθείας, ἐν πίστει προσκυνήσωμεν.

Εἰς τὸν στίχ. στιχ. Προσόμοια, ἦχος, α΄.

Πανεύφημοι Μάρτυρες.

Ὁ Πνεῦμα τὸ ἅγιον Πατρὸς, τὸ ἐκπορευόμενον, καὶ ἐν Υἱῷ προσκυνούμενον, δι᾽ οὗ καὶ φέρεται, καὶ κρατεῖται πάντα, καὶ ζωῇ συνέχεται, καὶ ζῇ καὶ διαμένει καὶ σώζεται, θεολογήσωμεν. ἀκατάληπτε· Παράκλητε, τὴν εἰρήνην τῷ Κόσμῳ σου δώρησαι.

Στίχ. Καρδίαν καθαρὰν κτίσον.

Ὁ Πνεῦμα τὸ ἅγιον πηγὴ, πάσης ἀγαθότητος, οὐσιωδῶς ἐπεδήμησε, τῆς γῆς τὰ πέρατα, οὐρανίου θέας, διὰ τῶν Ἀποστόλων, πληρῶσαι καὶ τῆς θείας χρηστότητος, αὐτῷ βοήσωμεν· ἀνερμήνευτε Παράκλητε, τὴν εἰρήνην τῷ Κόσμῳ σου δώρησαι.

Στίχ. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου.

Ὁ Πνεῦμα τὸ ἅγιον Θεὸς, συμφυὲς καὶ σύνθρονον, Πατρὶ καὶ Λόγῳ γνωρίζεται, Φῶς ὑπερτέλειον, ἐκ φωτὸς ἐκλάμψαν, ἐξ ἀνάρχου τελείου, Πατρὸς, καὶ δι᾽ Υἱοῦ προερχόμενον. αὐτῷ βοήσωμεν· ζωοπάροχε Παράκλητε, τὴν εἰρήνην τῷ Κόσμῳ σου δώρησαι.

Δόξα, καὶ νῦν. ἦχος, πλ. δ΄.

Ὅτε τὸ Πνεῦμά σου κατέπεμψας Κύριε, καθημένων τῶν Ἀποστόλων, τότε οἱ τῶν Ἑβραίων παῖδες θεωροῦντες, ἐξίσταντο θάμβει. ἤκουον γὰρ αὐτῶν φθεγγομένων, ἑτέραις ξέναις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐχορήγει αὐτοῖς. ἰδιῶται γὰρ ὄντες ἐσοφίσθησαν, καὶ τὰ Ἔθνη πρὸς πίστιν ζωγρήσαντες, τὰ θεῖα ἐρρητόρευον. διὸ καὶ ἡμεῖς βοῶμέν σοι· ὁ ἐπὶ γῆς ὀφθεὶς, καὶ ἐκ τῆς πλάνης σώσας ἡμᾶς, Κύριε δόξα σοι.

Ἀπολυτίκιον.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολ. καθισμα ἦχος, πλ. δ΄.

Τὸ προσταχθὲν μυστικῶς.

Μετὰ τὴν ἔγερσιν Χριστὲ, τὴν ἐκ τοῦ τάφου, καὶ τὴν πρὸς ὕψος Οὐρανῶν, θείαν Ἀνάληψιν, τοῖς Θεόπταις τὴν δόξαν σου κατέπεμψας Οἰκτίρμων, Πνεῦμα εὐθὲς ἐγκαινίσας τοῖς Μαθηταῖς. ὅθεν ὥσπερ κιθάρα μουσουργικὴ, πᾶσιν

ἐπα-

Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

ἐτρανολόγησαν, τῷ θείῳ πλήκτρῳ μυστικῶς, Σῶτερ τὰ ἀπηχήματα, καὶ τὴν οἰκονομίαν σου. Δίς.

Μετὰ τὴν β΄. στιχολογίαν. Ὅμοιον.

ΟἹ τοῦ Σωτῆρος ἐρασταί, χαρᾶς ἐπλήσθησαν, καὶ θάρσος ἔλαβον ὑφ᾽ ἕν, οἱ δειλιῶντες, ὡς τὸ Πνεῦμα τὸ Ἅγιον σήμερον κατῆλθε, καὶ ἔστη ἐπὶ τὸν οἶκον τῶν Μαθητῶν. καὶ ἄλλος ἄλλα ἐλάλει πρὸς τοὺς Λαούς, γλῶσσαι δὲ διεσπάρησαν, ὁρώμεναι ὡσεὶ πυρός, καὶ τούτους οὐ κατέφλεξαν, ἀλλὰ μᾶλλον ἐδρόσισαν. Δίς.

Ὁ Ν΄. Οἱ Κανόνες τῆς Ἑορτῆς, ὁ δ΄. μετὰ τῶν Εἱρμῶν, εἰς η΄. καὶ τοῦ Μηναίου, εἰς δ΄. Κοντάκιον καὶ Ἐξαπος. τῆς Ἑορτῆς.

Εἰς τὸν στ. τῶν Αἴνων, στ. Προσόμοια. ἦχος, α΄.

Τῶν οὐρανίων Ταγμάτων.

ἘΠὶ παμφλάζοντος πάλαι, πυρίνου ἅρματος, ὁ ζηλωτὴς Ἠλίας, καὶ πυρίπνους ἐν δόξῃ, ὀχούμενος ἐδήλου, τὴν νῦν ἐν Σιὼν, Ἀποστόλοις ἐκλάμψασαν, ἀφ᾽ ὕψους θείαν ἐπίπνοιαν ἐμφανῶς, δι᾽ ἧς Κόσμον κατελάμπρυναν. Δίς.

στ. Καρδίαν καθαρὰν κτίσον.

ΤὫΣηγορῦντες τὴν Θείαν, Οἰκονομίαν Χριστοῦ, ἐν πυριμόρφοις γλώσσαις, οἱ Ἀπόστολοι πάντες, ἐφώτισαν τὰ Ἔθνη, σέβειν πιστῶς, ἐν τρισὶν ὑποστάσεσιν, ἕνα Θεὸν τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ Παναγιον.

στ. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου.

ΣΙὼν Ἁγία ἡ Μήτηρ, πασῶν τῶν Ἐκκλησιῶν, ἐν ᾗ πυρὸς ἐν εἴδει, τὸ Παράκλητον Πνεῦμα, ἐπὶ τοὺς Ἀποστόλους, κατῆλθε φρικτῶς, χαῖρε νῦν καὶ ἑόρταζε, τὴν κοσμοπόθητον ὄντως Πεντηκοστὴν, σὺν ἡμῖν πανηγυρίζουσα.

Δόξα, καὶ νῦν. ἦχος, πλ. β΄.

Βασιλεῦ Οὐράνιε.

Ζήτει εἰς τὴν Ἑορτήν.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς συνήθες, καὶ Ἀπόλυσις.

Τῇ Παρασκευῇ κατὰ τὴν Πεντηκοστὴν, Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. η΄. Καὶ ψάλλομεν τὴν Ἀκολουθίαν πᾶσαν ἀπαραλλάκτως τῆς Πεντηκοστῆς, ὡς καὶ ἐν τῇ Ἑορτῇ.

Ὁμοίως καὶ εἰς τὸν Ὄρθρον, πλὴν τῶν Ἀναγνωσμάτων, καὶ τοῦ Πολυελέου.

Κυριακῇ τῶν Ἁγίων Πάντων. Ὀψὲ Σαββάτου. Ἐν τῷ μικρῷ Ἑσπερινῷ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. δ΄. καὶ ψάλλομεν στ. Ἀναστάσιμα, δ΄. ἦχος, πλ. δ΄.

Ἑσπερινὸν ὕμνον καὶ λογικήν.

Κύριε Κύριε, μὴ ἀπορρίψῃς ἡμᾶς.

Χαῖρε Σιὼν ἁγία, Μῆτερ.

Ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος.

Δόξα, ἦχος, πλ. β΄.

Μαρτύρων θεῖος χορός.

Ζήτει ταῦτα πάντα εἰς τὸν μέγαν Ἑσπερινόν. Καὶ νῦν. Θεοτοκίον.

Τὸ Δογματικὸν, ἦχος, πλ. δ΄.

ΠῶΣσε μακαρίσωμεν Θεοτόκε; πῶς δὲ ἀνυμνήσωμεν ὑπεράλογημένη, τὸ ἀκατάληπτον Μυστήριον τῆς κυοφορίας σου; τῶν αἰώνων γὰρ ὁ Ποιητὴς, καὶ τῆς ἡμετέρας δημιουργὸς φύσεως, τὴν ἰδίαν εἰκόνα οἰκτείρας, καθῆκεν ἑαυτὸν εἰς κένωσιν τὴν ἀνεξιχνίαστον. ὁ ὢν ἐν τοῖς ἀΰλοις κόλποις τοῦ Πατρὸς, ἐν μήτρᾳ σου Ἁγνὴ κατεσκήνωσε, καὶ σὰρξ ἀτρέπτως ἐγένετο, ἐκ σοῦ ἀπειρόγαμε, μείνας μὲν ὅπερ ὑπῆρχε φύσει Θεός. διὸ αὐτὸν προσκυνοῦμεν, Θεὸν τέλειον, καὶ ἄνθρωπον τέλειον, τὸν αὐτὸν ἐν ἑκατέρᾳ μορφῇ. ἑκατέρα γὰρ φύσις ἐστὶν ἐν αὐτῷ ἀληθῶς. διπλᾶ δὲ πάντα κηρύττομεν, τὰ φυσικὰ ἑαυτοῦ ἰδιώματα, κατὰ τὴν διπλόην τῶν οὐσιῶν. δύω σέβοντες τὰς ἐνεργείας καὶ θελήματα· ὁμοούσιος γὰρ ὢν τῷ Θεῷ, καὶ Πατρὶ, αὐτεξουσίως θέλει, καὶ ἐνεργεῖ ὡς Θεός. ὁμοούσιος δὲ ὢν καὶ ἡμῖν, αὐτεξουσίως θέλει, καὶ ἐνεργεῖ ὡς ἄνθρωπος· αὐτὸν ἱκέτευε Σεμνὴ παμμακάριστε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στ. τὸ στ. Ἀναστάσιμον.

Εἶτα τῆς Θεοτόκου προσόμοια, γ΄. ἦχος, πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

στ. Μνησθήσομαι τοῦ ὀνόματός σου.

ΧΑῖρε Θεοτόκε πάνσεμνε, χαῖρε πηγὴ τῆς ζωῆς, τοῖς πιστοῖς ἡ πηγάζουσα· χαῖρε πάντων Δέσποινα, καὶ Κυρία τῆς

Κτίσεως. ἀλογημένη, χαῖρε παμάμωμε. δεδοξασμένη, χαῖρε παμάχραντε. χαῖρε παλάτιον. χαῖρε θεῖον σκήνωμα. χαῖρε Ἀγνή. χαῖρε Μητροπάρθενε. χαῖρε Θεόνυμφε.

Στίχ. Ἄκουσον Θύγατερ, καὶ ἴδε.

Χαῖρε Θεομήτορ ἄχραντε. χαῖρε πιστῶν ἡ ἐλπίς. χαῖρε Κόσμου καθάρσιον. χαῖρε πάσης θλίψεως, ῥυομένη τοὺς δούλους σου. ἡ τῶν ἀνθρώπων, χαῖρε παράκλησις. ἡ ζωηφόρος, χαῖρε ἀντίληψις. χαῖρε προπύργιον, τῶν προσκαλουμένων σε. χαῖρε Θεοῦ, θεῖον ἐνδιαίτημα, καὶ ὄρος ἅγιον.

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Χαῖρε Θεοτόκε Δέσποινα. χαῖρε ἡ μόνη ἐλπὶς, τῶν βροτῶν ἡ ἀντίληψις. χαῖρε καταφύγιον, καὶ λυχνία ἀείφωτος. ἠγλαϊσμένον, χαῖρε λαμπάδιον. ἡγιασμένον, χαῖρε παλάτιον. χαῖρε Παράδεισε. χαῖρε θεῖον σκήνωμα. χαῖρε πηγὴ, βρύουσα τὰ νάματα, τῶν προστρεχόντων σοι.

Δόξα, Ἰδιόμ. οἷον βούλει τῶν Ἁγίων.

Καὶ νῦν, Θεοτ. τὸ, Νῦν ἀπολύεις.

Καὶ τὰ λοιπὰ συνήθως, καὶ Ἀπόλυσις.

Ἐν δὲ τῷ Μεγάλῳ Ἑσπερινῷ στιχολογοῦμεν τὸ, Μακάριος ἀνήρ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι. καὶ ψάλλομεν στ. Ἀναστάσιμα, γ΄. Καὶ Ἀνατολικὰ, γ΄. Καὶ τῶν Ἁγίων Πάντων, δ΄.

Στιχ. Ἀναστάσιμα, ἦχος, πλ. δ΄.

Ἑσπερινὸν ὕμνον, καὶ λογικὴν λατρείαν, σοὶ Χριστὲ προσφέρομεν. ὅτι ηὐδόκησας, τοῦ ἐλεῆσαι ἡμᾶς, διὰ τῆς Ἀναστάσεως.

Κύριε Κύριε, μὴ ἀποῤῥίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου, ἀλλὰ εὐδόκησον, τοῦ ἐλεῆσαι ἡμᾶς διὰ τῆς Ἀναστάσεως.

Χαῖρε Σιὼν ἁγία, Μήτηρ τῶν ἐκκλησιῶν, Θεοῦ κατοικητήριον. σὺ γὰρ ἐδέξω πρώτη, ἄφεσιν ἁμαρτιῶν, διὰ τῆς Ἀναστάσεως.

Ἕτερα στιχ. Ἀνατολικὰ, ἦχος, ὁ αὐτός.

Ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, πρὸ τῶν αἰώνων γεννηθεὶς, ἐπ' ἐσχάτων δὲ τῶν χρόνων, ὁ αὐτὸς ἐκ τῆς Ἀπειρογάμου σαρκωθεὶς· βουλήσει, Σταύρωσιν θανάτου ὑπέμεινε, καὶ τὸν πάλαι νεκρωθέντα ἄνθρωπον ἔσωσε, διὰ τῆς ἑαυτοῦ Ἀναστάσεως.

Τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν, δοξολογοῦμεν Χριστὲ, δι' ἧς ἠλευθέρωσας Ἀδαμιαῖον γένος, ἐκ τῆς τοῦ ᾅδου τυραννίδος, καὶ ἐδωρήσω τῷ Κόσμῳ ὡς Θεὸς, ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Δόξα σοι Χριστὲ Σωτὴρ, Υἱὲ Θεοῦ μονογενὲς, ὁ προσπαγεὶς ἐν τῷ Σταυρῷ, καὶ ἀναστὰς ἐκ τάφου τριήμερος.

Καὶ τῶν Ἁγίων Πάντων, ἦχος, πλ. β΄.

Ὅλην ἀποθέμενοι.

Οἱ πραγματορρήτορες, οἱ Μαθηταὶ τοῦ Σωτῆρος, τοῦ Πνεύματος ὄργανα, πίστει χρηματίσαντες, διεσπάρησαν, εἰς τὰ γῆς πέρατα, τὸ σεπτὸν κήρυγμα, ὀρθοδόξως κατασπείραντες. ἐξ ὧν ἐβλάστησαν, θείᾳ γεωργίᾳ καὶ χάριτι, Μαρτύρων τὰ στρατεύματα, πάθος τὸ σεπτὸν εἰκονίζοντες, διὰ πολυτρόπων, στρεβλώσεων μαστίγων, καὶ πυρὸς, καὶ παῤῥησίᾳ πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Πυρὶ ἐκκαιόμενοι, τῆς τοῦ Κυρίου ἀγάπης, πυρὸς κατεφρόνησαν, καὶ ὡς θεῖοι ἄνθρακες ἀναπτόμενοι, οἱ σεπτοὶ Μάρτυρες, ἐν Χριστῷ ἔφλεξαν, φρυγανώδες πλάνης φρύαγμα. θηρῶν δὲ ἔφραξαν, στόματα σοφαῖς ἐπικλήσεσι. καὶ κάρας ἐκτεμνόμενοι, ἔτεμον ἐχθροῦ πάσας φάλαγγας. καὶ τοὺς τῶν αἱμάτων, προχέοντες κρουνοὺς καρτερικῶς, τὴν Ἐκκλησίαν κατήρδευσαν, πίστει ἀναθάλλουσαν.

Θηρσὶ προσπαλαίοντες, τυμπανιζόμενοι ξίφει, ὄνυξι ξεόμενοι, χεῖρας ἀφαιρούμενοι, καὶ στρεβλούμενοι, οἱ στεῤῥοὶ Μάρτυρες, καὶ πυρὶ ξύλῳ, ἀνενδότως φλογιζόμενοι, καὶ ἐκκεντούμενοι, καὶ τὰς ἁρμονίας τεμνόμενοι, ὑπέφερον στεῤῥότατα, λῆξιν προορῶντες τὴν μέλλουσαν, καὶ τοὺς ἀκηράτους, στεφάνους, καὶ τὴν δόξαν τοῦ Χριστοῦ. ᾧ παῤῥησίᾳ πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἐν πᾶσι τοῖς πέρασι, τοὺς ἐναθλήσαντας πίστει, Ἀποστόλους Μάρτυρας, Ἱερεῖς Θεόφρονας, σεμνὰ Γύναια, Ἱερὸν ἄθροισμα, ἱεροῖς ᾄσμασι, κατὰ χρέος ἀνυμνήσωμεν· ὅτι συνήφθησαν, τοῖς Ἐπουρανίοις οἱ γνήσιοι, καὶ πάθει τὴν ἀπά-

θειαν,

ΑΝΟΙΧΤΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη

θειαν, χάριτι Χριστοῦ ἐκομίσαντο, καὶ νῦν ὡς ἀστέρες, στερροὶ περιαυγάζοντες ἡμᾶς, ἐν παῤῥησίᾳ πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος, πλ. β'.

Μαρτύρων θεῖος χορὸς, τῆς Ἐκκλησίας ἡ βάσις, τοῦ Εὐαγγελίου ἡ τελείωσις, ὑμεῖς ἔργῳ τοῦ Σωτῆρος τὰ ῥητὰ ἐπληρώσατε. ἐν ὑμῖν γὰρ αἱ πύλαι τοῦ ᾅδου, κατὰ τῆς Ἐκκλησίας ἀνεῳχθεῖσαι ἐκλείσθησαν. ἡ τοῦ αἵματος ὑμῶν χύσις, τὰς εἰδωλικὰς σπονδὰς ἐξήρανεν. ἡ σφαγὴ ὑμῶν ἀπέτεκε τῶν Πιστῶν τὸ πλήρωμα. τοὺς Ἀσωμάτους ἐξεπλήξατε, τῷ Θεῷ στεφανηφόροι παρίστασθε· ὃν ἀπαύστως πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, ὁ αὐτὸς ἦχος.

Ὁ Βασιλεὺς τῶν Οὐρανῶν διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. ἐκ Παρθένου γὰρ ἁγνῆς, σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως, εἷς ἐστιν Υἱὸς, διπλοῦς τὴν φύσιν, ἀλλ᾿ οὐ τὴν ὑπόστασιν. διὸ τέλειον αὐτὸν Θεὸν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν. ὃν ἱκέτευε Μῆτερ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ, Φῶς ἱλαρόν.

Τὸ, Προκείμενον τῆς ἡμέρας.

Ὁ Κύριος ἐβασίλευσε.

Καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. μγ'. 9. Τάδε λέγει Κύριος· πάντα τὰ Ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ ἀκουσάτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ· γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός. καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ᾿ ἐμὲ οὐκ ἔσται. ἐγώ εἰμι ὁ Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός. ἔτι ἀπ᾿ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεὸς, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ Κεφ. γ'. 1.
ἅψηται αὐτῶν βάσανος. ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα. οἱ δέ εἰσιν ἐν εἰρήνῃ. καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. κρινοῦσιν Ἔθνη, καὶ κρατήσουσι Λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. οἱ πεποιθότες ἐπ᾿ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυ- Κεφ. ε'. 15.
ρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν Κτίσιν εἰς ἄμυναν ἐχθρῶν. ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. συνεκπολεμήσει αὐτῷ ὁ Κόσμος ἐπὶ τοὺς παράφρονας. πορεύσονται δὲ εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης. ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως. ἀντιστήσεται αὐ-



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημοτική Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσειο"

τοῖς πνεῦμα δυνάμεως. καὶ ὡς λαῖλαψ ἐκ-
λικμήσει αὐτοὺς, καὶ ἐρημώσει πᾶσαν τὴν
γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει
θρόνους Δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς,
Κεφ. ς'. 1. καὶ σύνετε. μάθετε Δικασταὶ περάτων γῆς.
ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γε-
γαυρωμένοι ἐπὶ ὄχλοις Ἐθνῶν. ὅτι ἐδό-
θη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυ-
ναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτὴν, ψάλλομεν τὸ στιχηρὸν τοῦ Ἁγίου τῆς Μονῆς.

Εἶτα τὰ Ἰδιόμελα τῶν Ἁγίων Πάντων.

Ἦχος, α'.

Πίστεως συμφωνία, τὴν κοσμικὴν πανήγυριν, τῶν ἀπ' αἰῶνος Θεῷ εὐαρεστησάντων, Πατριαρχῶν τὸ τίμιον, καὶ τῶν Προφητῶν ὁ σύλλογος, Ἀποστόλων ἐγκαλλώπισμα, Μαρτύρων τὸ ἄθροισμα, Ἀσκητῶν τὸ καύχημα, πάντων τῶν Ἁγίων τὴν μνήμην, πνευματικῶς ἑορτάσωμεν. πρεσβεύουσι γὰρ ἀπαύστως, δωρηθῆναι εἰρήνην τῷ Κόσμῳ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Ὁ αὐτός.

Δεῦτε πάντες οἱ πιστοὶ, τῶν Ἁγίων Πάντων τὴν πανένδοξον μνήμην, ἐν ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν, τὸν Βαπτιστὴν τοῦ Σωτῆρος, Ἀποστόλους, Προφήτας, καὶ Μάρτυρας, Ἱεράρχας, Διδασκάλους τε καὶ Ὁσίους, Ἀσκητάς, καὶ Δικαίους. καὶ τῶν Ἁγίων Γυναικῶν τὸ φιλόθεον σύστημα, σεβασμίως μακαρίζοντες, συμφώνως ἐκβοήσωμεν· ὑπεράγαθε Χριστὲ ὁ Θεὸς ἡμῶν, ταῖς αὐτῶν πρεσβείαις, παράσχου εἰρήνην ταῖς Ἐκκλησίαις σου· νίκας κατ' ἐχθρῶν τῷ φιλοχρίστῳ Βασιλεῖ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Ὁ αὐτός.

Δεῦτε ἅπαντες, πνευματικῶς εὐφρανθῶμεν ἐπὶ τῇ μνήμῃ τῶν Ἁγίων. ἰδοὺ γὰρ παραγέγονε, πλουτοποιὰ ἡμῖν χαρίσματα κομίζουσα. διὸ ἐν φωνῇ ἀγαλλιάσεως, καὶ καθαρῷ συνειδότι, ἀναβοήσωμεν λέγοντες· χαίρετε Προφητῶν ὁ σύλλογος, οἱ τὴν ἔλευσιν Χριστοῦ τῷ Κόσμῳ κηρύξαντες, καὶ τὰ πόῤῥω ἐγγὺς προβλέποντες. χαίρετε Ἀποστόλων ὁ χορὸς, οἱ τῶν Ἐθνῶν σαγηνευταὶ, καὶ ἁλιεῖς τῶν ἀνθρώπων. χαίρετε Μαρτύρων ὁ δῆμος, οἱ ἐκ περάτων γῆς συναθροισθέντες εἰς μίαν Πίστιν, καὶ ὑπὲρ ταύτης βασάνων αἰκισμοὺς ὑπομείναντες, καὶ τελείως τὸν τῆς ἀθλήσεως στέφανον εἰληφότες. χαίρετε Πατέρων οἱ μελισσῶν, οἱ τὰ ἑαυτῶν σώματα τῇ ἀσκήσει κατατήξαντες. νεκρώσαντες τὰ πάθη τῆς σαρκὸς, τὸν νοῦν θείῳ ἔρωτι ἐπτερώσατε, εἰς Οὐρανοὺς ἀνίπτασθε, καὶ σὺν Ἀγγέλοις εὐφραινόμενοι, ἀπολαύετε τῶν αἰωνίων ἀγαθῶν. ἀλλ' ὦ Προφῆται, Ἀπόστολοι, καὶ Μάρτυρες, σὺν Ἀσκηταῖς, τὸν ὑμᾶς στεφανώσαντα, ἐκτενῶς δυσωπεῖτε, τοῦ λυτρωθῆναι ἐξ ἐχθρῶν ἀοράτων καὶ ὁρατῶν, τοὺς ἐν πίστει, καὶ πόθῳ τελοῦντας τὴν ἀεισέβαστον μνήμην ὑμῶν.

Δόξα, ἦχος, πλ. α'.

Τῇ νῦν πανηγύρει, συνδράμωμεν οἱ πιστοί. προτίθεται γὰρ ἡμῖν πνευματικὴ τράπεζα, καὶ κρατὴρ μυστικὸς, ἐξ ἡδέων ἐδεσμάτων εὐφροσύνης πλήρης, αἱ τῶν Μαρτύρων ἀρεταί. οὗτοι γὰρ οἱ καρτερόψυχοι, ἐκ τῶν περάτων τῆς γῆς, τῶν τοῦ σώματος ἄκρων ἑτεροτρόπους αἰκισμοὺς, τῷ Θεῷ προσενέγκαντες, θυσίαν λογικὴν, πᾶσαν ἀκμὴν ἡλικίας. οἱ μὲν τὰς κεφαλὰς ἀποτεμνόμενοι. ἕτεροι δὲ χειρῶν διαιρέσεις, καὶ πάσης ἁρμονίας ἅμα. πάντες οἱ Ἅγιοι, τῶν τοῦ Χριστοῦ παθημάτων κοινωνοὶ γεγόνασιν. ἀλλ' ὦ στεφανοὺς αὐτοῖς ἀμοιβὰς βασάνων δεδωκὼς Κύριε, κατ' ἴχνος τούτων πολιτεύεσθαι, ἀξίωσον ἡμᾶς ὡς Φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως.

Αἱ συνήθεις Εὐχαί. Καὶ ἡ εὐλόγησις τῶν Ἄρτων.

Εἰς τὸν Στ. Στ. Προσόμοια, ἦχος, πλ. δ'.

Ἦλθες ἐπὶ Σταυροῦ Ἰησοῦ, ὁ καταβὰς ἐξ Οὐρανοῦ. ἦλθες ἐπὶ θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος. πρὸς τοὺς ἐν σκότει τὸ φῶς τὸ ἀληθινὸν, πρὸς τοὺς πεσόντας ἡ πάντων Ἀνάστασις· ὁ φωτισμὸς καὶ ὁ Σωτὴρ ἡμῶν δόξα σοι.

Ἕτερα δ'. Ἀνατολικὰ κατ' Ἀλφάβητον.

ἦχος, ὁ αὐτός.

Χριστὸν δοξολογήσωμεν, τὸν ἀναστάντα ἐκ νεκρῶν. ψυχὴν καὶ σῶμα γὰρ ἀνα-

λα-

Δημοτική Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

λαβὼν, τῷ πάθει ἀπ' ἀλλήλων διέτεμε, τῆς ἀχράντου μὲν ψυχῆς ἐν ᾅδου κατελθούσης, ὃν καὶ ἐσκύλευσε· ταφῷ δὲ διαφθορὰν οὐκ οἶδε τὸ ἅγιον Σῶμα, τοῦ Λυτρωτοῦ τῶν ψυχῶν ἡμῶν.

Ψαλμοῖς καὶ ὕμνοις δοξολογοῦμεν Χριστέ, τὴν ἐκ νεκρῶν σου ἀνάστασιν· δι' ἧς ἡμᾶς ἠλευθέρωσας τῆς τυραννίδος τοῦ ᾅδου, καὶ ὡς Θεὸς ἐδωρήσω, ζωὴν αἰώνιον καὶ τὸ μέγα ἔλεος.

Ὦ Δέσποτα τῶν ἁπάντων, ἀκατάληπτε, Ποιητὰ Οὐρανοῦ καὶ Γῆς, διὰ Σταυροῦ παθὼν, ἐμοὶ ἀπάθειαν ἐπήγασας· ταφὴν δὲ καταδεξάμενος, καὶ ἀναστὰς ἐν δόξῃ, συνανέστησας τὸν Ἀδὰμ, χειρὶ παντοδυνάμῳ. δόξα τῇ σῇ τριημέρῳ ἐγέρσει· δι' ἧς δεδώρησαι ἡμῖν, τὴν αἰώνιον ζωὴν, καὶ ἱλασμὸν ἁμαρτιῶν ὡς μόνος εὔσπλαγχνος.

Δόξα, ἦχος, πλ. β'.

Δεῦτε πιστοὶ, σήμερον χορείαν ἐπικροτήσαντες, εὐσεβῶς πανηγυρίσωμεν. καὶ τῶν Ἁγίων Πάντων τὴν ἔνδοξον, καὶ σεβάσμιον μνήμην, ἐνδόξως τιμήσωμεν λέγοντες· χαίρετε Ἀπόστολοι ἔνδοξοι, Προφῆται, καὶ Μάρτυρες, καὶ Ἱεράρχαι· χαίρετε Ὁσίων ὁ δῆμος, καὶ τῶν Δικαίων· χαίρετε τιμίων Γυναικῶν ὁ χορός· καὶ Χριστὸν ὑπὲρ τοῦ Κόσμου πρεσβεύσατε, νίκας τῷ Βασιλεῖ κατὰ Βαρβάρων δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον, Ὁ αὐτός.

Ὁ Ποιητὴς καὶ Λυτρωτής μου Πάναγνε, Χριστὸς ὁ Κύριος.

Τροπάριον, ἦχος, πλ. δ'.

Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν· ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν Κύριε δόξα σοι.

Δόξα, τῶν Ἁγίων, ἦχος, δ'.

Τῶν ἐν ὅλῳ τῷ Κόσμῳ Μαρτύρων σου, ὡς πορφύραν, καὶ βύσσον τὰ αἵματα, ἡ Ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι Χριστὲ ὁ Θεός, τῷ Λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον Μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Τὰ αὐτὰ καὶ εἰς τό, Θεὸς Κύριος, ἡ Εὐλόγησις τῶν ἄρτων.

Καὶ Ἀνάγνωσις. Ἐν τῷ Μεσονυκτικῷ Κανὼν Τριαδικός. οὗ ἡ ἀκροστιχίς.

Τριὰς Μονὰς σῶσόν με τὸν σὸν οἰκέτην.

Ὠδὴ, α. ἦχος, πλ. δ'.

Ἁρματηλάτην Φαραώ.

Τῷ τρισηλίῳ Βασιλεῖ καὶ πρυτάνει, καὶ προμηθεῖ τοῦ παντὸς, καὶ ἀγαθῷ μόνῳ, φυσικῶς ὑπάρχοντι, καὶ ἑνιαίαν ἔχοντι, τῆς Θεότητος δόξαν, Θεῷ Μοναρχῇ προσπίπτομεν, ὕμνον τὸν Τρισάγιον ᾄδοντες.

Ῥήσεις τὰς θείας καὶ χρησμοὺς τοὺς ἄνωθεν, μεμυημένοι σαφῶς, Θεαρχικὴν φύσιν, ἑνικὴν δοξάζομεν, ἀΐδιον συνάναρχον, ἐν τρισὶ τοῖς προσώποις, Πατρὶ Υἱῷ, καὶ τῷ Πνεύματι, δημιουργικὴν, Παντοδύναμον.

Ἱερομύστης Ἀβραὰμ γενόμενος, ἱεροτύπως τὸ πρὶν, τὸν Ποιητὴν πάντων, καὶ Θεὸν καὶ Κύριον, τρισὶ μὲν ὑποστάσεσιν, ὑπεδέξατο χαίρων, καὶ τῶν τριῶν ὑποστάσεων, κράτος ἑνιαῖον ἐγνώρισεν. Θεοτ.

Ἀπειρογάμως τὸν Χριστὸν ἐκύησας, τὸν καθ' ἡμᾶς δι' ἡμᾶς, εἰληφότα φύσιν, Πάναγνε καὶ ἄτρεπτον, κατ' ἄμφω διαμείναντα, ὃν δυσώπει ἀπαύστως, ἁμαρτιῶν μοι δωρήσασθαι, καὶ τῶν πειρασμῶν ἀπολύτρωσιν.

Ὠδὴ, γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Σὲ τὸν ἀπρόσιτον Θεὸν, καὶ Βασιλέα τῆς δόξης, ἐπὶ θρόνου Ἠσαΐας κατεῖδεν, ὑψηλοῦ, καὶ Χερουβὶμ, καὶ Σεραφὶμ δοξάζοντα, ἀκαταπαύστοις ὕμνοις, μοναδικὸν τρισυπόστατον.

Μόνον Πατρόθεν ὡς ἐκ Νοῦ, γεγεννημένον τὸν Λόγον, καὶ τὸ Πνεῦμα προελθὸν ἀπορρήτως, καταλλήλοις λογισμοῖς, καὶ γραφικοῖς διδάγμασι, κατειληφότες ἅμα, Θεὸν τρισήλιον σέβομεν.

Ὁ ὢν

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας Μανούσεια

Ὃν ἀγέννητος Πατὴρ, καὶ τῆς ἰδίας οὐσίας, τὸ ἀπαύγασμα γεννήσας ἀῤῥήτως, τὸν Υἱὸν φῶς ἐκ φωτὸς, ἐκπορευτῶς προβάλλεται, συμφυὲς φῶς τὸ Πνεῦμα, τὸ παντουργὸν καὶ ὁμότιμον.

Θεοτοκίον.

Ναὸς ἐδείχθης καθαρὸς, Παρθενομήτωρ Μαρία, τοῦ τὰ πάντα πανσθενῶς καὶ πανσόφως, ὑποστήσαντος Χριστοῦ, καὶ τάξαντος καὶ φέροντος, ὃν ἐξιλέωσαί μοι, ταῖς μητρικαῖς σου δεήσεσι.

Κάθισμα, ἦχος, πλ. δ'.

Τὸ προσταχθὲν μυστικῶς.

Τῆς τρισηλίου καὶ σεπτῆς Τελεταρχίας, τὰς δυναστείας οἱ πιστοὶ νῦν ἀφυμνοῦμεν, ὅτι νεύματι μόνῳ τὸ πᾶν συνέστησε, τὰς ἄνω χοροστασίας Ἀγγελικὰς, τὰς κάτω Ἱεραρχίας Ἐκκλησιῶν, τοῦ κραυγάζειν τὸ Ἅγιος, Ἅγιος, Ἅγιος, εἶ Θεὲ ὑπεράγαθε, δόξα ὕμνος τῷ κράτει σου.

Δόξα, καὶ νῦν, Θεοτ. Ὅμοιον.

Τὸν ἀναλλοίωτον Θεὸν ἡ τεκοῦσα, ἀλλοιουμένην εἰς ἀεὶ τῇ ἁμαρτίᾳ, ταῖς προσβολαῖς τοῦ δολίου καὶ τῇ ῥαθυμίᾳ, στερέωσον τὴν καρδίαν μου Ἀγαθὴ, πρεσβείαις ταῖς μητρικαῖς σου ὅπως κἀγὼ, εὐχαρίστως κραυγάζω σοι· Θεογεννήτωρ Μαριὰμ, ἐλέησον τὴν ποίμνην σου, ἣν ἐκτήσω Πανάμωμε.

Ὠδὴ, δ'. Σύ μου ἰσχὺς, Κύριε.

Ἀνατολὴ, ἐπιφανεῖσα Θεότητος, τοῖς ἐν σκότει, πᾶσαν διεσκέδασε, τὴν ἀφεγγῆ νύκτα τῶν παθῶν, καὶ δικαιοσύνης, τὸν Ἥλιον ἐξανέτειλεν, ἁπλοῦν μὲν κατ' οὐσίαν, τριλαμπῆ δὲ προσώποις, ὃν ὑμνοῦμεν ἀεὶ καὶ δοξάζομεν.

Σεραφικοῖς, στόμασι τὸν ἀνυμνούμενον, τοῖς πηλίνοις, χείλεσι δοξάζομεν, μοναδικὸν, καὶ τριαδικὸν, Κύριον τῆς δόξης, τῇ φύσει, καὶ ὑποστάσεσι· βοῶντες, ὦ Παντάναξ, τοῖς σοῖς δούλοις παράσχου, τῶν ποικίλων πταισμάτων συγχώρησιν.

Συνεκτικὴ, πάντων τῶν ὄντων ἀόρατε, παντοικτίρμων, εὔσπλαγχνε, φιλάνθρωπε, Τριὰς σεπτὴ καὶ Θεαρχικὴ, μή μου ἐπιλάθου, τοῦ σοῦ οἰκέτου τὸ σύνολον, μηδὲ διασκεδάσῃς, ἣν διέθου σοῖς δούλοις, διαθήκην δι' ἄφατον ἔλεος.

Θεοτοκίον.

Ὡραίαν σε, Παρθένε μόνην εὑράμενος, ἐξ αἰῶνος, Λόγος, ὁ προάναρχος, τὴν Ἰακὼβ Κόρην καλλονὴν, καὶ ἐν σοὶ σκηνώσας, δι' εὐσπλαγχνίαν ἀνέπλασε, τὴν φύσιν τῶν ἀνθρώπων, ὃν δυσώπει ἀπαύστως, ἀπὸ πάσης ῥυσθῆναί με θλίψεως.

Ὠδὴ, ε'. Ἵνα τί με ἀπώσω.

Συναΐδια τρία, πρόσωπα δοξάζομεν, ἓν δὲ Κύριον, σὲ τὴν θείαν Φύσιν, διαιροῦντες ἁπλῶς καὶ συνάπτοντες, καὶ πιστῶς βοῶμεν· Θεαρχικὴ Τριὰς Ἁγία, τοὺς σοὺς δούλους ἐκ θλίψεως λύτρωσαι.

Ὀλοφύρομαι σφόδρα, διὰ τὴν ἀθέμιτον τῆς διανοίας μου, πῶς μὴ θέλων πάσχω, τὴν ἀβούλητον ὄντως ἀλλοίωσιν· διὰ τοῦτο κράζω· ζωαρχικὴ Τριὰς Ἁγία, τῶν καλῶν ἐν τῇ στάσει με σύνταξον.

Στεναγμῷ βαρυνθέντα, τῷ τῆς ἁμαρτίας με καὶ συνωθούμενον, πρὸς θανάτου ὕπνον, ὡς φιλάνθρωπος καὶ ὑπεράγαθος, καὶ παντελεήμων, Θεαρχικὴ Τριὰς Ἁγία, κατοικτείρησον καὶ διανάστησον.

Θεοτοκίον.

Μητροπάρθενε Κόρη, Πάναγνε, Πανάμωμε, Θεοχαρίτωτε, ταῖς σαῖς ἱκεσίαις, τὸν Υἱὸν καὶ Θεόν σου καὶ Κύριον, ἐξιλέωσαί μοι, καὶ τῶν παθῶν καὶ τῶν πταισμάτων, τὸν σὸν δοῦλον ἐκλύτρωσαι τάχιον.

Ὠδὴ, ς'. Ἱλάσθητί μοι Σωτήρ.

Ἐπουρανίων Νοῶν, ταξιαρχίας μιμούμενοι, μοναρχικὴ τοῦ παντὸς, Τριὰς ὑπερούσιε, Τρισαγίοις ᾄσμασι, σὲ δοξολογοῦμεν, τοῖς πηλίνοις ἡμῶν στόμασι.

Τὸν κατ' εἰκόνα τὴν σὴν, τὸν ἄνθρωπον διαπλάσαντα, καὶ ἐξ οὐκ ὄντων τὸ πᾶν, σαφῶς ὑποστήσαντα, Θεὸν τρισυπόστατον, προσκυνῶ καὶ σέβω, καὶ ὑμνῶ καὶ μεγαλύνω σε.

Ὁ Παντοκράτωρ Θεὸς, καὶ μόνος ἀπερίοριστος, ἐνοίκησον ἐν ἐμοὶ, δι' ἄφατον ἔλεος, τρισήλιε Δέσποτα, καὶ καταύγασόν με, καὶ συνέτισον ὡς εὔσπλαγχνος.

Θεοτ.

Ναὸς ἐδείχθης Θεοῦ, τοῦ ἀχωρήτου Πανάχραντε, Ναὸν κἀμὲ τῆς αὐτοῦ, δεῖξον θείας χάριτος, Παναγία Δέσποι-

Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

μα, ταῖς σαῖς ἱκεσίαις, καὶ συντήρησον ἀλώβητον.

Ἦχος, πλ. δ'. Τὸ προσταχθὲν μυστικῶς.

Πατέρα ἄναρχον πιστοί, Υἱὸν συνάναρχον, καὶ Πνεῦμα θεῖον ἀληθῶς ὑμνολογοῦμεν, ἀσυγχύτως, ἀτρέπτως, καὶ ἀναλλοιώτως, Τριάδα ἁπλῆν Ἁγίαν καὶ σύμφυῆ· βοῶντες σὺν τοῖς Ἀγγέλοις, Ἅγιος εἶ, Πάτερ Υἱὲ σὺν τῷ Πνεύματι, τῷ Παναγίῳ καὶ σεπτῷ, ἐλέησον οὓς ἔπλασας, κατ' εἰκόνα σου Δέσποτα.

Δόξα, καὶ νῦν, Θεοτοκίον. Ὅμοιον.

Εὐχαριστοῦμέν σοι ἀεὶ Θεοτόκε, καὶ μεγαλύνομεν Ἁγνὴ καὶ προσκυνοῦμεν, ἀνυμνοῦντες τὸν Τόκον σου Κεχαριτωμένη, βοῶντες ἀκαταπαύστως σῶσον ἡμᾶς, Παρθένε παντελεήμων ὡς ἀγαθή, καὶ δαιμόνων ἐξάρπασον, λογοθεσίου φοβεροῦ, ἐν ὥρᾳ τῆς ἐτάσεως, μὴ αἰσχυνθῶμεν οἱ δοῦλοί σου.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Σοφίᾳ ἀρρήτῳ σου, καὶ τῷ πελάγει τῆς ἀγαθότητος, δωρεὰν τὸν σὸν δοῦλον, ἠλεημένον Σῶτερ ἀνάδειξον, καὶ νῦν καθάπερ πάλαι καὶ ῥῦσαι κακώσεως, Τριὰς μονὰς ὁ Θεός, ἁμαρτιῶν καὶ παθῶν. Δίς.

Ὄντως ὁ ἀγέννητος, Πατὴρ καὶ Λόγος ὁ γεννηθεὶς ἐξ αὐτοῦ, καὶ τὸ Πνεῦμα τὸ θεῖον, ἀκαταλήπτως ἐκπορευτὸν πεφυκός, Θεὲ Μονάρχα τρισήλιε ψάλλω σοι· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Νενέκρωμαι Πάναγνε, τῆς ἁμαρτίας πιὼν τὸ φάρμακον, καὶ προστρέχω σοι πίστει, τῇ τετοκυίᾳ τὸν Ἀρχηγὸν τῆς ζωῆς, ταῖς σαῖς πρεσβείαις τὸν δοῦλόν σου ζώωσον, καὶ πειρασμῶν, καὶ παθῶν λύτρωσαι μόνη Ἁγνή.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ὁ φῶς ὑπάρχων ἄδυτον, τρίλαμπες καὶ τρισήλιον, καὶ μοναρχικόν, μονοκρατές, ἁπλούστατον, Θεὸς ἀκατάληπτος, καὶ μονοκράτωρ Κύριος, νῦν τὴν σκοτεινὴν καὶ ζοφερὰν μου καρδίαν, καταύγασον, καὶ δεῖξον, φωταυγῆ, καὶ φωσφόρον, ὑμνεῖν σε, καὶ δοξάζειν εἰς πάντας τοὺς αἰῶνας.

Τ' Ἐρωτάταις πτέρυξι, Σεραφὶμ οἱ θειότατοι, πρόσωπα καὶ πόδας, εὐλαβῶς καλύπτουσι, τὴν δόξαν μὴ φέροντες, τοῦ ἀμηχάνου κάλλους σου, ἀγαθαρχικὴ Θεαρχικὴ Μοναρχία, Τριὰς Ὑπεραγία, πλὴν ἡμεῖς ἀνυμνεῖν σε, τολμῶμεν, καὶ δοξάζειν, πιστῶς εἰς τοὺς αἰῶνας.

Τριαρχίαν ἄναρχον, πανσθενῆ καὶ πανάγαθον, τελεταρχικὴν ἀγαθουργὸν ἀόριστον, αἰτίαν ἀναίτιον, ποιητικὴν ἀΐδιον, προνοητικήν, καὶ σωστικὴν τῶν ἁπάντων, Μονάδα κατ' οὐσίαν, καὶ Τριάδα προσώποις, δοξάζω σε Θεέ μου, πιστῶς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἐπὶ τῆς γῆς ἀνέτειλεν, ὁ ἀνέσπερος Ἥλιος, διὰ τῆς ἐκ σοῦ Παρθενικῆς γεννήσεως, Πανάχραντε Δέσποινα, καὶ τοὺς βροτοὺς ἀπήλλαξε, τῆς εἰδωλικῆς, καὶ ζοφερᾶς σκοτομήνης. διὸ καὶ νῦν με μᾶλλον τῆς αὐτοῦ Θεαρχίας, καταύγασον ταῖς αἴγλαις, καὶ φρούρει τὸν σὸν δοῦλον.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Τὴν πάντων Βασιλίδα, καὶ παντουργόν, ὑπεράρχιον φύσιν ὑπερερχόμενον, ζωαρχικήν, εὔσπλαγχνον φιλάνθρωπον ἀγαθήν, ἐναρχικὴν Τριάδα σε, νῦν δοξολογοῦντες ἁμαρτιῶν, συγχώρησιν αἰτούμεθα, τῷ Κόσμῳ τὴν εἰρήνην, καὶ Ἐκκλησίαις τὴν ὁμόνοιαν. Δίς.

Ἡ μία κυριότης, καὶ τρίλαμπής, ἑνικὴ Θεαρχία τρισήλιε, τοὺς ὑμνητάς, πρόσδεξαι τοὺς σοὺς ἀγαθοπρεπῶς, καὶ τῶν πταισμάτων λύτρωσαι, καὶ τῶν πειρασμῶν, καὶ τῶν δυσχερῶν, καὶ θᾶττον τὴν εἰρήνην, παράσχου φιλανθρώπως, ταῖς Ἐκκλησίαις, καὶ τὴν ἕνωσιν.

Θεοτοκίον.

Νηδὺν Χριστὲ Σωτήρ μου Παρθενικήν, ἐνοικήσας ἐφάνης τῷ Κόσμῳ σου, θεανδρικῶς, ἄτρεπτος ἀσύγχυτος ἀληθῶς, καὶ καθυπέσχου πάντοτε, μετὰ τῶν σῶν δούλων εἶναι σαφῶς. διὸ τῆς σὲ Τεκούσης, πρεσβείαις τὴν εἰρήνην, πάσῃ τῇ ποίμνῃ σου πρυτάνευσον.

Εἶτα τό, Ἄξιόν ἐστιν ὡς ἀληθῶς.

Καὶ τὰ λοιπὰ συνήθως, καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον, εἰς τό, Θεὸς Κύριος, Τροπάριον τὸ Ἀναστάσιμον. Δίς.

Δόξα, τῶν Ἁγίων, καὶ νῦν. Θεοτοκίον.



Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

Μετὰ τὴν α΄. στιχολ. κα. Ἀναστάσιμα τῆς Ὀκτωήχου. ἦχος, πλ. δ΄.

Ἀνέστης ἐκ νεκρῶν, ἡ ζωὴ τῶν ἁπάντων, καὶ Ἄγγελος φωτὸς, ταῖς Γυναιξὶν ἐβόα· παύσασθε τῶν δακρύων, τοῖς Ἀποστόλοις εὐαγγελίσασθε. κράξατε ἀνυμνοῦσαι, ὅτι ἀνέστη Χριστὸς ὁ Κύριος, ὁ εὐδοκήσας σῶσαι ὡς Θεὸς, τὸ γένος τῶν ἀνθρώπων.

Δόξα.

Ἄνθρωποι τὸ Μνῆμά σου Σωτὴρ ἐσφραγίσαντο, Ἄγγελος τὸν λίθον ἐκ τῆς θύρας ἀπεκύλισε. Γυναῖκες ἐθεάσαντο ἐγηγερμένον ἐκ νεκρῶν, καὶ αὗται εὐηγγελίσαντο τοῖς Μαθηταῖς σου ἐν Σιών, ὅτι ἀνέστης ἡ ζωὴ τῶν ἁπάντων, καὶ διελύθη τὰ δεσμὰ τοῦ θανάτου, Κύριε δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ δι᾽ ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ Σταύρωσιν ὑπομείνας ἀγαθὲ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεὸς, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου Ἐλεῆμον. δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον Σωτὴρ ἡμῶν, Λαὸν ἀπεγνωσμένον.

Μετὰ τὴν β΄. στιχολ. κα. ἦχος, ὁ αὐτός.

Τὸ προσταχθὲν μυστικῶς.

Εὐσχημονῶν ὁ Γαβριὴλ φαιδρὸς ἐπέστη, ὥσπερ ἐν εἴδει ἀστραπῆς Χριστοῦ τῷ τάφῳ, καὶ τὸν λίθον ἐκύλισεν ἀπὸ τοῦ μνημείου, καὶ φόβος μέγας συνέσχε σοῦ τοὺς φρουρούς, καὶ ἄφνω ἔμειναν πάντες ὡσεὶ νεκροὶ, ἀπὸ τοῦ τάφου οἱ φύλακες, καὶ τοῦ λίθου ἡ σφραγὶς, αἰσχύνθητε παράνομοι, γνῶτε ὅτι ἀνέστη Χριστός.

Δόξα.

Ἕτερον. Τὴν σοφίαν καὶ Λόγον.

Ἀνάστας ἐκ τοῦ τάφου ὡς ἀληθῶς, ταῖς Ὁσίαις προσέταξας Γυναιξὶ, κηρύξαι τὴν ἔγερσιν, Ἀποστόλοις ὡς γέγραπται, καὶ δρομαῖος ὁ Πέτρος ἐπέστη τῷ Μνήματι, καὶ τὸ φῶς ἐν τῷ τάφῳ ὁρῶν κατεπλήττετο. ὅθεν καὶ κατεῖδε, τὰ ὀθόνια μόνα, χωρὶς τοῦ θείου Σώματος, ἐν αὐτῷ κατακείμενα, μετὰ φόβου ἐβόησε· δόξα σοι Χριστὲ ὁ Θεὸς, ὅτι σώζεις ἅπαντας Σωτὴρ ἡμῶν. τοῦ Πατρὸς γὰρ ὑπάρχεις ἀπαύγασμα.

Καὶ νῦν. Θεοτοκίον.

Οἱ καθήμενοι ψάλλομεν, ἀλλ᾽ ἱστάμενοι, καὶ μετὰ φόβου καὶ εὐλαβείας λέγομεν τὸ παρὸν Θεοτοκίον.

Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ Κτίσις Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε Ναὲ, καὶ Παράδεισε λογικὲ, παρθενικὸν καύχημα. ἐξ ἧς Θεὸς ἐσαρκώθη, καὶ Παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα πλατυτέραν Οὐρανῶν ἀπειργάσατο. ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ Κτίσις δόξα σοι.

Μετὰ τὸν Ἄμωμον, τὰ Εὐλογητάρια, καὶ ἡ Ὑπακοή, ἦχος, ὁ αὐτός.

Αἱ Μυροφόροι τοῦ ζωοδότου ἐπιστᾶσαι τῷ μνήματι, τὸν Δεσπότην ἐζήτουν ἐν νεκροῖς τὸν ἀθάνατον, καὶ χαρᾶς εὐαγγέλια ἐκ τοῦ Ἀγγέλου δεξάμεναι, τοῖς Ἀποστόλοις ἐμήνυον, ὅτι ἀνέστη ὁ Κύριος, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Οἱ Ἀναβαθμοὶ τοῦ ἤχου.

Ἀντίφωνον, Α΄. ἦχος, πλ. δ΄.

Ἐκ νεότητός μου ὁ ἐχθρός με πειράζει, ταῖς ἡδοναῖς φλέγει με. ἐγὼ δὲ πεποιθὼς, ἐν σοὶ Κύριε τροποῦμαι τοῦτον.

Οἱ μισοῦντες Σιὼν, γενηθήτωσαν δὴ πρὶν ἐκσπασθῆναι ὡς χόρτος. συγκόψει γὰρ Χριστὸς, αὐχένας αὐτῶν, τομῇ βασάνων.

Δόξα.

Ἁγίῳ Πνεύματι, τὸ ζῆν τὰ πάντα, φῶς ἐκ φωτὸς Θεὸς μέγας, σὺν Πατρὶ ὑμνοῦμεν αὐτὸ, καὶ τῷ Λόγῳ.

Καὶ νῦν. τὸ αὐτό.

Ἀντίφωνον, Β΄.

Ἡ καρδία μου τῷ φόβῳ σου σκεπέσθω, ταπεινοφρονοῦσα, μὴ ὑψωθεῖσα, ἀποπέσοι, ἐκ σοῦ Παντοικτίρμων.

Ἐπὶ τὸν Κύριον, ὁ ἔχων ἐλπίδα, οὐ δείσει τότε, ὅτε πυρὶ τὰ πάντα κρινεῖ, καὶ κολάσει.

Δόξα.

Ἁγίῳ Πνεύματι, πᾶς τις θεῖος βλέπει καὶ προλέγει, τερατουργεῖ ὕψιστα, ἐν τρισὶν ἕνα Θεὸν μέλπων. εἰ γὰρ καὶ τριλαμπεῖ, μοναρχεῖ τὸ Θεῖον.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

Καὶ νῦν, τὸ αὐτό.

Ἀντίφωνον, Γ'.

Ἐκέκραξά σοι Κύριε, πρόσχες κλῖνόν μοι τὸ οὖς σου βοῶντι· καὶ καθαρὸν, πρὶν ἄρῃς με ἀπὸ τῶν ἐνθένδε.

Ἐπὶ τὴν Μητέρα αὐτοῦ γῆν δύνων, πᾶς αὖθις ἀναλύσει, τοῦ λαβεῖν βασάνους, ἢ γέρα τῶν βεβιωμένων.

Δόξα.

Ἁγίῳ Πνεύματι, Θεολογία, Μονὰς τρισαγία. ὁ Πατὴρ γὰρ ἄναρχος, ἐξ οὗ ἔφυ ὁ Υἱὸς ἀχρόνως. καὶ τὸ Πνεῦμα σύμμορφον σύνθρονον, ἐκ Πατρὸς συνεκλάμψαν.

Καὶ νῦν, τὸ αὐτό. Ἀντίφωνον, Δ'.

Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἅμα; ἐν τούτῳ γὰρ Κύριος, ἐπηγγείλατο ζωὴν αἰωνίαν.

Τοῦ ἐνδύματος αὐτοῦ, ὁ τὰ κρίνα τοῦ ἀγροῦ κοσμῶν, κελεύει, μὴ δεῖν φροντίζειν.

Δόξα.

Ἁγίῳ Πνεύματι ἑνοειδεῖ αἰτίᾳ, πάντα ἔχεται εἰρηνοβραβεύτως· Θεὸς, τοῦτο γάρ ἐστι, Πατρί τε, καὶ Υἱῷ, ὁμοούσιον κυρίως.

Καὶ νῦν, τὸ αὐτό.

Προκείμενον, ἦχος, πλ. δ'.

Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα.

Στίχ. Αἴνει ἡ ψυχή μου τὸν Κύριον.

Τὸ, Πᾶσα πνοή.

Εὐαγγέλιον Ἑωθινὸν, α'.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι.

Ὁ Ν'. καὶ οἱ Κανόνες. ὁ Ἀναστάσιμος, εἰς δ'. ὁ Σταυροαναστάσιμος, εἰς δύω. καὶ τῆς Θεοτόκου, εἰς δύω. Καὶ τῶν Ἁγίων Πάντων, εἰς ς'. Κανὼν ὁ Ἀναστάσιμος.

Ὠδὴ, α'. ἦχος, πλ. δ'. Ὁ Εἱρμός.

» Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσα ποτὲ, Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν, Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα.

Τὴν παντοδύναμον Χριστοῦ Θεότητα, πῶς μὴ θαυμάσωμεν; ἐκ μὲν παθῶν πᾶσι, τοῖς πιστοῖς ἀπάθειαν, καὶ ἀφθαρσίαν βλύζουσαν, ἐκ πλευρᾶς δὲ ἁγίας, πηγὴν ἀθάνατον στάζουσαν, καὶ ζωὴν ἐκ τάφου ἀΐδιον.

Ὡς εὐπρεπὴς ταῖς Γυναιξὶν ὁ Ἄγγελος, νῦν ἐπεφάνισται, καὶ τηλαυγῆ φέρων, τῆς ἐμφύτου σύμβολα, ἀΰλου καθαρότητος, τῇ μορφῇ δὲ μηνύων, τὸ φέγγος τῆς Ἀναστάσεως, κράζων· ἐξηγέρθη ὁ Κύριος.

Θεοτοκίον.

Δεδοξασμένα περὶ σοῦ λελάληνται, ἐν γενεαῖς γενεῶν, ἡ τὸν Θεὸν Λόγον, ἐν γαστρὶ χωρήσασα, Ἁγνὴ δὲ διαμείνασα, Θεοτόκε Μαρία. διό σε πάντες γεραίρομεν, τὴν μετὰ Θεὸν προστασίαν ἡμῶν.

Ἕτερος Κανὼν Σταυροαναστάσιμος.

Ὠδὴ, α'. ἦχος, πλ. δ'. Τὴν ξηρὰν διοδεύσας.

Ἐπήρθησαν πύλαι ὀδυνηραὶ, καὶ ἔφριξαν ᾅδου, καθορῶντες οἱ πυλωροὶ, ἐν τοῖς κατωτάτοις τὸν ἐν ὕψει, τῆς τῶν ἁπάντων ἐπέκεινα φύσεως.

Ἐξέστησαν τάξεις Ἀγγελικαὶ, ὁρῶσαι ἐν θρόνῳ, ἱδρυμένην τῷ Πατρικῷ, τὴν ἔκπτωτον φύσιν τῶν ἀνθρώπων, τὴν καθειργμένην ἐν τοῖς κατωτάτοις τῆς γῆς.

Ἕτερος Κανὼν τῆς Θεοτόκου.

Κατὰ ἀλφάβητον.

Ὠδὴ, α'. ἦχος, Ὁ αὐτός.

Ἄσωμεν τῷ Κυρίῳ.

Ἄχραντε Θεοτόκε, ἡ σεσαρκωμένον τὸν ἀΐδιον, καὶ ὑπέρθεον Λόγον, ὑπὲρ φύσιν τεκοῦσα ὑμνοῦμέν σε.

Βότρυν σε ζωηφόρον, τὸν τῆς παγκοσμίου ἀποστάζοντα, γλυκασμὸν σωτηρίας, ἡ Παρθένος Χριστὲ ἀπεκύησεν.

Ἕτερος Κανὼν τῶν Ἁγίων Πάντων.

Οὗ ἡ ἀκροστιχίς.

Τῶν Ἁγίων Πάντων πολυώνυμα τάγματα μέλπω.

Ὠδὴ, α'. ἦχος, πλ. δ'.

Ἁρματηλάτην Φαραώ.

Τῶν σῶν Ἁγίων ἀνυμνῶν τὰ τάγματα, τῷ σῷ φωτὶ τὴν ψυχὴν, ταῖς προσευχαῖς τούτων, αὐγασθῆναι δέομαι. σὺ γὰρ εἶ φῶς ἀπρόσιτον, τῆς ἀγνοίας τὸν ζόφον, διώκων τοῖς σοῖς πυρσεύμασι, Λόγε τοῦ Θεοῦ φωτοδότα Χριστέ.

Ὡς ἀνυψώθης ἐπὶ ξύλου εἵλκυσας πρὸς σὴν ἐπίγνωσιν, τὴν τῶν Ἐθνῶν πᾶσαν, κληρουχίαν Δέσποτα, καὶ φωτὶ κατελάμπρυνας, τῆς Ἁγίας Τριάδος, δι' Ἀποστόλων Ἁγίων σου, δι' ὧν τὴν ἀπάτην ἀπήλασας.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Βιβλιοθήκη Σιάτιστας "Μανούσακα"

Νομοθεσίᾳ σου Χριστὲ πειθόμενοι, οἱ σοὶ Ἀπόστολοι, τὰ εἴδωλα γῆς πάντα, ἀσεβῶς ἀπώσαντο, καὶ τῷ φωτὶ τῆς χάριτος, κατεφαίδρυναν πᾶσαν, τὴν Οἰκουμένην οἱ ἔνδοξοι, ἀγγελικῶς σε κηρύττοντες.

Ἀγαλλιώμενοι Σταυρὸν οἱ Μάρτυρες, τὸν σὸν αἰρόμενοι, καὶ σὸν σεπτὸν Πάθος, ἀκλινῶς μιμούμενοι, τυραννικὴν οὐκ ἔπτηξαν, ἀπειλὴν οἱ γενναῖοι, οὐ πῦρ, οὐ ξίφος, οὐ μάστιγας, ἀλλ᾽ οὐδὲ λιμόν, οὐδὲ θάνατον.

Θεοτοκίον.

Ἐννόμως ἀνδρείαν αἱ Παρθένοι Πάναγνε, ἀναλαβοῦσαι σαφῶς, μαρτυρικοὺς ἄθλους, ἀκλινῶς μιμούμεναι, καὶ ψαλμικῶς ὀπίσω σου, τῷ Υἱῷ σου Παρθένε, ἐνθέως συναγαλλόμεναι, τῷ Παμβασιλεῖ προσηνέχθησαν.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Ὁ στερεώσας κατ᾽ ἀρχάς, τοὺς Οὐρανοὺς ἐν συνέσει, καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας, ἐν τῇ πέτρᾳ με Χριστέ, τῆς Ἐκκλησίας στήριξον, ὅτι οὐκ ἔστι πλήν σου, Ἅγιος μόνε φιλάνθρωπε.

Ἀπεκδυθέντα τὸν Ἀδάμ, τῇ γεύσει τῆς ἁμαρτίας, τῆς σαρκός σου τὸ σωτήριον πάθος, ἐδικαίωσας Χριστέ. αὐτὸς γὰρ οὐχ ὑπεύθυνος, τῆς τοῦ θανάτου πείρας, πέφηνας ὁ ἀναμάρτητος.

Ἧς Ἀναστάσεως τὸ φῶς, ἐξέλαμψε τοῖς ἐν σκότει, τοῦ θανάτου καὶ σκιᾷ καθημένοις, ὁ Θεός μου Ἰησοῦς, καὶ τῇ αὐτοῦ Θεότητι, τὸν ἰσχυρὸν δεσμώσας, τούτου τὰ σκεύη διήρπασε.

Θεοτοκίον.

Τῶν Χερουβὶμ καὶ Σεραφίμ, ἐδείχθης ὑψηλοτέρα, Θεοτόκε. σὺ γὰρ μόνη ἐδέξω, τὸν ἀχώρητον Θεόν, ἐν σῇ γαστρὶ Ἀμόλυντε· διὸ πιστοί σε πάντες, ὕμνοις Ἁγνὴ μακαρίζομεν.

Ἄλλος. Ὁ οὐρανίας ἁψῖδος.

Ἀπειθήσαντα πρώην, τῇ ἐντολῇ Κύριε, τοῦ πεποιηκότος με, ὄντως σὺ ἀπεξένωσας, ὃν μορφωσάμενος, ὑπακοῶν τε παιδεύσας, σεαυτῷ ἀνέπλασας διὰ Σταυρώσεως.

Ἡ σοφία τὰ πάντα, προεγνωκὼς Κύριε, καὶ τῇ σῇ συνέσει, συμπήξας τὰ ὑποχθόνια, οὐκ ἀπηξίωσας, συγκαταβάσει σου, Λόγε, τοῦ Θεοῦ ἀναστῆσαι τὸν κατ᾽ εἰκόνα σου.

Ἄλλος. Σὺ εἶ τὸ στερέωμα.

Ὡς ἡμῖν βοήθειαν, ταῖς ἱκεσίαις σου Πάναγνε, τὰς προσβολάς, ἀποκρουομένη, τῶν δεινῶν πειρασμῶν.

Εὔας τῆς Προμήτορος, σὺ ἐπανόρθωσις γέγονας, τὸν Ἀρχηγόν, τῆς ζωῆς τῷ Κόσμῳ, Θεοτόκε κυήσασα.

Ἄλλος. Ὁ στερεώσας καταρχάς.

Ἱερωσύνην ἱεράν, οἱ Ἱερεῖς καὶ Ποιμένες, ἐνδυσάμενοι καὶ ταύτην ἐμφρόνως, κυβερνήσαντες Χριστέ, ἀξίως κατεκόσμησαν, διδασκαλίας λόγον, ἄνωθεν ὄντως πλουτήσαντες.

Ὡραιωθέντες καλλοναῖς, τῆς πρώτης καλλοποιΐας, καὶ φανέντες ἀπλανεῖς ὡς φωστῆρες, οὐρανώσατε Χριστοῦ, τὴν Ἐκκλησίαν Ἅγιοι, ἄλλοθεν ἄλλως ταύτην, ποικίλως κατακοσμήσαντες.

Νόμῳ πειθόμενοι τῷ σῷ, τῶν μακαρίων οἱ δῆμοι, πολυτρόποις ἀρεταῖς φαιδρυνθέντες, ἐκληρώσαντο μονάς, τὰς οὐρανίους χαίροντες. ἄλλην γὰρ ἄλλος πάντες, ταύτας ἀξίως ἐπλήρωσαν.

Θεοτοκίον.

Παρθενικῆς ἀπὸ γαστρός, τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, ἀπεγέννησας ἡμῖν Θεομήτωρ. ὃν Νεάνιδες ἁγναί, θεοπρεπῶς ἐπόθησαν, καὶ σοῦ ὀπίσω πᾶσαι, τούτῳ σαφῶς ἠκολούθησαν.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Προπατόρων Πατέρων Πατριαρχῶν, Ἀποστόλων Μαρτύρων Ἱεραρχῶν, Προφητῶν καὶ Ὁσίων σου, Ἀσκητῶν καὶ Δικαίων τε, καὶ παντὸς ὀνόματος, ἐγγεγραμμένου ἐν Βίβλῳ ζωῆς, τὴν ἁγίαν μνήμην, τελοῦντες Χριστὲ ὁ Θεός. πάντας συγκινοῦμεν, εἰς πρεσβείαν δεόμενοι· εἰρήνευσον τὸν Κόσμον σου, δι᾽ αὐτῶν ὡς φιλάνθρωπος, ἵνα πάντες βοῶμέν σοι· ὁ Θεὸς ὁ ἐνδοξαζόμενος, ἐν βουλῇ Ἁγίων σου, σὺ ὑπάρχεις ἀληθῶς, ὁ δοξάσας ἀξίως τὴν μνήμην αὐτῶν.

Θεοτοκίον. Ὅμοιον.

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν, τὸ πανάγιον Ὄρος τὴν φωτεινήν, νεφέ-

λην

Δημόσια Κεντρική Βιβλιοθήκη

λίω ὑμνήσωμεν, βάτον τὴν ἀκατάφλεκτον, τὸν λογικὸν Παράδεισον, τὴν τῆς Εὔας ἀνάκλησιν, τῆς Οἰκουμένης πάσης, τὸ μέγα κειμήλιον. ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ Κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων. διὰ τοῦτο βοῶμέν σοι· Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι· σὲ προστάτιν γὰρ ἔχομεν οἱ δοῦλοί σου.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Σύ μου Χριστὲ Κύριος, σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ Πατρικοὺς κόλπους μὴ λιπὼν, καὶ τὴν ἡμετέραν πτωχείαν ἐπισκεψάμενος. διὸ σὺν τῷ Προφήτῃ, Ἀββακοὺμ σοι κραυγάζω· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Σὺ δυσμενῆ, ὄντα με λίαν ἠγάπησας. σὺ κενώσει, ξένῃ καταβέβηκας, ἐπὶ τῆς γῆς, εὔσπλαγχνε Σωτὴρ, τῆς ἐσχατιᾶς μου, τὴν ὕβριν μὴ ἀμυνάμενος, καὶ μείνας ἐν τῷ ὕψει, τῆς ἀχράντου σου δόξης, τὸν πρὶν ἠτιμωμένον ἐδόξασας.

Τίς καθορῶν, Δέσποτα μὴ οὐκ ἐξίσταται, διὰ πάθους, θάνατον λυόμενον, διὰ Σταυροῦ φεύγουσαν φθορὰν, καὶ διὰ θανάτου, τὸν ᾅδην πλούτου κενούμενον; τῆς θείας δυναστείας, σοῦ τοῦ ἐσταυρωμένου, τὸ ἐξαίσιον ἔργον φιλάνθρωπε.

Θεοτοκίον.

Σὺ τῶν Πιστῶν, καύχημα πέλεις ἀνύμφευτε, σὺ προστάτις, σὺ καὶ καταφύγιον, Χριστιανῶν τεῖχος καὶ λιμήν. πρὸς γὰρ τὸν Υἱόν σου, ἐντεύξεις φέρεις Πανάμωμε· καὶ σῴζεις ἐκ κινδύνων, τοὺς ἐν πίστει, καὶ πόθῳ, Θεοτόκον Ἁγνήν σε γινώσκοντας.

Ἄλλος. Εἰσακήκοα Κύριε.

Ὃν, Σταυρῷ τε προσήλωσαν, οἱ τῶν παρανόμων παῖδες φιλάνθρωπε. δι' οὗ ἔσωσας ὡς εὔσπλαγχνος, τοὺς δοξάζοντάς σου τὰ παθήματα.

Ἀναστὰς ἐκ τοῦ Μνήματος, πάντας συνανέστησας τοὺς ἐν ᾅδῃ νεκροὺς, καὶ ἐφώτισας ὡς εὔσπλαγχνος, τοὺς δοξάζοντάς σου τὴν Ἀνάστασιν.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἡ τὸν στάχυν βλαστήσασα, τὸν ζωοποιὸν ἀνήροτος ἄρουρα, τὸν παρέχοντα τῷ Κόσμῳ ζωὴν, Θεοτόκε σῷζε τοὺς ὑμνοῦντάς σε.

Θεοτόκον σε Πάναγνε, οἱ πεφωτισμένοι πάντες κηρύττομεν. τὸν γὰρ Ἥλιον ἐκύησας, τῆς Δικαιοσύνης Ἀειπάρθενε.

Ἄλλος. Σύ μου Χριστὲ, Κύριος.

Ἀνακραθεὶς, ὅμιλος ὁ τῶν Ἁγίων σου, δι' ἀγάπης, καὶ σοὶ ἐνδούμενος, εἰλικρινῶς τε καὶ καθαρῶς, ἐν ἀγαλλιάσει, χορείαν τὴν ἀκατάλυτον, Ἀγγέλοις συγχορεύει, περὶ σὲ παντεπόπτα, τὸν ἁπάντων Θεόν τε, καὶ Κύριον.

Νεανικῶς, ἔνδοξοι Ἱερομάρτυρες, τῶν Μαρτύρων, στέφος ἀνεδύσασθε, τῷ θεουργῷ, χρίσματι τὸ πρὶν, τῆς Ἱερωσύνης, ἠγλαϊσμένοι πανόλβιοι. διὸ διπλοῦς στεφάνους, ἐπαξίως λαβόντες, σὺν Χριστῷ αἰωνίως ἀγάλλεσθε.

Τὸ τῆς σαρκὸς, φρόνημα ἅπαν τῷ Πνεύματι, Θεοφόροι, ὄντως ὑπετάξατε, ἀσκητικῶς, τούτου τὰς ὁρμὰς, τὰς ἀκατασχέτους, νηστείᾳ καταμαράναντες, καὶ νῦν τῆς ἀπαθείας, τῷ φωτὶ πυρσωθέντες, ἀμοιβὰς τὰς τῶν πόνων εἰλήφατε.

Ὡς τοῦ Χριστοῦ, Μάρτυρες τοῦ Πρωτομάρτυρος, τὰς βασάνους, ἄγαν ὑπεμείνατε, καρτερικῶς τε, καὶ γενναίως, ὡς ἐν ἀλλοτρίοις, ἀθλοῦντες σώμασιν ἔνδοξοι. καὶ νῦν τῆς Βασιλείας, κληρονόμοι δειχθέντες, τοῖς πιστοῖς τὰς ἰάσεις πηγάζετε.

Θεοτοκίον.

Νύμφη Θεοῦ, γέγονας Θεογεννήτρια. τὸν γὰρ τοῦτον, Λόγον προαιώνιον, σωματικῶς, τέτοκας ἡμῖν, ἐν ᾧ καὶ Γυναῖκες, ἁγίως πολιτευσάμεναι, καὶ ἄθλοις παμποικίλοις, διὰ σοῦ κοσμηθεῖσαι, τῆς Προμήτορος πτῶσιν ἀνώρθωσαν.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον; καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος τὸν δείλαιον· ἀλλ' ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι.

Περιθέσθαι ἠνέσχου, χλαῖναν πρὸ τοῦ πάθους σου Σῶτερ παιζόμενος, τὴν τοῦ Πρωτοπλάστου, περιστέλλων ἀσχήμονα γύμνωσιν, καὶ γυμνὸς παγῆναι, ἐν τῷ



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Σταυρῷ ἀπαμφιάζων, τὸν χιτῶνα Χριστὲ τῆς νεκρώσεως.

Ἐκ χοὸς τοῦ θανάτου, σὺ τὴν πεπτωκυῖαν μου ἀνοικοδομήσας, ἀναστὰς οὐσίαν, καὶ ἀγήρω Χριστὲ κατεσκεύασας, ἀναδείξας πάλιν, Βασιλικὴν ὥσπερ εἰκόνα, ἀφθαρσίας φωτὶ ἀπαστράπτουσαν.

Θεοτοκίον.

Μητρικὴν παρρησίαν, τὴν πρὸς τὸν Υἱόν σου κεκτημένη Πανάγνε, συγγενοῦς προνοίας, τῆς ἡμῶν μὴ παρίδῃς δεόμεθα. ὅτι σὲ καὶ μόνην, Χριστιανοὶ πρὸς τὸν Δεσπότην, ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

Ἄλλος. Φώτισον ἡμᾶς.

Ὁδήγησον ἡμᾶς, τῇ δυνάμει τοῦ Σταυροῦ σου Χριστέ. δι' αὐτοῦ γάρ σοι προσπίπτομεν, καὶ τὴν εἰρήνην παράσχου ἡμῖν φιλάνθρωπε.

Κυβέρνησον ἡμῶν, τὴν ζωὴν ὡς ὑπεράγαθος, τῶν ὑμνούντων σου τὴν ἔγερσιν, καὶ τὴν εἰρήνην παράσχου ἡμῖν φιλάνθρωπε.

Ἄλλος. Ὀρθρίζοντες.

Κατεύνασον τὸν ἄστατον κλύδωνα, τῶν παθῶν μου, ἡ Θεὸν Κυήσασα, τὸν κυβερνήτην, καὶ Κύριον.

Ἀποροῦσι τῷ τόκῳ σου ἄχραντε Θεοτόκε, Ἀγγέλων τὰ τάγματα, καὶ τῶν βροτῶν τὰ συστήματα.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Προορᾶν ὡς Προφῆται, θεῖοι τὰ ἐσόμενα κατηξιώθητε, καὶ ἐπιποθοῦντες, τῆς ψυχῆς εὐγένεια καθάραντες, διὰ πολιτείας, εἰλικρινοῦς ὦ Θεοφόροι, φωτιζόμενοι ἐνθέσει τοῦ Πνεύματος.

Ὁ Χορὸς τῶν Ἁγίων, νῦν ἐναγλαΐζεται θείοις χαρίσμασιν, οἱ πρὸ Νόμου πάντες, Πατριάρχαι Προφῆται Ἀπόστολοι, καὶ Μαρτύρων δῆμοι, καὶ Ἀσκητῶν καὶ Διδασκάλων, καὶ Δικαίων σὺν Ἱερομάρτυσι.

Ἀμπομένην ὁρῶντες, τὴν τῶν σῶν Ἁγίων ὁμήγυριν σήμερον, τῇ σῇ Σῶτερ αἴγλῃ, καὶ λαμπάσιν ἀσβέστοις τῆς χάριτος, τὸν σὸν θεῖον πλοῦτον, τῶν ἀγαθῶν, καὶ δαψιλείαν, ἀνυμνοῦμεν ἀπαύστως φιλάνθρωπε.

Θεοτοκίον.

Ὑπερθαύμαστον τόκον, τὸν σὸν ἀγαπήσασαι Γυναῖκες πάνσεμνοι, τὰ τερπνὰ τοῦ βίου, εἰς οὐδὲν ἐλογίσαντο Πανάγνε, τῆς αὐτοῦ καὶ μόνης, ἐρωτικῶς ἐπιθυμοῦσαι, ἀγλαΐας καὶ θείας ἐλλάμψεως.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ ϛ'. Ὁ Εἱρμός.

Ἱλάσθητί μοι Σωτὴρ, πολλαὶ γὰρ αἱ ἀνομίαι μου. καὶ ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι. πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Διὰ ξύλου κραταιῶς, καθεῖλέ με ὁ ἀρχέκακος. αὐτὸς δὲ ἀναρτηθεὶς, Χριστὲ κραταιότερον, Σταυρῷ καταβέβληκας, δειγματίσας τοῦτον, τὸν πεσόντα δὲ ἀνέστησας.

Εὖ ᾤκτειρας τὴν Σιὼν, ἐξανατείλας τοῦ Μνήματος, καινὴν ἀντὶ παλαιᾶς, τελέσας ὡς εὔσπλαγχνος, τῷ θείῳ σου Αἵματι. καὶ νῦν βασιλεύεις, ἐν αὐτῇ εἰς τοὺς αἰῶνας Χριστέ.

Θεοτοκίον.

Ῥυσθείημεν τῶν δεινῶν, πταισμάτων ταῖς ἱκεσίαις σου, Θεογεννῆτορ Ἁγνὴ, καὶ τύχοιμεν Πάναγνε, τῆς θείας ἐλλάμψεως, τοῦ ἐκ σοῦ ἀφράστως, σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Ἄλλος. Τὴν δέησιν ἐκχεῶ.

Παλάμας ἐν τῷ Σταυρῷ ἐξήπλωσας, ἰατρεύων τὴν ἀκρατῶς ταθεῖσαν, ἐν τῇ Ἐδὲμ, χεῖρα τοῦ Πρωτοπλάστου, καὶ τῆς ἰδίας χολῆς ἀπεγεύσω Χριστὲ, καὶ ἔσωσας ὡς δυνατὸς, τοὺς δοξάζοντάς σου τὰ παθήματα.

Θανάτου ὁ Λυτρωτὴς ἐγεύσατο, τῆς ἀρχαίας ἀποφάσεως ὅπως, καὶ τῆς φθορᾶς, τὸ βασίλειον λύσῃ, καὶ τοῖς ἐν ᾅδῃ φοιτήσας ἀνέστησε, καὶ ἔσωσεν ὡς δυνατὸς, τοὺς ὑμνοῦντας αὐτοῦ τὴν Ἀνάστασιν.

Ἄλλος. Χιτῶνά μοι παράσχου.

Ναόν σε τοῦ Θεοῦ καὶ κιβωτὸν, καὶ παστάδα ἔμψυχον, καὶ πύλην οὐράνιον, Θεοτόκε οἱ πιστοὶ καταγγέλλομεν.

Ζοανῶν καταλύτης ὡς Θεὸς, γεγονὼς ὁ τόκος σου, Μαρία Θεόνυμφε, προσκυνεῖται σὺν Πατρὶ, καὶ τῷ Πνεύματι.

Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.

Ὡς ἔντιμον ἐκλεκτὸν, τεθέντα λίθον ἀκρόγωνον, οἱ Ἅγιοι ἐν Σιὼν, εὑρόντες σε Δέσποτα, κρηπῖδα ἀσάλευτον, ἐκλεκτοὺς ὡς λίθους, ἑαυτοὺς ἐπῳκοδόμησαν.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

Νυγείσης σου τῆς πλευρᾶς, ῥανίδες Αἵματος στάξασαι, σὺν ὕδατι θεουργῷ, τὴν Κόσμον ἀνέπλασαν, καὶ θείαν ὁμήγυριν, τῶν Ἁγίων Πάντων, εὐεργέτα προσεκάλεσαν.

Ὑμνοῦμέν σε πανευσεβῶς, Μαρτύρων μέλος τὸ ἔνθεον, τῇ χάριτι λαμπρυνθέν, καὶ λάμψαν φαιδρότερον, πορφύρᾳ τοῦ αἵματος, καὶ τῇ ἀλουργίδι, τῆς αὐτῶν στεῤῥᾶς ἀθλήσεως.

Θεοτοκίον.

Μητέρα παναληθῆ, Θεοῦ σε πάντες γινώσκομεν. δι᾽ ἧς φύσις Γυναικῶν, ῥωσθεῖσα Παναμώμε, Χριστοῦ ὑπερήθλησεν, ἀρετῆς τε πάσης, εὐσεβῶς γέγονεν ἔμπλεως.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον, Ἦχος, πλ. δ'.

Ὡς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς Κτίσεως, ἡ Οἰκουμένη προσφέρει σοι Κύριε, τοὺς Θεοφόρους Μάρτυρας. ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ βαθείᾳ, τὴν Ἐκκλησίαν σου τῇ πολιτείᾳ σου, διὰ τῆς Θεοτόκου συντήρησον πολυέλεε.

Ὁ Οἶκος.

Οἱ ἐν πάσῃ τῇ γῇ μαρτυρήσαντες, καὶ ἐν τοῖς Οὐρανοῖς μετοικήσαντες· οἱ τὰ πάθη Χριστοῦ μιμησάμενοι, καὶ τὰ πάθη ἡμῶν ἀφαιρούμενοι, ἐνταῦθα σήμερον ἀθροίζονται, πρωτοτόκων δεικνύοντες Ἐκκλησίαν, ὡς τῆς ἄνω τὸν τύπον ἐπέχουσαν, καὶ Χριστῷ ἐκβοῶσαν· Θεός μου εἶ. Διὰ τῆς Θεοτόκου συντήρησον πολυέλεε.

Συναξάριον.

Τῇ Κυριακῇ τῶν Ἁγίων Πάντων.

Τοὺς Κυρίου μου πάντας ὑμνῶ τοὺς φίλους.
Εἴ τις δὲ μέλλων, εἰς τοὺς πάντας εἰσίτω.

Ταύτῃ ἡμέρᾳ, Κυριακῇ μετὰ τὴν Πεντηκοστήν, τὴν τῶν ἁπανταχοῦ τῆς Οἰκουμένης ἐν Ἀσίᾳ, Λιβύῃ, καὶ Εὐρώπῃ, Βοῤῥᾷ τε, καὶ Νότῳ, Ἁγίων Πάντων Ἑορτὴν ἑορτάζομεν· ἣν δή, μετὰ τὴν τοῦ Παναγίου Πνεύματος κάθοδον, οἱ Θειότατοι Πατέρες ἡμῶν ἐθέσπισαν ἐκτελεῖν, ὡσανεὶ τρόπον τινὰ ἐνδεικνύμενοι, ὅτι ἡ τοῦ Παναγίου Πνεύματος παρουσία τοιαῦτα διὰ τῶν Ἀποστόλων ἐνήργησεν, ἁγιάσασα, καὶ σοφίσασα τοὺς ἀπὸ τοῦ ἡμετέρου φυράματος, εἰς ἀποπλήρωσιν τοῦ ἐκπεπτωκότος ἐκείνου τάγματος Ἀγγελικοῦ, τούτους ἀποκαταστήσασα, καὶ Θεῷ διὰ τοῦ Χριστοῦ παραπέμψασα. τοὺς μέν, διὰ τοῦ Μαρτυρίου, καὶ αἵματος, τοὺς δέ, δι᾽ ἐναρέτου πολιτείας καὶ ἀγωγῆς, καὶ τὰ ὑπὲρ φύσιν διαπράττεται. κάτεισι μὲν γὰρ τὸ Πνεῦμα ἐν εἴδει πυρός, φύσει τὴν ἀνωτάτω ἔχον ῥοπήν. ἄνεισι δὲ πρὸς τὰ ἄνω ὁ Χριστός, φύσει καταῤῥοπος ὤν, καὶ τὸ ἡμέτερον φύραμα. πρὸ βραχέος μέν, ἡ προσληφθεῖσα, καὶ θεωθεῖσα τῷ Θεῷ Λόγῳ σάρξ, ὑψωθεῖσα, καὶ ἐκ δεξιῶν τῆς Πατρικῆς δόξης καθίσασα. νῦν δὲ καὶ πάντας ἕλκει τοὺς βουλομένους, ὡς ἡ ὑπόσχεσις, ὥσπερ τοῦ Θεοῦ Λόγου ἐνδεικνυμένου τὰ τῆς καταλλαγῆς ἔργα, καὶ τί τὸ σκοπιμώτατον τέλος, τῆς πρὸς ἡμᾶς διὰ σαρκὸς παρουσίας αὐτοῦ καὶ οἰκονομίας; ὅτι τοὺς πρὶν ἀπωσμένους, εἰς ἕνωσιν καὶ φιλίαν ἄγει Θεοῦ. τὸν ἀνθρώπινον ἐξ Ἐθνῶν Λαόν, τῆς ἀνθρωπίνης φύσεως, οἱονεί τινας ἀπαρχάς, προσφερούσης Θεῷ, τοὺς ἐν ταύτῃ διαφερόντως εὐδοκιμήσαντας. καθ᾽ ἕνα μὲν οὖν τρόπον, οὕτω τὴν τῶν Ἁγίων Πάντων Ἑορτὴν ἑορτάζομεν. κατὰ δεύτερον δέ, ἐπειδὴ πολλοὶ μὲν εὐηρέστησαν τῷ Θεῷ, δι᾽ ἀρετὴν δὲ ἄκραν, καὶ ἀλλοτρόπως ἀνώνυμοι παρ᾽ ἀνθρώποις ἐγένοντο, ἢ καὶ διά τινα ἴσως τῶν ἀνθρωπίνων, πολλὴν δὲ ὅμως πρὸς Θεὸν δόξαν ἔχοντες. ἢ καὶ ὅτι, πολλοὶ μὲν κατὰ Χριστὸν ἐπολιτεύσαντο ἐν Ἰνδοῖς, καὶ Αἰγυπτίοις, καὶ Ἄραψι, Μεσοποταμίᾳ τε, καὶ Φρυγίᾳ, καὶ τοῖς ἄνωθεν τοῦ Εὐξείνου. ἔτι δὲ ἐν πάσῃ Ἑσπέρᾳ, ἄχρι καὶ αὐτῶν τῶν Βρεττανικῶν Νήσων, ἁπλῶς εἰπεῖν ἐν Ἀνατολῇ καὶ Δύσει. οὐκ ἦν δ᾽ εὐπετὲς τούτους ἅπαντας ὡς χρεὼν τιμῆσαι, διὰ τὴν ἀπειρίαν, καθὰ ἡ Ἐκκλησιαστικὴ παρελήφθη συνήθεια. ἵνα τοίνυν, καὶ τὴν παρ᾽ ἐκείνων πάντων βοήθειαν ἐπισπώμεθα, ὅπου δήποτε γῆς τῷ Θεῷ εὐηρέστησαν. ἄλλως τε καὶ διὰ τοὺς ἐπιγενησομένους ἴσως Ἁγίους, τὴν τῶν Ἁγίων Πάντων Ἑορτὴν οἱ Θειότατοι Πατέρες ἑορτάζειν ἐθέσπισαν. πάντας τούς τε πρότερον καὶ ὕστερον ἀφανεῖς τε καὶ ἐμφανεῖς, ὅσους δὴ τὸ Πνεῦμα τὸ ἅγιον, σκηνῶσαν ἡγίασε, τιμῶντες καὶ συμπεριλαμβάνοντες. Ἢ καὶ τρίτον. ἐχρῆν τοὺς κατὰ μέρος ἐφ᾽ ἑκάστης

ἡμέρας ἑορταζομένους Ἁγίους, καὶ μιᾷ συναχθῆναι ἡμέρᾳ, ἵνα δειχθείη, ὡς ὑπὲρ ἑνὸς Χριστοῦ ἠγωνίσαντο, καὶ πάντες τὸ αὐτὸ τῆς ἀρετῆς ἔδραμον στάδιον, καὶ οὕτω πάντες, ὡς ἑνὸς Θεοῦ δοῦλοι, ἀξίως ἐστεφανώθησαν, τὴν Ἐκκλησίαν οὗτοι συνεστήσαν; τὸν ἄνω Κόσμον ἀναπληρώσαντες. διερεθίζοντες δὲ καὶ ἡμᾶς, τὸν ἴσον ἀγῶνα τούτοις ἀνύειν, διάφορον ὄντα καὶ πολυειδῆ, πρὸς ὅ,τι ἕκαστος ἔχει δυνάμεως, ὅλῃ προθυμίᾳ ἐπείγεσθαι. τούτοις δὴ τοῖς ἀπ᾽ αἰῶνος Ἁγίοις ἅπασι Λέων ὁ ἀοίδιμος καὶ σοφώτατος Βασιλεὺς, Ναὸν μέγιστον καὶ περικαλλῆ ἀνεδείματο. ἔγγιστα δέ ἐστιν οὗτος τοῦ τῶν Ἁγίων Ἀποστόλων Νεὼ, τῆς Κωνσταντίνου ἐντὸς, τὰ μὲν πρῶτα Θεοφανῷ τῇ αὐτοῦ πρώτῃ, ὥς φασι, Γυναικὶ, τοῦτον οἰκοδομῶν, εὐαρεστησάσῃ κατάκρως τῷ Θεῷ, καὶ τὸ δὴ παράδοξον ἐν μέσῳ θορύβων, καὶ τῶν Βασιλείων ἐντός. ἐπεὶ δὲ τῇ Ἐκκλησίᾳ κοινωσάμενος τὸν σκοπὸν, οὐκ εἶχε πειθομένην ταύτην τῷ ἑαυτοῦ θελήματι. ἅμα μὲν τὸ τοῦ Βασιλέως ἔχουσαν φρόνημα, ὅμως δὲ καὶ μὴ δεῖν εἶναι λογισαμένην τὴν χθὲς, καὶ πρότριτα Βασιλικῇ φαντασίᾳ, καὶ τρυφῇ φθειρομένην. ἐξ αὐτῆς οὕτω τιμῆσαι, ὡς καὶ Ναῷ σεμνῦναι μεγαλοπρεπεῖ τε καὶ ἐξαισίῳ, μὴ καὶ τοῦ χρόνου παρασχόντος ταύτῃ τὸ τίμιον καὶ σεβάσμιον, καὶ ὅτι τῷ Θεῷ εὐηρέστησεν· ὁ σοφώτατος Βασιλεὺς, συνευδοκούσης καὶ τῆς Ἐκκλησίας ἁπάσης, τὸν ἀνεγερθέντα δόμον τοῖς ἁπανταχοῦ τῆς γῆς πᾶσιν Ἁγίοις ἀνέθετο, εἰπών· εἰ καὶ Θεοφανὼ Ἁγία, μετὰ τούτων πάντων συναριθμείσθω. ἐγὼ δὲ οἶμαι, κἀντεῦθεν ἔοικε μᾶλλον ἔχειν τὴν ἀρχὴν, καὶ τὴν παροῦσαν Ἑορτὴν ἑορτάζεσθαι, οὖσαν καὶ πρότερον. τούτου δὲ χώραν καὶ ὑστέραν τῷ Τριῳδίῳ κεῖσθαι, ἄρδην πάσας τὰς Ἑορτὰς περικλείουσαν ὡς φραγμόν. ἡ γὰρ τῆς Ἐκκλησίας εὐταξία τε καὶ κατάστασις, κἂν ἄνωθεν ἤρξατο, κατ᾽ ὀλίγον ἄριστα καθισταμένη, καὶ ὡς ἐχρῆν. ἀλλ᾽ οὖν ἐν ταῖς ἡμέραις τοῦ Βασιλέως τούτου, εἰς τὸ παντελὲς κατέστη καὶ ἐτυπώθη, ὡς νῦν ἔχει τάξεώς τε, καὶ καταστάσεως. τὸ δὲ Τριῴδιον, ὡς ἐν βραχεῖ φάναι, περιέχει, ἐντὸς διηγούμενον, ἐμμελῶς ὅσα ὁ Θεὸς περὶ ἡμᾶς ἀρρήτοις λόγοις ἐνήργησε, τὴν τοῦ Διαβόλου ἐξ Οὐρανοῦ ἔκπτωσιν διὰ τῆς πρώτης παρακοῆς. τὴν ἐξορίαν τοῦ Ἀδὰμ καὶ παράβασιν. τὴν δι᾽ ἡμᾶς τοῦ Θεοῦ Λόγου οἰκονομίαν ἅπασαν, καὶ ὅπως εἰς Οὐρανοὺς διὰ τοῦ Ἁγίου Πνεύματος αὖθις ἀνεβιβάσθημεν, καὶ τὸ ἐκπεπτωκὸς ἐκεῖνο τάγμα ἀνεπληρώσαμεν, ὃ διὰ τῶν Ἁγίων Πάντων γνωρίζεται. Ἰστέον δὲ, ὡς ἅπαντα νῦν ἑορτάζομεν, ὅσα ἀγαθοδότως ἡγίασε τὸ Πνεῦμα τὸ Ἅγιον, λέγω δὴ τοὺς ὑψηλοτάτους καὶ ἁγιαστικοὺς Νόας, τὰ ἐννέα δηλαδὴ τάγματα· τοὺς Προπάτορας καὶ Πατριάρχας· τοὺς Προφήτας, καὶ τοὺς Ἱεροὺς Ἀποστόλους· τοὺς Μάρτυρας, καὶ τοὺς Ἱεράρχας· τοὺς Ἱερομάρτυρας· καὶ Ὁσιομάρτυρας· τοὺς Ὁσίους καὶ Δικαίους· καὶ ἁπάσας τὰς τῶν ἁγίων Γυναικῶν χορείας, καὶ τοὺς ἄλλους ἅπαντας ἀνωνύμους Ἁγίους. μεθ᾽ ὧν ἔστωσαν καὶ οἱ ἐπιγενησόμενοι. πρὸ δὲ πάντων, καὶ ἐν πᾶσι, καὶ μετὰ πάντων, τὴν τῶν Ἁγίων Ἁγίαν, τὴν Ὑπεραγίαν, καὶ αὐτῶν ὑπερασυγκρίτως κρείττονα τῶν Ἀγγελικῶν ταγμάτων, τὴν Κυρίαν ἡμῶν καὶ Δέσποιναν Θεοτόκον Μαρίαν τὴν Ἀειπάρθενον· Ἧς ταῖς πρεσβείαις Χριστὲ ὁ Θεὸς, καὶ πάντων τῶν ἀπ᾽ αἰῶνος Ἁγίων σου, ἐλέησον καὶ σῶσον ἡμᾶς, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

### Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Θεοῦ συγκατάβασιν, τὸ πῦρ ᾐδέσθη ἐν Βαβυλῶνι ποτέ. διὰ τοῦτο οἱ Παῖδες, ἐν τῇ καμίνῳ ἀγαλλομένῳ ποδὶ, ὡς ἐν λειμῶνι χορεύοντες ἔψαλλον· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἡ ἔνδοξος κένωσις, ὁ θεῖος πλοῦτος τῆς σῆς πτωχείας Χριστὲ, καταπλήττει Ἀγγέλους, Σταυρῷ ὁρῶντάς σε καθηλούμενον, διὰ τὸ σῶσαι τοὺς πίστει κραυγάζοντας· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τῇ θείᾳ καθόδῳ σου, φωτὸς ἐπλήσθη τὰ καταχθόνια, καὶ τὸ σκότος ἠλάθη, τὸ πρὶν διῶκον. ὅθεν ἀνέστησαν, οἱ ἀπ᾽ αἰῶνος δεσμῶται κραυγάζοντες· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τῶν Πάντων μὲν Κύριον, ἑνὸς δὲ μόνου μονογενοῦς Υἱοῦ, ὀρθοδόξως Πατέρα, θεολογοῦντες σὲ καταγγέλλομεν, καὶ ἓν

εἰδό-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

εἰδότες σοῦ ἐκπορευόμενον, Πνεῦμα εὐθές, συμφυὲς καὶ συναΐδιον.

Ἄλλος. Οἱ ἐκ τῆς Ἰουδαίας.

Σωτηρίαν εἰργάσω, μέσον τῆς Οἰκουμένης προφητικῶς ὁ Θεός. ὑψωθεὶς γὰρ ἐν ξύλῳ, πάντας ἀνεκαλέσω, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἀναστὰς ἐκ τοῦ τάφου, ὡς ἐξ ὕπνου Οἰκτίρμον πάντας ἐῤῥύσω φθορᾶς. ἡ Κτίσις δὲ πιστοῦται, διὰ τῶν Ἀποστόλων, κηρυττόντων τὴν ἔγερσιν· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Παρθενικῆς ἐκ νηδύος, σαρκωθεὶς ἐπεφάνης εἰς σωτηρίαν ἡμῶν. διὸ σοῦ τὴν Μητέρα, εἰδότες Θεοτόκον, εὐχαρίστως κραυγάζομεν· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ῥάβδος ἔφυς Παρθένε, Ἰεσσαὶ ἐκ τῆς ῥίζης ἡ παμμακάριστος, καρπὸν ἀνθηφοροῦσα, σωτήριον τοῖς πίστει, τῷ Υἱῷ σου κραυγάζουσιν· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος. Θεοῦ συγκατάβασιν.

Ἁγίων τὰ τάγματα, τὸν ἐν Ἁγίοις ἀναπαυόμενον, ἀσιγήτως ὑμνοῦντα, τρυφῆς ἐνθέου νῦν ἀπολαύουσι, καὶ γεγηθότες χορεύουσι ψάλλοντες· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ταῖς θείαις ἐλλάμψεσι, τῆς τρισηλίου φωτοχυσίας σεπτῶς, τῶν Ἁγίων οἱ δῆμοι, περιλαμφθέντες Μονάδα τρισάριθμον, θεολογοῦμεν Πατέρα συνάναρχον, καὶ τὸν Υἱὸν εὐσεβῶς, καὶ Πνεῦμα Ἅγιον.

Ἀφράστῳ τῇ δόξῃ σου, ὅταν ὀφθήσῃ Θεὸς ἐν μέσῳ θεῶν, τὰς ἀξίας παρέχων, καὶ δωρεὰς νέμων, καὶ τοὺς στεφάνους διδούς, τότε Σῶτερ ἀξίωσον ψάλλειν σοι· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἡδόμενοι μέλψωμεν, τὴν τῶν Ἁγίων πάντων ὁμήγυριν, ἐκ παντὸς κροτουμένην, καὶ γένους ἅμα, καὶ ἀξιώματος, καὶ πολιτείας, καὶ τούτοις συμψάλλωμεν· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Μαρίαν τὴν ἄχραντον, καὶ Παναγίαν Θεογεννήτριαν, αἱ Νεάνιδες πᾶσαι, χορείαν θείαν ἅμα στησάμεναι, μεγαλοφώνως ἀγάλλου βοήσατε, ἡ τῆς χαρᾶς τὴν πηγὴν ἡμῖν βλυστάνουσα.

Καταβασία.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Ἑπταπλασίως κάμινον, τῶν Χαλδαίων ὁ Τύραννος, τοῖς θεοσεβέσιν, ἐμμανῶς ἐξέκαυσε· δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδών, τὸν Δημιουργόν, καὶ Λυτρωτὴν ἀνεβόα, οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἡ τῆς σῆς Θεότητος, ἡ ὑπέρθεος δύναμις, ἐν τοῖς καθ᾿ ἡμᾶς, θεοπρεπῶς ἐξέλαμψε. σαρκὶ γὰρ γευσάμενος, ὑπὲρ παντὸς θανάτου Σταυροῦ, ἔλυσε τοῦ ᾅδου, τὴν ἰσχὺν ὃν ἀπαύστως, οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Σταυρωθεὶς ἐγήγερται, ὁ μεγάλαυχος πέπτωκεν, ὁ καταπεσὼν, καὶ συντριβεὶς ἀνώρθωται, φθορὰ ἐξωστράκισται, καὶ ἀφθαρσία ἐξήνθησεν· ἀπὸ τῆς ζωῆς γάρ, τὸ θνητὸν κατεπόθη· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τριοφαῆ Θεότητα, μίαν ἐκλάμπουσαν, αἴγλην ἐκ μιᾶς τρισυποστάτου Φύσεως, Γεννήτορα, ἄναρχον, ὁμοφυᾶ τε Λόγον Πατρός, καὶ συμβασιλεῦον ὁμοούσιον Πνεῦμα, οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Νικηταὶ τυράννου.

Τὸν ἐπὶ τοῦ ξύλου, χεῖρά μοι ἐκτείναντα τῷ γυμνωθέντι, προσκαλούμενόν με, τῇ αὐτοῦ εὐσχήμονι θάλψαι γυμνώσει, εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὸν ἐκ κατωτάτου, ᾅδου με ὑψώσαντα τὸν πεπτωκότα, καὶ τῇ ὑψιθρόνῳ, δόξῃ τοῦ Γεννήτορος τετιμηκότα, εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἄλλος. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Τῶν ἁμαρτιῶν τὰς θελκτικὰς καὶ φλογώδεις, καθ᾿ ἡμῶν κατάσβεσον βο-

λί-

Δημόσια Κεντρική Βιβλιοθήκη

λίδας, ὅπως σε ὑμνῶμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὑπερφυῶς τὸν Δημιουργὸν καὶ Σωτῆρα, Θεὸν Λόγον τέτοκας Παρθένε. ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

Ἀγαλλιᾶσθε Μάρτυρες, οἱ Προφῆται Ἀπόστολοι, Ἱερομαρτύρων, ὁ σεπτὸς κατάλογος, Δικαίων Ὁσίων τε, καὶ Διδασκάλων θεῖος χορὸς, σὺν ταῖς Μυροφόροις, Γυναιξὶ μελῳδοῦντες· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τῆς ὑπὲρ νοῦν λαμπρότητος, ἐμφορούμενοι Ἅγιοι, θείας εὐφροσύνης, καὶ χαρᾶς πληρούμενοι, Θεοὶ χρηματίζετε, τῇ πρὸς Θεὸν ἐγγύτητι, ταῖς θεουργικαῖς, μαρμαρυγαῖς ὁμιλοῦντες, καὶ δόξης τῆς ἀφράστου, φωτισθέντες ἀκτῖσι, Χριστὸν ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἀναφανέντες Ἅγιοι, ὡς φωστῆρες πολύφωτοι, τὸν τῆς Ἐκκλησίας, Οὐρανὸν φαιδρύνετε, ποικίλοις χαρίσμασι, καὶ διαφόροις κάλλεσιν, ἐν δικαιοσύνῃ, σωφροσύνῃ ἀνδρείᾳ, φρονήσει τὸν Δεσπότην, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Μετ' εὐφροσύνης ἅπασαι, Γυναικῶν αἱ Θεόφρονες, αἱ τελειωθεῖσαι, ἐν Χριστῷ τῷ Πνεύματι, Παρθένον τὴν Ἄχραντον, καὶ ἀληθῆ Μητέρα Θεοῦ, τὴν ἐκ τῆς κατάρας, τῆς προμήτορος Εὔας, ἡμᾶς λυτρωσαμένην, εὐλαβῶς παραστᾶσαι, τὸν ταύτης ἀνυμνεῖτε, Καρπὸν εἰς τοὺς αἰῶνας.

Καταβασία. Παῖδας εὐαγεῖς.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανὸς, καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα, ὅτι Θεὸς, ὤφθη τοῖς ἀνθρώποις σωματικῶς, καὶ ἡ γαστήρ σου γέγονεν, εὐρυχωροτέρα τῶν Οὐρανῶν. διό σε Θεοτόκε, Ἀγγέλων, καὶ ἀνθρώπων, ταξιαρχίαι μεγαλύνουσι.

Τῇ θείᾳ, καὶ ἀνάρχῳ φύσει ἁπλοῦς, πεφυκὼς συνετέθης προσλήψει σαρκὸς, ἐν σεαυτῷ, ταύτην ὑποστήσας Λόγε Θεοῦ, καὶ πεπονθὼς ὡς ἄνθρωπος, ἔμεινας ἐκτὸς πάθους ὡς Θεός. διό σε ἐν οὐσίαις, δυσὶν ἀδιαιρέτως, καὶ ἀσυγχύτως μεγαλύνομεν.

Πατέρα κατ' οὐσίαν τὴν Θεϊκὴν, ὡς δὲ φύσει γενόμενος ἄνθρωπος, ἔφης Θεὸν, Ὕψιστε τοῖς δούλοις συγκατιὼν, ἐξαναστὰς τοῦ Μνήματος, χάριτι Πατέρα τῶν γηγενῶν, τιθεὶς τὸν κατὰ φύσιν, Θεόν τε καὶ Δεσπότην, μεθ' οὗ σε πάντες μεγαλύνομεν. Θεοτοκίον.

Ὡράθης ὦ Παρθένε Μήτηρ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι, τὸν ἀγαθὸν, Λόγον ἐκ καρδίας τῆς ἑαυτοῦ, ὃν ὁ Πατὴρ ἠρεύξατο, πάντων πρὸ αἰώνων ὡς ἀγαθός· ὃν νῦν καὶ τῶν σωμάτων, ἐπέκεινα νοοῦμεν, εἰ καὶ τὸ σῶμα περιβέβληται.

Ἄλλος. Ἔφριξε πᾶσα ἀκοή.

Θεὸν σε φύσει τὸν Υἱὸν, συλληφθέντα ἐν γαστρὶ ἐπιστάμεθα, τῆς Θεομήτορος, καὶ γενόμενον δι' ἡμᾶς ἄνθρωπον, καὶ καθορῶντες ἐν Σταυρῷ, τῇ φύσει μὲν πάσχοντα τῆς ἀνθρωπότητος, ἀπαθῆ δὲ ὡς Θεὸν διαμείναντα.

Λέλυται σκότος ἀμειδές. ἐκ τοῦ ᾅδου γὰρ ἀνέτειλεν Ἥλιος, δικαιοσύνης Χριστὸς, τῆς γῆς φωτίζων πάντα τὰ πέρατα, λάμπων θεότητος φωτὶ, οὐράνιος ἄνθρωπος, Θεὸς ἐπίγειος, ὃν ἐν φύσεσι διτταῖς μεγαλύνομεν.

Ἄλλος. Κυρίως Θεοτόκον.

Χαρᾶς καὶ εὐφροσύνης, πλήρης σου ἡ μνήμη, τοῖς προσιοῦσιν ἰάματα βρύουσα, καὶ εὐσεβῶς Θεοτόκον σε καταγγέλλουσι.

Ψαλμοῖς σε ἀνυμνοῦμεν, Κεχαριτωμένη, καὶ ἀσιγήτως τὸ Χαῖρε προσάγομεν. σὺ γὰρ ἐπήγασας πᾶσι τὴν ἀγαλλίασιν.

Ἄλλος. Ἐξέστη ἐπὶ τούτῳ.

Ἐλπίδι καὶ ἀγάπῃ θωρακισθὲν, καὶ πίστως πεφραγμένον τὸ σύνταγμα, τῶν ἐκλεκτῶν, πάσας τῶν Τυράννων τὰς ἀπειλὰς, τοὺς αἰκισμοὺς καὶ μάστιγας, χαίροντες ὑπέμειναν εὐκλεῶς. Χριστὸν πεπλουτηκότες, νικοποιὸν ἐν ἄθλοις, τῆς ἀληθείας Πρωτομάρτυρες.

Ἀἱμενία σωτηρίας τὸν Βαπτιστὴν, Ἀποστόλους, Προφήτας, καὶ Μάρτυρας, σὺν Ἀσκηταῖς, θείους Διδασκάλους, καὶ Ἱερεῖς, Πατριαρχῶν τε σύλλογον, καὶ



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας Μανούσεια

Ἱερομάρτυρας ἀκλεεῖς, Γυναῖκας φιλοθέους, Ὁσίους, καὶ Δικαίους, μιᾷ ἐπαξίως ἀνευφημήσωμεν.

Πυρὶ δοκιμασθέντες τῶν πειρασμῶν, καὶ τρυφαῖς μὴ θελχθέντες ἀγάλλεσθε, εἰλικρινῶς, θρόνῳ τοῦ Δεσπότου φωτοειδεῖ, παρεστηκότες ἔνδοξοι, δῆμος τῶν Ἁγίων ἐν Οὐρανοῖς, λυθέντων τῶν ἐσόπτρων, σκιᾶς τε παρελθούσης, τῆς ἀληθείας ταῖς ἐμφάσεσι.

Θεοτοκίον.

Ὤφθης διεστώτων συναπτική. διὰ σοῦ γὰρ Ἀγγέλοις ὁμόσκηνοι, ἐν Οὐρανοῖς, ἄνθρωποι γεγόνασιν ἀληθῶς, καὶ μαρτυροῦσι τάγματα, πάντων τῶν Ἁγίων μίαν σὺν αὐτοῖς, ὑμνοῦντες τὸν σὸν τόκον, Παρθένε Θεοτόκε, ἐν αἰωνίοις μελῳδήμασι.

Καταβασία.

Ἅπας γηγενής.

Ἐξαποστειλάριον, α΄.

Τοῖς Μαθηταῖς συνέλθωμεν, ἐν ὄρει Γαλιλαίας, πίστει Χριστὸν θεάσασθαι, λέγοντα ἐξουσίαν, λαβεῖν τῶν ἄνω, καὶ κάτω. μάθωμεν πῶς διδάσκει, βαπτίζειν εἰς τὸ ὄνομα, τοῦ Πατρὸς Ἔθνη πάντα, καὶ τοῦ Υἱοῦ, καὶ Ἁγίου Πνεύματος, καὶ συνεῖναι, τοῖς Μύσταις ὡς ὑπέσχετο, ἕως τῆς συντελείας.

Τῶν Ἁγίων. Ὅμοιον.

Τὸν Βαπτιστὴν, καὶ Πρόδρομον, Ἀποστόλους, Προφήτας, Μάρτυρας, Ἱεράρχας τε, Ἀσκητὰς, καὶ Ὁσίους, Ἱερομάρτυρας ἅμα, φιλοθέους Γυναῖκας, καὶ τοὺς Δικαίους ἅπαντας, καὶ Ἀγγέλων τὰς τάξεις, χρεωστικῶς, ὕμνοις καταστέψωμεν, δυσωποῦντες, τῆς δόξης τούτων τυχεῖν, πρὸς Χριστοῦ τοῦ Σωτῆρος.

Θεοτοκίον. Ὅμοιον.

Ἄνω δοξαζόμενος, θεϊκῶς ὑπ' Ἀγγέλων, κόλπων Πατρῴων Ἄναρχε, μὴ ἐκστὰς ἀπορρήτως, τοῖς κάτω συνανεστράφη. σὺ δὲ ταύτης ὑπῆρξας, τῆς σωτηρίας πρόξενος, ἐξ ἁγνῶν σου αἱμάτων, τοῦτο Ἁγνὴ, ὑπὲρ λόγον σάρκα δανεισαμένη· ὃν αἴτησαι τοῖς δούλοις σου, λύτρον δοῦναι πταισμάτων.

Εἰς τοὺς Αἴνους. Πᾶσα πνοὴ, ἱστῶμεν

στ. κ. καὶ ψάλλομεν στ. Ἀναστάσιμα, δ. καὶ Ἀνατολικὸν ἓν. Ἦχος, πλ. δ΄.

Κύριε, εἰ καὶ κριτηρίῳ παρέστης, ὑπὸ Πιλάτου κρινόμενος, ἀλλ' οὐκ ἀπελείφθης τοῦ θρόνου, τῷ Πατρὶ συγκαθεζόμενος. καὶ ἀναστὰς ἐκ νεκρῶν, τὸν Κόσμον ἠλευθέρωσας, ἐκ τῆς δουλείας τοῦ ἀλλοτρίου, ὡς οἰκτίρμων, καὶ φιλάνθρωπος.

Κύριε, ὅπλον κατὰ τοῦ Διαβόλου, τὸν Σταυρόν σου ἡμῖν δέδωκας. φρίττει γὰρ καὶ τρέμει μὴ φέρων, καθορᾷν αὐτοῦ τὴν δύναμιν, ὅτι νεκροὺς ἀνιστᾷ, καὶ θάνατον κατήργησε. διὰ τοῦτο προσκυνοῦμεν, τὴν ταφήν σου καὶ τὴν ἔγερσιν.

Κύριε, εἰ καὶ ὡς θνητὸν ἐν μνημείῳ, Ἰουδαῖοί σε κατέθεντο, ἀλλ' ὡς Βασιλέα ὑπνοῦντα, στρατιῶται σὲ ἐφύλαττον. καὶ ὡς ζωῆς θησαυρὸν, σφραγῖδι ἐσφραγίσαντο. ἀλλ' ἀνέστης, καὶ παρέσχες, ἀφθαρσίαν ταῖς ψυχαῖς ἡμῶν.

Ἄγγελός σου Κύριε, ὁ τὴν Ἀνάστασιν κηρύξας, τοὺς μὲν φύλακας ἐφόβησε, τὰς δὲ Γυναῖκας ἐφώνησε λέγων· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; ἀνέστη Θεὸς ὢν, καὶ τῇ Οἰκουμένῃ ζωὴν ἐδωρήσατο.

Ἕτερον στιχηρὸν Ἀνατολικὸν, ὁ αὐτός.

Ἔπαθες διὰ Σταυροῦ, ὁ ἀπαθὴς τῇ Θεότητι, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῆς δουλείας τοῦ ἐχθροῦ, καὶ ἀθανατίσας ζωοποιήσῃς ἡμᾶς Χριστὲ ὁ Θεὸς, διὰ τῆς Ἀναστάσεώς σου φιλάνθρωπε.

Ἕτερα στ. Προσόμοια τῶν Ἁγίων Πάντων. Ἦχος, δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τοὺς Ἁγίους ὁ Κύριος, τοὺς ἐν γῇ ἐθαυμάστωσε. τὰ αὐτοῦ γὰρ στίγματα καὶ παθήματα, ἐν τῇ σαρκὶ ἀνεδέξαντο. ἐν τούτοις κοσμούμενοι, καὶ ταῖς θείαις καλλοναῖς, προφανῶς ἀναθέμενοι. οὓς ὑμνήσωμεν, ὡς ἀμάραντα ἄνθη ὡς ἀστέρας, ἀπλανεῖς τῆς Ἐκκλησίας, ὡς ἐθελόθυτα θύματα.

στ. Ἐκέκραξαν οἱ Δίκαιοι.

Σὺν Προφήταις Ἀπόστολοι, σὺν Ὁσίοις Διδάσκαλοι, σὺν Ἱερομάρτυσι πάντες Δίκαιοι, καὶ Γυναικῶν αἱ ἀθλήσασαι,

καὶ

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

καὶ πόθῳ ἀσκήσασαι, τῶν Ἁγίων ἡ πληθὺς, καὶ Δικαίων τὰ τάγματα, ἀνευφημείσθωσαν, ἱεραῖς μελῳδίαις ὡς τῆς ἄνω, Βασιλείας κληρονόμοι, ὡς Παραδείσου οἰκήτορες.

Στ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις.

Οἱ τὴν γῆν οὐρανώσαντες, ἀρετῶν ἐν φαιδρότητι, οἱ Χριστοῦ τὸν θάνατον μιμησάμενοι, ἀθανασίας τὴν πρόξενον, ὁδὸν οἱ βαδίσαντες, οἱ τὰ πάθη τῶν βροτῶν, χειρουργίᾳ τῆς χάριτος, ἐκκαθάραντες, οἱ ἐν ὅλῳ τῷ Κόσμῳ ὁμοψύχως, ἐναθλήσαντες γενναίως, ἀνευφημείσθωσαν Μάρτυρες.

Δόξα.

Ἑωθινὸν, ά. ἦχος, ά.

Εἰς τὸ ὄρος τοῖς Μαθηταῖς ἐπειγομένοις, διὰ τὴν χαμόθεν ἔπαρσιν, ἐπέστη ὁ Κύριος. καὶ προσκυνήσαντες αὐτὸν, καὶ τὴν δοθεῖσαν ἐξουσίαν πανταχοῦ διδαχθέντες, εἰς τὸν ὑπ' Οὐρανὸν ἐξαπεστέλλοντο, κηρύξαι τὴν ἐκ νεκρῶν Ἀνάστασιν, καὶ τὴν εἰς Οὐρανοὺς ἀποκατάστασιν. οἷς καὶ συνδιαιωνίζειν, ὁ ἀψευδὴς ἐπηγγείλατο, Χριστὸς ὁ Θεὸς, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν.

Ὑπερευλογημένη ὑπάρχεις.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, οἱ Μακαρισμοὶ, ἱστῶμεν Στ. ιβ'. ἦχος, πλ. δ'.

Στ. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι.

Μνήσθητι ἡμῶν, Χριστὲ Σωτὴρ τοῦ Κόσμου, ὥσπερ τοῦ λῃστοῦ ἐμνήσθης ἐπὶ ξύλου, καὶ καταξίωσον πάντας μόνε Οἰκτίρμον, τῆς οὐρανίου Βασιλείας σου.

Στ. Μακάριοι οἱ πενθοῦντες.

Ζύλῳ προσαγεὶς, Σωτὴρ ἡμῶν βουλήσει. ξύλου τὸν Ἀδὰμ, κατάρας ἐλυτρώσω, ἀποδιδοὺς ὡς Οἰκτίρμων τὸ κατ' εἰκόνα, καὶ Παραδείσου τὴν κατοίκησιν.

Στ. Μακάριοι οἱ πραεῖς.

Ἄκουε Ἀδὰμ, καὶ χαῖρε σὺν τῇ Εὔᾳ, ὅτι ὁ γυμνώσας πρὶν τοὺς ἀμφοτέρους, καὶ δι' ἀπάτης λαβὼν ὑμᾶς αἰχμαλώτους, ἐν τῷ Σταυρῷ Χριστοῦ κατήργηται.

Στ. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες.

Ἡμέραν Χριστὸς, ἀνέστη ἐκ τοῦ τάφου, πᾶσι τοῖς Πιστοῖς, παρέχων ἀφθαρσίαν, καὶ τὴν χαρὰν ἐγκαινίζει ταῖς Μυροφόροις, μετὰ τὸ Πάθος, καὶ τὴν Ἔγερσιν.

Μακάριοι, οἱ ἐλεήμονες, ὅτι αὐτοί.

Καὶ ἀπὸ τοῦ Κανόνος τῶν Ἁγίων, ᾠδὴ γ'. καὶ ς'.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος, δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις.

Στ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε.

Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοὶ, οἱ Ἅγιοι πάντες διὰ Πίστεως κατηγωνίσαντο Βασιλείας, εἰργάσαντο δικαιοσύνην.

Ἀλληλούϊα, ἦχος, δ'.

Ἐκέκραξαν οἱ Δίκαιοι.

Στ. Πολλαὶ αἱ θλίψεις τῶν Δικαίων.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων.

Κοινωνικόν.

Αἰνεῖτε τὸν Κύριον.

Καὶ, Εἰς μνημόσυνον αἰώνιον.

ΤΕΛΟΣ, ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ.

Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

# ΤΑ ΕΩΘΙΝΑ ΕΥΑΓΓΕΛΙΑ

Τὰ ἀναγινωσκόμενα ἐν τῷ Ὄρθρῳ ἑκάστης τῶν Κυριακῶν, καὶ Δεσποτικῶν Ἑορτῶν, ἀπὸ τῆς Κυριακῆς δηλονότι τοῦ Θωμᾶ, ἤτοι τοῦ Ἀντιπάσχα, μέχρι τῆς τῶν Ἁγίων Πάντων Ἑορτῆς. Εἰσὶ δὲ ἅπαντα Θ΄. κατὰ τάξιν.

## ΚΥΡΙΑΚΗ ΤΟΥ ΘΩΜΑ.

Εἰς τὸν Ὄρθρον. Ἑωθινὸν, Α΄.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον.

ΤΩ καιρῷ ἐκείνῳ, οἱ ἕνδεκα Μαθηταὶ, ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος, οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ, οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἐλάλησεν αὐτοῖς, λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ Ἔθνη, βαπτίζοντες αὐτοὺς, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος· Διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. καὶ ἰδοὺ, ἐγὼ μεθ᾽ ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

## ΚΥΡΙΑΚΗ ΤΩΝ ΜΥΡΟΦΟΡΩΝ.

Εἰς τὸν Ὄρθρον. Ἑωθινὸν, Δ΄.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.

ΤΗ μιᾷ τῶν Σαββάτων, ὄρθρου βαθέος, ἦλθον γυναῖκες ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, καί τινες σὺν αὐταῖς. Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ Μνημείου. Καὶ εἰσελθοῦσαι οὐχ εὗρον τὸ Σῶμα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου, καὶ ἰδοὺ ἄνδρες δύω ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις. Ἐμφόβων δὲ γενομένων αὐτῶν, καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν, εἶπον πρὸς αὐτάς· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ᾽ ἠγέρθη. Μνήσθητε ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, λέγων· Ὅτι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. Καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ. Καὶ ὑποστρέψασαι ἀπὸ τοῦ Μνημείου, ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα, καὶ πᾶσι τοῖς λοιποῖς. Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία, καὶ Ἰωάννα, καὶ Μαρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἳ ἔλεγον πρὸς τοὺς Ἀποστόλους ταῦτα. Καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς. Ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ Μνημεῖον, καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα, καὶ ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός.

## ΚΥΡΙΑΚΗ ΤΟΥ ΠΑΡΑΛΥΤΟΥ.

Εἰς τὸν Ὄρθρον. Ἑωθινὸν, Ε΄.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.

ΤΩ καιρῷ ἐκείνῳ, ὁ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον· καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα· καὶ ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός. Καὶ ἰδοὺ δύω ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς Κώμην, ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἱερουσαλὴμ, ᾗ ὄνομα Ἐμμαούς. Καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. Καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας, συνεπορεύετο αὐτοῖς. Οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν. Εἶπε δὲ πρὸς αὐτούς· Τίνες οἱ λόγοι οὗτοι, οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καὶ ἐστὲ σκυθρωποί; Ἀποκριθεὶς δὲ ὁ εἷς, ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν· Σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλὴμ, καὶ οὐκ ἔγνως τὰ

γενό-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; Καὶ εἶπεν αὐτοῖς· Ποῖα; Οἱ δὲ εἶπον αὐτῷ· τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ Προφήτης, δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ, ἐναντίον τοῦ Θεοῦ, καὶ παντὸς τοῦ λαοῦ· Ὅπως τε παρέδωκαν αὐτὸν οἱ Ἀρχιερεῖς καὶ οἱ Ἄρχοντες ἡμῶν, εἰς κρίμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν. ἡμεῖς δὲ ἠλπίζομεν, ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ· ἀλλάγε σὺν πᾶσι τούτοις, τρίτην ταύτην ἡμέραν ἄγει σήμερον ἀφ' οὗ ταῦτα ἐγένετο. Ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον· καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ, ἦλθον, λέγουσαι καὶ ὀπτασίαν Ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτω, καθὼς καὶ αἱ γυναῖκες εἶπον· αὐτὸν δὲ οὐκ εἶδον. Καὶ αὐτὸς εἶπε πρὸς αὐτούς· Ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ, τοῦ πιστεύειν ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ Προφῆται. Οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστόν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; Καὶ ἀρξάμενος ἀπὸ Μωσέως, καὶ ἀπὸ πάντων τῶν Προφητῶν, διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ ἑαυτοῦ. Καὶ ἤγγισαν εἰς τὴν Κώμην οὗ ἐπορεύοντο. Καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι. Καὶ παρεβιάσαντο αὐτόν, λέγοντες· Μεῖνον μεθ' ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστί, καὶ κέκλικεν ἡ ἡμέρα. Καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ' αὐτῶν, λαβὼν τὸν ἄρτον, εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοί, καὶ ἐπέγνωσαν αὐτόν, καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν. Καὶ εἶπον πρὸς ἀλλήλους· Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς; Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν εἰς Ἱερουσαλήμ, καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα, καὶ τοὺς σὺν αὐτοῖς, λέγοντας· ὅτι ἠγέρθη ὁ Κύριος ὄντως, καὶ ὤφθη Σίμωνι. Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ· καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

## ΚΥΡΙΑΚΗ τῆς ΣΑΜΑΡΕΙΤΙΔΟΣ.

### Εἰς τὸν Ὄρθρον. Ἑωθινὸν, Ζ'.

#### Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

ΤΗ͂, μιᾷ τῶν Σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωΐ, σκοτίας ἔτι οὔσης, εἰς τὸ Μνημεῖον, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ Μνημείου. Τρέχει οὖν, καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ πρὸς τὸν ἄλλον Μαθητήν, ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς· Ἦραν τὸν Κύριον ἐκ τοῦ Μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν. Ἐξῆλθεν οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος Μαθητής, καὶ ἤρχοντο εἰς τὸ Μνημεῖον. Ἔτρεχον δὲ οἱ δύω ὁμοῦ, ὁ καὶ ἄλλος Μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου, καὶ ἦλθε πρῶτος εἰς τὸ Μνημεῖον. Καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια, οὐ μέν τοι εἰσῆλθεν. Ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ Μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα, καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς, ἐντετυλιγμένον εἰς ἕνα τόπον. Τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος Μαθητὴς ὁ ἐλθὼν πρῶτος εἰς τὸ Μνημεῖον, καὶ εἶδε, καὶ ἐπίστευσεν. Οὐδέπω γὰρ ἤδεισαν τὴν Γραφὴν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ Μαθηταί.

## ΚΥΡΙΑΚΗ ΤΟΥ ΤΥΦΛΟΥ

### Εἰς τὸν Ὄρθρον. Ἑωθινὸν, Η'.

#### Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

ΤΩ͂, καιρῷ ἐκείνῳ, Μαρία εἱστήκει πρὸς τὸ Μνημεῖον κλαίουσα ἔξω. ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ Μνημεῖον. Καὶ θεωρεῖ δύω Ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο τὸ Σῶμα τοῦ Ἰησοῦ. Καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι· Γύναι, τί κλαίεις; Λέγει αὐτοῖς· Ὅτι ἦραν τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. Καὶ ταῦτα εἰποῦσα, ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα,

καὶ

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

καὶ οὐκ ᾔδει ὅτι Ἰησοῦς ἐστι. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Γύναι, τί κλαίεις; τίνα ζητεῖς; Ἐκείνη δοκοῦσα ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ· Κύριε, εἰ σὺ ἐβάστασας αὐτὸν, εἰπέ μοι ποῦ ἔθηκας αὐτὸν, κἀγὼ αὐτὸν ἀρῶ. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μαρία. Στραφεῖσα ἐκείνη λέγει αὐτῷ· Ῥαββουνὶ, ὃ λέγεται, Διδάσκαλε. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου. πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς· Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. Ἔρχεται Μαρία ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα τοῖς Μαθηταῖς, ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ.

## ΤΗ Ε'. ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ.

Εἰς τὸν Ὄρθρον. Ἑωθινὸν, Γ'.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον.

ἈΝαστὰς ὁ Ἰησοῦς, πρωῒ πρώτῃ Σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. Ἐκείνη πορευθεῖσα, ἀπήγγειλε τοῖς μετ' αὐτοῦ γενομένοις, πενθοῦσι καὶ κλαίουσι. κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ, καὶ ἐθεάθη ὑπ' αὐτῆς, ἠπίστησαν. Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. Κἀκεῖνοι ἀπελθόντες, ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις ἐπίστευσαν. Ὕστερον ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν, καὶ σκληροκαρδίαν, ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν. Καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἰς τὸν Κόσμον ἅπαντα, κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ Κτίσει. Ὁ πιστεύσας καὶ βαπτισθεὶς, σωθήσεται· ὁ δὲ ἀπιστήσας, κατακριθήσεται. Σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει. Ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· γλώσσαις λαλήσουσι καιναῖς· Ὄφεις ἀροῦσι· Κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει· ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν. Ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν Οὐρανὸν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ. Ἐκεῖνοι δὲ ἐξελθόντες, ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος, καὶ τὸν λόγον βεβαιοῦντος, διὰ τῶν ἐπακολουθούντων σημείων. Ἀμήν.

## ΚΥΡΙΑΚΗ ΤΩΝ ΑΓΙΩΝ τιη'. ΘΕΟΦΟΡΩΝ ΠΑΤΕΡΩΝ.

Εἰς τὸν Ὄρθρον. Ἑωθινὸν, Ι.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

ΤΩ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς Μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν, ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος. ἐφανέρωσε δὲ οὕτως. Ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύω. Λέγει αὐτοῖς Σίμων Πέτρος· Ὑπάγω ἁλιεύειν. Λέγουσιν αὐτῷ· Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. Ἐξῆλθον, καὶ ἀνέβησαν εἰς τὸ πλοῖον εὐθὺς, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν. Πρωΐας δὲ ἤδη γενομένης, ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλόν· οὐ μέντοι ᾔδεισαν οἱ Μαθηταὶ ὅτι Ἰησοῦς ἐστι. Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Παιδία, μή τι προσφάγιον ἔχετε; Ἀπεκρίθησαν αὐτῷ, Οὔ. Ὁ δὲ εἶπεν αὐτοῖς· Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. Ἔβαλον οὖν, καὶ οὐκ ἔτι αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. Λέγει οὖν ὁ Μαθητὴς ἐκεῖνος, ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ Πέτρῳ· ὁ Κύριός ἐστι. Σίμων οὖν Πέτρος ἀκούσας, ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο, ἦν γὰρ γυμνὸς, καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν. Οἱ δὲ ἄλλοι Μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον, οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν διακοσίων, σύροντες τὸ δίκτυον, τῶν ἰχθύων. Ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην, καὶ ὀψάριον ἐπικείμενον, καὶ ἄρτον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων, ὧν ἐπιάσατε νῦν. Ἀνέβη Σίμων Πέτρος, καὶ εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντηκοντατριῶν· καὶ τοσούτων ὄντων, οὐκ ἐσχίσθη τὸ δίκτυον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Δεῦτε, ἀριστήσατε. Οὐδεὶς δὲ ἐτόλμα τῶν Μαθητῶν ἐξετάσαι αὐτὸν, Σὺ τίς εἶ; εἰδότες ὅτι ὁ Κύριός ἐστιν. Ἔρχεται οὖν ὁ Ἰησοῦς, καὶ λαμβάνει τὸν ἄρτον, καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως. Τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς Μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν.

## ΚΥΡΙΑΚΗ ΤΗΣ ΑΓΙΑΣ ΠΕΝΤΗΚΟΣΤΗΣ

Εἰς τὸν Ὄρθρον. Ἑωθινὸν, Θ'.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

ΟΥσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ, τῇ μιᾷ τῶν Σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ Μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. ἐχάρησαν οὖν οἱ Μαθηταὶ ἰδόντες τὸν Κύριον. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν. καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς· Λάβετε Πνεῦμα Ἅγιον. ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται.

## ΚΥΡΙΑΚΗ ΤΩΝ ΑΓΙΩΝ ΠΑΝΤΩΝ.

Εἰς τὸν Ὄρθρον. Ἑωθινὸν, Α'.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον.

ΤΩ καιρῷ ἐκείνῳ· Οἱ ἕνδεκα Μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος, οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Ζήτει αὐτὸ τῇ Κυριακῇ τοῦ Θωμᾶ. εἰς Φύλλ. 253.

ΤΕΛΟΣ ΤΩΝ ΕΩΘΙΝΩΝ ΕΥΑΓΓΕΛΙΩΝ.

Τῷ καιρῷ ἐκείνῳ οἱ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική
Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

270.8
ΠΕΝ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική
Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"

...ῶον ἐν ταῖς καρδίαις ἡμῶν, νοητὲ
...ύνης, καὶ τῆς σῆς εὐφροσύνης τὰς ψυχάς
καὶ δίδαξον ἡμᾶς τὰς σὰς μελετᾷν ἀεὶ καὶ
...ματα, καὶ ἐξομολογεῖσθαί σοι διηνεκῶς
...ότη καὶ Εὐεργέτῃ. Τὰ τῶν χειρῶν ἡμῶν
...ὸν κατεύθυνον θέλημα, καὶ πράττειν
...εσα καὶ φίλα εὐόδωσον. Ἵνα καὶ διὰ τῶν
...οξάζηταί σου τὸ Πανάγιον ὄνομα, τοῦ
Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, τῆς μιᾶς
Βασιλείας· ᾗ πρέπει πᾶσα δόξα, τι-
...ήσις εἰς τοὺς αἰῶνας. Ἀμήν.
...τομεν καὶ ταύτην. Τὸ αὐτό.
...λων τὸ φῶς, καὶ πορεύεται· ὁ ἀνατέλ-
...Ἥλιον ἐπὶ δικαίους καὶ ἀδίκους, πονηρούς τε
...ποιῶν ὄρθρον, καὶ φωτίζων πᾶσαν τὴν
...ώτισον καὶ ἡμῶν τὰς καρδίας, Δέσποτα τῶν
...σαι ἡμῖν ἐν τῇ παρούσῃ ἡμέρᾳ εὐαρεστεῖν
...των ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας, καὶ πά-
...ξεως, ῥυόμενος ἡμᾶς ἀπὸ παντὸς βέλους
...ας, καὶ πάσης ἀντικειμένης δυνάμεως.
... Παναχράντου Δεσποίνης ἡμῶν Θεοτό-
...ων σου Λειτουργῶν καὶ ἐπουρανίων Δυνά-
...ων τῶν Ἁγίων, τῶν ἀπ᾽ αἰῶνός σοι εὐα-
...όν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ
καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ
Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν,
τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ.
...γίνεται τέλεια Ἀπόλυσις.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμ...
τοὺς Ἁλιεῖς ἀναδείξας, καταπέ...
Πνεῦμα τὸ Ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν ο...
γηνεύσας, φιλάνθρωπε, δόξα σοι.
Ἀγάπην, καὶ σαθηρὰν δίδου παραμυθίαν
...λοισου Ἰησοῦ, ἐν τῷ ἀκηδιάσαι τὰ πν...
ἡμῶν. μὴ χωρίζου τῶν ψυχῶν ἡμῶν ἐν θλίψ...
μὴ μακρύνου τῶν φρενῶν ἡμῶν ἐν περιστάσεσιν· ἀλ...
ἀεὶ ἡμᾶς πρόφθασον. Ἔγγισον ἡμῖν, ἔγγισον ὁ
πανταχοῦ. ὥσπερ καὶ τοῖς Ἀποστόλοις σου πάντοτε συ-
νῆς, οὕτω καὶ τοῖς σὲ ποθοῦσιν ἕνωσον σαυτὸν Οἰκτίρ-
μον· ἵνα συνημμένοι σοι ὑμνῶμεν, καὶ δοξολογῶμεν
τὸ πανάγιόν σου Πνεῦμα.

Καὶ νῦν, Θεοτοκίον.

Ἡ Ἐλπὶς, καὶ προστασία, καὶ καταφυγὴ τῶν Χριστια-
νῶν, τὸ ἀκαταμάχητον τεῖχος, τῶν καταπονου-
μένων ὁ λιμὴν ὁ ἀχείμαστος, σὺ εἶ Θεοτόκε ἄχραν-
τε. ἀλλ᾽ ὡς τὸν Κόσμον σώζουσα τῇ ἀπαύστῳ πρεσβεία
σου, μνήσθητι καὶ ἡμῶν Παρθένε πανύμνητε.

Τό, Κύριε ἐλέησον μ'.

Ὁ ἐν παντὶ καιρῷ, καὶ πάσῃ ὥρᾳ. μεθ᾽ ὃ, Κύριε
ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χε-
ρουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ. Καὶ
... Τεσσαρακοστή, ποιοῦμεν τὰς μετανοίας ὡς προέ-
γραφη. Μετὰ δὲ τὴν τελευταίαν μετάνοιαν, λέγο-
μεν τὴν Εὐχὴν τοῦ Ἁγίου Μαρδαρίου. Δέσποτα
... Πάτερ Παντοκράτωρ. ὡς προγέγραπται.
...Σελ. 28.

ΨΗΦΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική
Βιβλιοθήκη Σιάτιστας "Μανούσεια"